τὸν Κροῖσον οὐ πολλῷ μετέπειτα χρόνῳ ὕστερον, καὶ οἱ θεράποντες μαθόντες τοῦτο ἐπηγγέλλοντο αὐτῷ ὡς περιείη. Καμβύσης δὲ Κροίσῳ μὲν συνήδεσθαι ἔφη περιεόντι, ἐκείνους μέντοι τοὺς περιποιήσαντας οὐ καταπροΐξεσθαι ἀλλ' ἀποκτενέειν· καὶ ἐποίησε ταῦτα.

Ὁ μὲν δὴ τοιαῦτα πολλὰ ἐς Πέρσας τε καὶ τοὺς 37
συμμάχους ἐξεμαίνετο, μένων ἐν Μέμφι καὶ θήκας τε παλαιὰς ἀνοίγων καὶ σκεπτόμενος τοὺς νεκρούς· ἐν δὲ δὴ καὶ ἐς τοῦ Ἡφαίστου τὸ ἱρὸν ἦλθε καὶ πολλὰ τῷ ἀγάλματι κατεγέλασε· ἔστι γὰρ τοῦ Ἡφαίστου τὤγαλμα τοῖσι Φοινικηίοισι Παταίκοισι ἐμφερέστατον, τοὺς οἱ

Der Infin. hängt von *ὥστε* (24) ab und steht parallel zu *λάμψονται*.

29. *μετέπειτα – ὕστερον*, pleonastisch wie Hymn. in Cer. 205 *ἣ δή οἱ καὶ ἔπειτα μεθύστερον εὔαδεν ὀργαῖς*. Vgl. IV 76 3. V 21 5. VI 126 1. VII 17 9. 33 6. IX 17 6. 49 22.

33. *οὐ καταπροΐξεσθαι* 'sie würden nicht ungestraft davonkommen', *οὐ χαιρήσειν* (I 128 4). Eig. 'sie würden es nicht umsonst (*προῖκα*) gethan haben'. Das Wort kommt nur im Futur und mit der Negation vor, und dient als derbe volksthümliche *formula minitandi*. Von den drei Bedeutungen, die ein Scholion angibt (*προῖκα ποιήσειν, ἀτιμωρητί, οἷον καταφρονήσοντα*) ist die erste und ursprüngliche nicht mehr nachweisbar, die zweite die gewöhnlichste (bei H. noch c. 156 15. V 105 7. VII 17 9); die dritte übertragene ('ungestraft beleidigen, verhöhnen', *c. gen.*) schon bei Archilochos Fr. 90 *ἐμεῦ δ' ἐκεῖνος οὐ καταπροΐξεται*. — Zum Wechsel der Subjecte I 33 2.

Verhöhnung von Gräbern und Tempeln. Von religiöser Toleranz (c. 37 f.).

37. 2 f. *ἐξεμαίνετο*: zu c. 33 1. – *θήκας* 'Grabkammern'; zu c. 24 2. — Im W. der Stadt, zu beiden Seiten der zu dem Sarapeion führenden Sphinxallee (zu c. 29 14) bis auf das Pyramidenplateau von Gizeh zog sich die Nekropole von Memphis, zu der auch die Riesengräber der Pyramiden selber gehörten. Hier findet man eine unübersehbare Anzahl unterirdischer oder in den Kalkfelsen gehauener Grabkammern, grofsentheils desselben Alters wie die Pyramiden, vortrefflichen Stiles, mit Sculpturen reich verziert und an den Wänden mit Inschriften und farbigen Darstellungen aus dem Leben der Verstorbenen bedeckt.

3. *ἐν δὲ δὴ καί*: zu I 74 6.

4. *τοῦ Ἡφαίστου τὸ ἱρόν*: zu II 101 5.

5 ff. *καταγελᾶν* wie hier noch c. 38 3. 155 9. IV 79 15. VII 9 5 *c. dat.* nach Analogie von *ἐγγελᾶν, ἐγχάσκειν, λυμαίνεσθαι* (I 214 17), während es sonst (V 68 4) und überhaupt die mit *κατά* ('gegen, über') componirten Verben, die eine feindselige Stimmung oder Aeufserung bezeichnen, fast immer den Genitiv der Person oder Sache, auf welche die Thätigkeit gerichtet ist, erheischen. Vgl Δ 212 *ἐρετημοῖσι τοῦ στρατοῦ κατυβρίσας*. Ueber Aehn-

Φοίνικες ἐν τῇσι πρῴρῃσι τῶν τριηρέων περιάγουσι. ὃς δὲ τούτους μὴ ὄπωπε, ἐγὼ δὲ σημανέω· πυγμαίου ἀνδρὸς μίμησίς ἐστι. ἐσῆλθε δὲ καὶ ἐς τῶν Καβείρων τὸ ἱρόν, ἐς τὸ οὐ θεμιτόν ἐστι ἐσιέναι ἄλλον γε ἢ τὸν ἱρέα· ταῦτα δὲ τὰ ἀγάλματα καὶ ἐνέπρησε πολλὰ κατασκώψας. ἔστι δὲ καὶ ταῦτα ὁμοῖα τοῖσι τοῦ Ἡφαίστου·

38 *τούτου δέ σφεας παῖδας λέγουσι εἶναι. πανταχῇ ὦν μοι δῆλά ἐστι ὅτι ἐμάνη μεγάλως ὁ Καμβύσης· οὐ γὰρ ἂν ἱροῖσί τε καὶ νομαίοισι ἐπεχείρησε καταγελᾶν. εἰ γάρ τις προθείη πᾶσι ἀνθρώποισι ἐκλέξασθαι κελεύων νόμους τοὺς καλλίστους ἐκ τῶν πάντων νόμων, διασκεψάμενοι ἂν ἑλοίατο ἕκαστοι τοὺς ἑωυτῶν· οὕτω νομίζουσι πολλόν τι καλλίστους τοὺς ἑωυτῶν νόμους ἕκαστοι εἶναι. οὐκ ὦν οἰκός ἐστι ἄλλον γε ἢ μαινόμενον ἄνδρα γέλωτα τὰ τοιαῦτα τίθεσθαι. ὡς δὲ οὕτω νενομίκασι τὰ περὶ τοὺς νόμους πάντες ἄνθρωποι, πολλοῖσί τε καὶ ἄλλοισι τεκμηρίοισι πάρεστι σταθμώσασθαι, ἐν δὲ δὴ καὶ τῷδε. Δαρεῖος ἐπὶ τῆς ἑωυτοῦ ἀρχῆς καλέσας Ἑλλήνων τοὺς παρεόντας εἴρετο ἐπὶ κόσῳ ἂν χρήματι βουλοίατο τοὺς πατέρας ἀποθνήσκοντας κατασιτέεσθαι· οἱ δὲ ἐπ' οὐ-*

liches zu I 212 12. VII 191 6. VIII 72 6. — In den Gräbern bei Memphis findet man häufig Figuren, die den Gott *Ptah* (*Ἥφαιστος*) als einen Zwerg oder vielmehr als ein unentwickeltes unförmliches Kind darstellen. — *περιάγουσι* 'mit sich führen' (VIII 92 7). Die Schiffsschnäbel liefen in solche Figuren aus, die den der Schiffahrt vorstehenden Donner darstellten und wie ein Amulet zum Schutz gegen Sturm und Wetter dienten.

8. *ἐγὼ δέ*: zu I 112 9. Ebenso IV 99 23.

9. Von den pelasgischen Kabeiren zu II 51 9. Welche aegyptische Gottheiten hier als Kinder des *Ptah* (13) bezeichnet sind, ist noch dunkel. Bei den Phoeniken hiefsen die acht Kabeiren Kinder des *Sadyk* (*Ἥφαιστος*, Movers Phoen. I 652).

11. *ταῦτα* st. *τούτων* (*τῶν Καβείρων*), attrahirt an *τὰ ἀγάλματα*; vgl. zu II 39 6.

12. *καὶ ταῦτα*, wie die der *Πάταικοι*.

38. 2. *γάρ* 'denn sonst' (I 124 5).

4. *προθείη* 'aufgäbe, hiefse' (IX 94 3).

9. *νενομίκασι*: zu I 142 8.

10. *τε* entspricht dem *δέ* in der Formel *ἐν δὲ δὴ καί*, wie I 185 6. II 172 7. III 125 3. V 102 10. VI 50 5. 70 15; vgl. zu IV 76 2. V 69 9. Sonst ist *μέν* das Regelmäfsige (I 192 2. II 79 7. III 15 9 u. s.). Auch *καί* kommt so vor (II 176 1. V 95 1. VI 11 7). — *καὶ* vor *ἄλλοισι* hebt dies betonend hervor. Vgl. auch II 4 13.

13. *ἐπὶ κόσῳ χρήματι* 'um welchen Preis'.

14. *ἀποθνήσκοντας*, ungenau

δεινὶ ἔφασαν ἔρδειν ἂν τοῦτο. Δαρεῖος δὲ μετὰ ταῦτα καλέσας Ἰνδῶν τοὺς καλεομένους Καλατίας, οἳ τοὺς γονέας κατεσθίουσι, εἴρετο, παρεόντων τῶν Ἑλλήνων καὶ δι' ἑρμηνέος μανθανόντων τὰ λεγόμενα, ἐπὶ τίνι χρήματι δεξαίατ' ἂν τελευτέοντας τοὺς πατέρας κατακαίειν πυρί· οἱ δὲ ἀμβώσαντες μέγα εὐφημέειν μιν ἐκέλευον. οὕτω μέν νυν ταῦτα νενόμισται, καὶ ὀρθῶς μοι δοκέει Πίνδαρος ποιῆσαι νόμον πάντων βασιλέα φήσας εἶναι.

st. *ἀποθανόντας* od. *τεθνεῶτας*; ebenso unten 19 *τελευτέοντας*. Vgl. zu I 9 8.

16f. *τοὺς καλεομένους Καλατίας*: H. erwähnt c. 99 dieselbe rohe Sitte, nennt aber den indischen Stamm *Παδαῖοι*. Hekataeos Fr. 177 kennt sie als *Ἰνδικὸν ἔθνος*; sonst sind sie unbekannt. Der Name bedeutet 'Schwarze' (sanskr. *kâla*), und diese Farbe schreibt H. allen (nichtarischen) Indern zu (c. 101).

18f. 'um welchen Preis sie sich dazu verstehen würden'. Vgl. Cic. Verr. II 4 60 *quid arbitramini Rheginos merere velle ut ab eis marmorea Venus illa auferatur.* Anders bei Plato apol. 41 b *ἐπὶ πόσῳ δ' ἄν τις δέξαιτο ἐξετάσαι τὸν ἐπὶ Τροίαν ἀγαγόντα τὴν πολλὴν στρατιάν·* 'um welchen Preis möchte mancher annehmen, wünschen, d. i. wie viel möchte mancher darum geben u. s. w.', und so häufiger.

20. *εὐφημέειν*: denn er hatte etwas gesagt, was ihnen als *ἀσεβές* erschien. In einem solchen Falle pflegte man auszurufen: *εὐφήμει.*

22. Das Gedicht, dem das Citat gehört, ist verloren, die Stelle selbst aber vollständiger erhalten bei Plato Gorg. 484 b, wo von dem natürlichen Rechte des Stärkeren oder dem *νόμος τῆς φύσεως* gehandelt wird: *δοκεῖ δέ μοι καὶ Πίνδαρος ἅπερ ἐγὼ λέγω* (— näml. 483 d *οὕτω τὸ δίκαιον κέκριται τὸν κρείττω τοῦ ἥττονος ἄρχειν καὶ πλέον ἔχειν* —) *ἐνδείκνυσθαι ἐν τῷ ᾄσματι ἐν ᾧ λέγει, ὅτι Νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων· οὗτος δὲ δή, φησίν, ἄγει δικαιῶν τὸ βιαιότατον ὑπερτάτᾳ χειρί· τεκμαίρομαι ἔργοισιν Ἡρακλέος· ἐπεὶ ἀπριάτας — λέγει οὕτω πως.* Aus diesen und einigen sonstigen Anführungen hat Boeckh das Fragment hergestellt (Fr. 151):

νόμος ὁ πάντων βασιλεὺς
θνατῶν τε καὶ ἀθανάτων
ἄγει δικαιῶν τὸ βιαιότατον
ὑπερτάτᾳ χειρί· τεκμαίρομαι
ἔργοισιν Ἡρακλέος· ἐπεὶ Γηρυόνα βόας
Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος
ἀναιτήτας τε καὶ ἀπριάτας ἤλασεν.

'*Lex omnium domina mortalium et immortalium affert vim maximam, iustam eam efficiens, potentissima manu. Id assero ex Herculis facinoribus: quippe Geryonae boves ad Cyclopia Eurysthei vestibula neque prece neque pretio adeptus egit*'. — Während sich also Pindars Ausspruch auf jenen *φυσικὸς νόμος* oder das allwaltende 'Gesetz', das dem Stärkeren Recht gibt, bezog, hat H. das Wort *νόμος* in seinem ursprünglichen Sinne 'Sitte, Herkommen' (IV 39 4) genommen und den aus ihrem Zusammenhange gelösten Worten den Gedanken untergelegt, dafs

39 *Καμβύσεω δὲ ἐπ' Αἴγυπτον στρατευομένου ἐποιήσαντο καὶ Λακεδαιμόνιοι στρατηίην ἐπὶ Σάμον τε καὶ Πολυκράτεα τὸν Αἰάκεος, ὃς ἔσχε Σάμον ἐπαναστάς, καὶ τὰ μὲν πρῶτα τριχῇ δασάμενος τὴν πόλιν .. τοῖσι ἀδελφεοῖσι Πανταγνώτῳ καὶ Συλοσῶντι ἔνειμε, μετὰ δὲ τὸν μὲν αὐτῶν ἀποκτείνας τὸν δὲ νεώτερον Συλοσῶντα ἐξελάσας ἔσχε πᾶσαν Σάμον, σχὼν δὲ ξεινίην Ἀμάσι τῷ Αἰγύπτου βασιλέι συνεθήκατο, πέμπων τε δῶρα καὶ δεκόμενος ἄλλα παρ' ἐκείνου. ἐν χρόνῳ δὲ ὀλίγῳ αὐτίκα τοῦ Πολυκράτεος τὰ πρήγματα αὔξετο καὶ ἦν βεβωμένα ἀνά τε τὴν Ἰωνίην καὶ τὴν ἄλλην Ἑλλάδα· ὅκου γὰρ ἰθύσειε στρατεύεσθαι, πάντα οἱ ἐχώρεε εὐτυχέως. ἔκτητο δὲ πεντηκοντέρους τε ἑκατὸν καὶ χιλίους*

das Herkommen eine Macht sei, der sich alle Menschen fügen müssen. Wiederum in anderem Sinne VII 104 *ἔπεστι γάρ σφι δεσπότης νόμος*.

Geschichten von den Tyrannen Polykrates und Periandros (c. 39–60). Des Polykrates Glück; Warnung des Amasis (c. 39–43).

39. 3. Polykrates scheint einer vornehmen (c. 142 14) und reichen Familie angehört und sich durch Freigiebigkeit eine Partei geworben zu haben. Alexis Samios bei Athenaeos p. 540 e *πρὸ δὲ τοῦ τυραννῆσαι κατασκευασάμενος στρωμνὰς πολυτελεῖς καὶ ποτήρια ἐπέτρεπε χρῆσθαι τοῖς ἢ γάμον ἢ μείζονας ὑποδοχὰς ποιουμένοις*. — *Αἰάκεος*: den Namen führte auch sein Enkel, Syloson's Sohn und Neffe des Polykrates, unter Dareios Tyrann von Samos (IV 138. VI 13). — *ἐπαναστάς*, gegen die regierenden Oligarchen. Er machte seinen Staatsstreich bei Gelegenheit eines grofsen Festzuges zu dem aufserhalb der Stadt liegenden Heraeon, wobei die Bürgerschaft in voller Rüstung erschien und, so lange das Opfer dauerte, die Waffen niederlegte. Während die Wehrlosen von Polykrates' Brüdern, Syloson und Pantagnotos, überrumpelt und niedergemacht wurden, besetzte er selber die Stadt. Lygdamis, Tyrann von Naxos, half ihm, wie früher dem Peisistratos (I 61), sich in der Herrschaft befestigen (Polyaen. strateg. I 23). Vgl. c. 120 16. Den Beginn der Tyrannis setzt Eusebios mit grofser Wahrscheinlichkeit in Ol. 62 1 (532 v. Chr.)

4. *τριχῇ δασάμενος*, vielleicht nach der alten Theilung in drei Phylen (zu c. 26 6). — Vor *τοῖσι* fehlt *σὺν* oder *ἅμα*.

5. *ἔνειμε*, *administravit* (I 59 34).

6. *Συλοσῶντα*: er folgte als Flüchtling dem Kambyses nach Aegypten (c. 139).

9. *ἐν χρόνῳ δὲ ὀλίγῳ αὐτίκα*: IV 146 *χρόνου δὲ οὐ πολλοῦ διεξελθόντος αὐτίκα οἱ Μινύαι ἐξύβρισαν*, VIII 27 *ἐν δὲ τῷ διὰ μέσου χρόνῳ – αὐτίκα Θεσσαλοὶ πέμπουσι*.

11. *βεβωμένα* = *περιβόητα*, 'berufen, berühmt' (VI 131 2. VIII 124 3).

12. *ἰθύσειε*: vgl. zu I 204 10, wo correcter *ὅκῃ*; s. zu II 119 12.

13. *πεντηκοτέρους*: vgl zu c.

τοξότας. ἔφερε δὲ καὶ ἦγε πάντας, διακρίνων οὐδένα· τῷ γὰρ φίλῳ ἔφη χαριεῖσθαι μᾶλλον ἀποδιδοὺς τὰ ἔλαβε ἢ ἀρχὴν μηδὲ λαβών. συχνὰς μὲν δὴ τῶν νήσων ἀραιρήκεε, πολλὰ δὲ καὶ τῆς ἠπείρου ἄστεα· ἐν δὲ δὴ καὶ Λεσβίους πανστρατιῇ βοηθέοντας Μιλησίοισι ναυμαχίῃ κρατήσας εἷλε· οἳ τὴν τάφρον περὶ τὸ τεῖχος τὸ ἐν Σάμῳ πᾶσαν δεδεμένοι ὤρυξαν. καί κως τὸν Ἄμασιν εὐτυχέων μεγάλως ὁ Πολυκράτης οὐκ ἐλάνθανε, ἀλλά οἱ τοῦτ' ἦν ἐπιμελές. 40 πολλῷ δὲ ἔτι πλεῦνός οἱ εὐτυχίης γινομένης γράψας ἐς βιβλίον τάδε ἐπέστειλε ἐς Σάμον. „Ἄμασις Πολυκράτεϊ ὧδε λέγει. ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα· ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσι, τὸ θεῖον ἐπισταμένῳ ὡς ἔστι φθονερόν· καί κως βούλομαι καὶ αὐτὸς καὶ τῶν ἂν κήδωμαι τὸ μέν τι εὐτυχέειν τῶν πρηγμάτων τὸ δὲ προσπταίειν, καὶ οὕτω διαφέρειν τὸν αἰῶνα ἐναλλὰξ πρήσσων, ἢ εὐτυχέειν τὰ πάντα. οὐδένα γάρ κω

44 11. — *χιλίους τοξότας*: dieselben werden c. 45 16 *τοξόται οἰκήιοι* (opp. *μισθωτοὶ ἐπίκουροι*) genannt.

14. *διακρίνων οὐδένα*, *nullo discrimine*, *ὁμοίως*.

16 ff. *ἀρχὴν μηδέ* 'überhaupt gar nicht'. Vgl. I 9 6. Thuk. I 13 *Πολυκράτης – ναυτικῷ ἰσχύων ἄλλας τε τῶν νήσων ὑπηκόους ἐποιήσατο καὶ Ῥήναιαν ἑλὼν ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Δηλίῳ.* Sein Streben war, nach dem Sturze der phoenikischen und lydischen Macht, sich zum Herrn der gegenüberliegenden Küste und des aegaeischen Meeres zu machen.

20. *δεδεμένοι* 'als Gefangene'.

40. *κως*, *opinor*, 'wohl'. Es ermäfsigt den zuversichtlichen Ton der Behauptung und läfst sie als Vermuthung oder persönliche Meinung erscheinen, wofür sonst der Opt. mit *ἄν*; so 8 *καί κως βούλομαι* = *καὶ βουλοίμην ἄν*, I 33 2. 95 11. III 106 1. 108 4. VI 27 1. 51 5. IX 116 25. Aehnlich *κου* I 98 17. V 1 15. VI 98 5. VII 12 5.

3. *ἦν ἐπιμελές*: vgl. I 89 1.

5. *ὧδε λέγει*, alterthümliche Eingangsformel, die auch bei mündlichen Botschaften vorkommt (c. 122 14. V 24 4. VII 150 5. VIII 140α 2. IX 21 6, vgl. I 69 5. IV 80 10). Thuk. I 129 *ὧδε λέγει βασιλεὺς Ξέρξης Παυσανίᾳ.* 2 Kön. 18 19 'sprechet doch zu Hiskia: so spricht der grofse König, der König von Assyrien'.

7 ff. Vgl. die Rede Solon's an Kroesos I 32 6 ff., des Artabanos an Xerxes VII 10ε.

8. Dafs sich an *βούλομαι* Z. 11 *ἢ εὐτυχέειν* anschliefst, als stände *μᾶλλον βούλομαι*, ist homerischer Gebrauch; Il. α 117 *βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι.* Vgl. auch zu IX 26 38.

10 f. *προσπταίειν*: zu I 16 8. — *ἐναλλὰξ πρήσσων*, näml. *τοτὲ μὲν εὐτυχέων τοτὲ δὲ προσπταίων.*

λόγῳ οἶδα ἀκούσας ὅστις ἐς τέλος οὐ κακῶς ἐτελεύτησε πρόρριζος, εὐτυχέων τὰ πάντα. σὺ ὦν νῦν ἐμοὶ πειθόμενος ποίησον πρὸς τὰς εὐτυχίας τοιάδε· φροντίσας τὸ ἂν εὕρῃς ἐόν τοι πλείστου ἄξιον καὶ ἐπ' ᾧ σὺ ἀπολομένῳ μάλιστα τὴν ψυχὴν ἀλγήσεις, τοῦτο ἀπόβαλε οὕτω ὅκως μηκέτι ἥξει ἐς ἀνθρώπους· ἤν τε μὴ ἐναλλὰξ ἤδη τὠπὸ τούτου αἱ εὐτυχίαι τοι τῇσι πάθῃσι προσπίπτωσι, τρόπῳ τῷ ἐξ ἐμεῦ ὑποκειμένῳ ἀκέο."

41 *ταῦτα ἐπιλεξάμενος ὁ Πολυκράτης καὶ νόῳ λαβὼν ὥς οἱ εὖ ὑποτίθοιτο Ἄμασις, ἐδίζητο ἐπ' ᾧ ἂν μάλιστα τὴν ψυχὴν ἀσηθείη ἀπολομένῳ τῶν κειμηλίων, διζήμενος δ' εὕρισκε τόδε. ἦν οἱ σφρηγὶς τὴν ἐφόρεε χρυσόδετος, σμαράγδου μὲν λίθου ἐοῦσα, ἔργον δὲ ἦν Θεοδώρου τοῦ Τηλεκλέος Σαμίου. ἐπεὶ ὦν ταύτην οἱ*

12. *ἐς τέλος* 'am Ende, zuletzt', *ad ultimum.* Vgl. *ἐς τὸ δέον* 'rechtzeitig' I 32 15. Zur Sentenz vgl. I 32 50f.

18f. *τὠπὸ τούτου*, nachdem du dein Liebstes geopfert. — *τῇσι πάθῃσι* ist von *ἐναλλάξ* abhängig, 'falls dir nicht von da ab die Glücksfälle in Abwechslung mit den Unglücksfällen zu Theil werden', d. h. 'dein Glück mit Unglück abwechselt'. — *ὑποκειμένῳ* = *ὑποτεθειμένῳ*. — *ἀκέο*, sc. *τὰς εὐτυχίας*, die, wenn sie ohne Wechselfall sich folgen, die Eifersucht (*φθόνον*) der Gottheit erregen und darum ein Unglück sind, dem ein freiwilliges Opfer vorbeugen mufs. Polykrates soll, falls sich nach dem ersten Opfer das übergrofse Glück nicht mäfsige, neue Verluste sich auferlegen. Ein ähnlicher Gedanke bei Livius V 21 (*Furius Camillus*) *dicitur manum ad caelum tollens precatus esse, ut, si cui deorum hominumque nimia sua fortuna populique Romani videretur, ut eam invidiam lenire suo privato incommodo, quam minimo publico populi Romani liceret.*

41. *ἐπιλέγεσθαι* 'lesen' (I 124 4).

3. *ἀσηθείη* = *ἀλγήσειε* (c. 40 16. 43 9). *ἀσηθείς* = *λυπηθείς* Hesych. Das Verbum wie das Substantiv *ἄση* (zu I 136 11) ist bei Ioneru und Dichtern gebräuchlich. Hippokrates de morbo sacro p. 309 *ἀνιᾶται καὶ ἀσᾶται.* Theognis 657 *μηδὲν ἄγαν χαλεποῖσιν ἀσῶ φρένα μηδ' ἀγαθοῖσιν*, 989 *ὅταν δέ τι θυμὸν ἀσηθῇς.*

4ff. *σφρηγίς* hier u. VII 69 7 in seiner urspr. Bedeutung 'Siegelstein, Petschaft': da man aber das Siegel gewöhnlich in einem Ringe gefafst trug, erhielt das Wort auch die Bedeutung 'Siegelring' (unten 10 und I 195 7. III 42 14); übertr. auch 'Wachssiegel' (c. 128 7). Ateius Capito bei Macrobius Saturn. VII 13 *veteres non ornatus sed signandi causa anulum secum circumferebant.* — *χρυσόδετος* = *ἐνδεδεμένη χρυσῷ* (Paus. X 20 3), 'goldgefafst'. Die Arbeit des gefeierten Künstlers (vgl. zu I 51 11) bezog sich sicherlich nicht blofs auf den goldenen Reif und die Fassung des Steins. Zwar dafs derselbe, der sonst nur als Metallarbeiter bekannt ist, auch

ἐδόκεε ἀποβαλεῖν, ἐποίεε τοιάδε. πεντηκόντερον πληρώσας ἀνδρῶν ἐσέβη ἐς αὐτήν, μετὰ δὲ ἀναγαγεῖν ἐκέλευε ἐς τὸ πέλαγος· ὡς δὲ ἀπὸ τῆς νήσου ἑκὰς ἐγένετο, περιελόμενος τὴν σφρηγῖδα πάντων ὁρεόντων τῶν συμπλόων ῥίπτει ἐς τὸ πέλαγος. τοῦτο δὲ ποιήσας ἀπέπλεε, ἀπικόμενος δὲ ἐς τὰ οἰκία συμφορῇ ἐχρᾶτο.
πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπὸ τούτων τάδε οἱ συνήνεικε 42
γενέσθαι. ἀνὴρ ἁλιεὺς λαβὼν ἰχθὺν μέγαν τε καὶ καλὸν ἠξίου μιν Πολυκράτεϊ δῶρον δοθῆναι· φέρων δὴ ἐπὶ τὰς θύρας Πολυκράτεϊ ἔφη ἐθέλειν ἐλθεῖν ἐς ὄψιν, χωρήσαντος δέ οἱ τούτου ἔλεγε διδοὺς τὸν ἰχθὺν „ὦ βασιλεῦ, ἐγὼ τόνδε ἑλὼν οὐκ ἐδικαίωσα φέρειν ἐς ἀγορήν, καίπερ γε ἐὼν ἀποχειροβίωτος, ἀλλά μοι ἐδόκεε σεῦ τε εἶναι ἄξιος καὶ τῆς σῆς ἀρχῆς· σοὶ δή μιν φέρων δίδωμι.“ ὁ δὲ ἡσθεὶς τοῖσι ἔπεσι ἀμείβεται τοισίδε. „κάρτα τε εὖ ἐποίησας, καὶ χάρις διπλόη τῶν τε λόγων καὶ τοῦ δώρου· καί σε ἐπὶ δεῖπνον καλέομεν.“

den Stein geschnitten, hat *Lessing* (antiqu. Briefe 22) geleugnet und die Worte *ἔργον δὲ ἦν* nur auf *χρυσόδετος* beziehen wollen, indem der Stein überhaupt nicht geschnitten gewesen. Aber Strabon 638 (*δακτύλιον λίθου καὶ γλύμματος πολυτελοῦς*) und Pausanias VIII 14 (*Θεοδώρου δὲ ἔργον ἦν καὶ ἡ ἐπὶ τοῦ λίθου τῆς σμαράγδου σφραγίς*) bezeugen ausdrücklich daſs das Siegel von kostbarem Schnitt und ein Werk des Theodoros war. Durch Clemens. Al. Paedag. p. 289 erfahren wir sogar, daſs die eingeschnittene Figur eine *λύρα μουσική* darstellte. Theodoros mochte leicht mit der Torneutik die Steinschneidekunst verbinden, die schon vor ihm der Samier Mnasarchos, Pythagoras' Vater, geübt hatte (s. zu VII 27 9). Auch beruhte der hohe Werth des Ringes eben auf dem Schnitte der Gemme und ihrem Material, dem Smaragd, der nächst den Diamanten und den Perlen als kostbarstes Mineral galt (Plin. hist. nat. 37 62). — Theodoros war damals schon todt (s. zu I 51 11); der Ring war also unersetzbar, und mochte für Polykrates noch um so werthvoller sein, als er wahrscheinlich ein Erbstück des Hauses und von dem Vater auf ihn als den Erstgebornen übergegangen war. Von sonstigem kostbaren Besitz des Hauses ist c. 123 5. 148 4ff. eine Notiz erhalten. — *μὲν ἐοῦσα – δὲ ἦν*: zu I 85 5.

9. *ἐς τὸ πέλαγος*: zu I 24 8.

10. *περιελόμενος*: zu II 151 7.

12. *συμφορῇ χρᾶσθαι* sonst = *συμφορῇ ἔχεσθαι* (I 35 3), 'unglücklich sein' (I 42 3. III 117 17. VIII 20 11); hier aber = *συμφορὴν ποιέεσθαι* (IV 79 22) 'für ein Unglück halten, sich grämen'. Ebenso VII 134 *ἀχθομένων καὶ συμφορῇ χρεομένων Λακεδαιμονίων*, 141 2. VIII 100 2.

42. 5. *χωρήσαντος* 'da ihm dies gelungen, gewährt war'. V 89 *καί*

ὁ μὲν δὴ ἁλιεὺς μέγα ποιεύμενος ταῦτα ἤιε ἐς τὰ οἰκία, τὸν δὲ ἰχθὺν τάμνοντες οἱ θεράποντες εὑρίσκουσι ἐν τῇ νηδύι αὐτοῦ ἐνεοῦσαν τὴν Πολυκράτεος σφρηγῖδα. ὡς δὲ εἶδόν τε καὶ ἔλαβον τάχιστα, ἔφερον κεχαρηκότες παρὰ τὸν Πολυκράτεα, διδόντες δέ οἱ τὴν σφρηγῖδα ἔλεγον ὅτεῳ τρόπῳ εὑρέθη. τὸν δὲ ὡς ἐσῆλθε θεῖον εἶναι τὸ πρῆγμα, γράφει ἐς βιβλίον πάντα τὰ ποιήσαντά μιν οἷα καταλελαβήκεε, γράψας δὲ ἐς Αἴγυπτον ἐπέθηκε.

43 ἐπιλεξάμενος δὲ ὁ Ἄμασις τὸ βιβλίον τὸ παρὰ τοῦ Πολυκράτεος ἧκον, ἔμαθε ὅτι ἐκκομίσαι τε ἀδύνατον εἴη ἀνθρώπῳ ἄνθρωπον ἐκ τοῦ μέλλοντος γίνεσθαι πρήγματος, καὶ ὅτι οὐκ εὖ τελευτήσειν μέλλοι Πολυκράτης εὐτυχέων τὰ πάντα, ὃς καὶ τὰ ἀποβάλλει εὑρίσκει. πέμψας δέ οἱ κήρυκα ἐς Σάμον διαλύεσθαι ἔφη τὴν ξεινίην. τοῦδε δὲ εἵνεκεν ταῦτα ἐποίεε, ἵνα μὴ

σφι χωρήσειν τὰ βούλονται, VIII 68β εὐπετέως τοι δέσποτα χωρήσει τὰ νοέων ἐλήλυθας.

12. μέγα ποιεύμενος verbindet sich mit ταῦτα als éin Ausdruck. V 98 ταῦτα δὲ ἀκούσαντες οἱ Παίονες κάρτα τε ἀσπαστὸν ἐποιήσαντο. Vgl. auch I 89 Κύρῳ δὲ ἐπιμελὲς ἐγένετο τὰ Κροῖσος εἶπε, IX 90 εὐπετές τε αὐτοῖσι ἔφη ταῦτα γίνεσθαι.

17. ἐσῆλθε 'kam ihm ein', *cogitatio subiit*. Mit dem Acc. noch VI 125 23. VII 46 7. VIII 137 15 (vgl. ἐσιέναι I 116 2), mit dem Dat. I 86 14. III 14 47 (vgl. ἐσδύνειν VI 138 17).

18. θεῖον – πρῆγμα: zu I 174 18.

20. ἐπέθηκε (sc. βιβλίον), erg. ἀγγέλῳ διαπέμψαι (ἐς Αἴγυπτον), wie Thuk. I 129 ἐς Βυζάντιον ἐπιστολὴν ἀντεπετίθει αὐτῷ (dem Artabazos als Besteller) ὡς τάχιστα διαπέμψαι. Harpokration v. ἐπιθέτους ἑορτάς: λέγειν ἦν εἰθισμένον ἐπέθηκεν ἐπιστολὴν ἀντὶ τοῦ παρέδωκεν (sc. ἀγγέλῳ). So Demosth. g. Phorm. 28 οὐδὲ τὰς ἐπιστολὰς ἀπέδωκας αὐτοῖς ἃς ἡμεῖς ἐπεθήκαμεν. Mit dem brachylogischen ἐς, nach Analogie von ἐπέστειλε (c. 40 4), noch V 95 ταῦτα δὲ Ἀλκαῖος ἐν μέλεϊ ποιήσας ἐπιτιθεῖ ἐς Μυτιλήνην.

43. 2. ἐκκομίσαι = ἐκσῶσαι; vgl. c. 122 19. VIII 20 3. 32 9. Zu dem Gedanken vgl. I 91 τὴν πεπρωμένην μοῖραν ἀδύνατά ἐστι ἀποφυγεῖν καὶ θεῷ mit der Anm., unten c. 65 ἐν τῇ γὰρ ἀνθρωπηίῃ φύσι οὐκ ἐνῆν ἄρα τὸ μέλλον γίνεσθαι ἀποτράπειν, IX 16 ὅ τι δεῖ γίνεσθαι ἐκ τοῦ θεοῦ, ἀμήχανον ἀποτρέψαι ἀνθρώπῳ. Soph. Antig. 1337 πεπρωμένης οὐκ ἔστι θνητοῖς συμφορᾶς ἀπαλλαγή.

6ff. διαλύεσθαι, Medium (IV 154 17). — Anders motivirt Diodor I 95 den Bruch: Πολυκράτους δὲ τοῦ Σαμίων δυνάστου συντεθειμένου πρὸς αὐτὸν (Amasis) φιλίαν, καὶ βιαίως προσφερομένου τοῖς τε πολίταις καὶ τοῖς ἐς Σάμον καταπλέουσι ξένοις, τὸ μὲν πρῶτον λέγεται πρεσβευτὰς ἀποστείλαντα παρακαλεῖν αὐτὸν ἐπὶ τὴν μετριότητα· οὐ προσέχοντος δ' αὐτοῦ τοῖς λόγοις ἐπιστολὴν γράψαι

συντυχίης δεινῆς τε καὶ μεγάλης Πολυκράτεα καταλαβούσης αὐτὸς ἀλγήσειε τὴν ψυχὴν ὡς περὶ ξείνου ἀνδρός.

44 *Ἐπὶ τοῦτον δὴ ὦν τὸν Πολυκράτεα εὐτυχέοντα τὰ πάντα ἐστρατεύοντο Λακεδαιμόνιοι ἐπικαλεσαμένων τῶν μετὰ ταῦτα Κυδωνίην τὴν ἐν Κρήτῃ κτισάντων Σαμίων. πέμψας δὲ κήρυκα λάθρῃ Σαμίων Πολυκράτης παρὰ Καμβύσεα τὸν Κύρου, συλλέγοντα στρατὸν ἐπ' Αἴγυπτον, ἐδεήθη ὅκως ἂν καὶ παρ' ἑωυτὸν πέμψας ἐς Σάμον δέοιτο στρατοῦ. Καμβύσης δὲ ἀκούσας τούτων προθύμως ἔπεμπε ἐς Σάμον δεησόμενος Πολυκράτεος στρατὸν ναυτικὸν ἅμα πέμψαι ἑωυτῷ ἐπ' Αἴγυπτον. ὁ δὲ ἐπιλέξας τῶν ἀστῶν τοὺς ὑπώπτευε μάλιστα ἐς ἐπανάστασιν ἀπέπεμπε τεσσεράκοντα τριήρεσι, ἐντειλάμενος Καμβύσῃ ὀπίσω τούτους μὴ ἀποπέμπειν.* 45 *οἱ μὲν δὴ λέγουσι τοὺς ἀποπεμφθέντας Σαμίων ὑπὸ Πολυκράτεος οὐκ*

τὴν φιλίαν καὶ τὴν ξενίαν τὴν πρὸς αὐτὸν διαλυόμενον. οὐ γὰρ βούλεσθαι λυπηθῆναι συντόμως ἑαυτόν, ἀκριβῶς εἰδότα ὅτι πλησίον ἐστὶν αὐτῷ τὸ κακῶς παθεῖν οὕτω προεστηκότι τῆς τυραννίδος.

Die flüchtigen Samier. Kriegszug der Lakedaemonier gegen Samos (c. 44–47).

44. *Ἐπὶ τοῦτον δὴ ὦν*, Anknüpfung an die c. 39 begonnene Erzählung.

2f. *τῶν – Σαμίων*: der Weise des Vf., dem gröſsere Einschaltungen zwischen Artikel und Substantiv noch nicht geläufig sind, würde mehr entsprechen *ἐπικαλ. Σαμίων τῶν μετὰ ταῦτα – κτισάντων.* — *κτισάντων*, wie c. 49 5. Zur Sache vgl. c. 59.

4f. 'Es hatte aber Polykrates den Kambyses ersucht' u. s. w. Damit wird die Intervention der Lakedaemonier erklärt.

6. *ἐδεήθη ὅκως ἂν – δέοιτο*: zu II 126 8.

7. *ἀκούσας τούτων*: zu I 45 7.

8. *ἔπεμπε δεησόμενος*: I 46 *ἀπέπεμψε μαντευσόμενος*, VI 139 *ἔπεμπον αἰτησόμενοι.*

10. *ἐς ἐπανάστασιν* = *μὴ ἐπανίσταιντο* od. *ἐπανάστασιν βουλεύοιεν* (VIII 100 5). Es waren die grundbesitzenden Vollbürger, die *γεωμόροι*, welche Polykrates des Regimentes beraubt hatte.

11. *τεσσεράκοντα τριήρεσι*: der Ausdruck ist nicht zu genau zu nehmen. Des Polykrates Seemacht bestand hauptsächlich aus *πεντηκόντεροι* (c. 39 13. 41 7. 124 8); Dreidecker (*τριήρεις*) waren damals noch wenig im Gebrauch. Thuk. I 14 von den Seekräften (*ναυτικά*) des Polykrates und der Phokaeer (vgl. Her. I 163 5) *τριήρεσι μὲν ὀλίγαις χρώμενα, πεντηκοντόροις δ' ἔτι καὶ πλοίοις μακροῖς ἐξηρτυμένα. ὀλίγον τε πρὸ τῶν Μηδικῶν καὶ τοῦ Δαρείου θανάτου τριήρεις περί τε Σικελίαν τοῖς τυράννοις ἐς πλῆθος ἐγένοντο καὶ Κερκυραίοις.* Vgl. I 152 10. V 85 2.

45. 2. *τοὺς ἀποπεμφθέντας Σαμίων*: zu I 53 1.

ἀπικέσθαι ἐς Αἴγυπτον, ἀλλ' ἐπείτε ἐγένοντο ἐν Καρπάθῳ πλέοντες, δοῦναι σφίσι λόγον, καί σφι ἀδεῖν τὸ προσωτέρω μηκέτι πλέειν· οἱ δὲ λέγουσι ἀπικομένους τε ἐς Αἴγυπτον καὶ φυλασσομένους ἐνθεῦτεν αὐτοὺς ἀποδρῆναι. καταπλέουσι δὲ ἐς τὴν Σάμον Πολυκράτης νηυσὶ ἀντιάσας ἐς μάχην κατέστη· νικήσαντες δὲ οἱ κατιόντες ἀπέβησαν ἐς τὴν νῆσον, πεζομαχήσαντες δὲ ἐν αὐτῇ ἑσσώθησαν, καὶ οὕτω δὴ ἔπλεον ἐς Λακεδαίμονα. εἰσὶ δὲ οἵ λέγουσι τοὺς ἀπ' Αἰγύπτου νικῆσαι Πολυκράτεα, λέγοντες ἐμοὶ δοκέειν οὐκ ὀρθῶς· οὐδὲν γὰρ ἔδεέ σφεας Λακεδαιμονίους ἐπικαλέεσθαι, εἴ περ αὐτοὶ ἦσαν ἱκανοὶ Πολυκράτεα παραστήσασθαι. πρὸς δὲ τούτοισι οὐδὲ λόγος αἱρέει, τῷ ἐπίκουροί τε μισθωτοὶ καὶ τοξόται οἰκήιοι ἦσαν πλήθεϊ πολλοί, τοῦτον ὑπὸ τῶν κατιόντων Σαμίων ἐόντων ὀλίγων ἑσσωθῆναι. τῶν δ' ὑπ' ἑωυτῷ ἐόντων πολιητέων τὰ τέκνα καὶ τὰς γυναῖκας ὁ Πολυκράτης ἐς τοὺς νεωσοίκους συνειλήσας εἶχε ἑτοίμους, ἦν ἄρα προδιδῶσι οὗτοι πρὸς τοὺς κατιόντας, ὑποπρῆσαι αὐτοῖσι τοῖσι νεωσοίκοισι.

46 Ἐπείτε δὲ οἱ ἐξελασθέντες Σαμίων ὑπὸ Πολυκράτεος

3. *ἐγένοντο ἐν Καρπάθῳ* 'in der Nähe von K. waren'; vgl. II 163 7. V 33 4. IX 2 1 u. s. Die kleine Insel *Κάρπαθος*, j. *Scarpanto*, liegt inmitten der Meerenge zwischen Rhodos und Kreta, welche das aegaeische Meer mit dem südöstlichen Becken des Mittelmeeres verbindet. Nach der Insel hiefs das umliegende Meer *Καρπάθιον πέλαγος*.

5. *τὸ προσωτέρω*, adverbial.

7f. Verb. *καταπλέουσι* (sc. *τούτοισι*) *ἐς μάχην κατέστη* (= *ἐμαχέσατο*); zu *ἀντιάσας* erg. *αὐτούς*. Kürzer VII 9$^{\alpha}$ *καί μοι — οὐδεὶς ἠντιώθη ἐς μάχην*.

8. *οἱ κατιόντες*: zu I 60 25.

11. *εἰσὶ δὲ οἵ λέγουσι*, wohl dieselben, welche annahmen, die Samier seien zwar nach Aegypten gekommen, aber von dort entflohen (5f.). — *ἀπ' Αἰγύπτου*, näml. *ἀποδράντας* (6).

14. *παραστήσασθαι* eig. 'auf seine Seite bringen', wie *παραστῆναι* 'übertreten' (VI 99 9); dann überh. 'unterwerfen, bezwingen, erobern, nöthigen', *παραστῆναι* 'sich unterwerfen' (so hier u. c. 13 9. 155 13. IV 136 20. V 65 10. VI 140 11. VIII 80 6).

15. *λόγος αἱρέει*: zu I 132 18.

16. Vgl. c. 39 13.

19. Bekk. Anecd. p. 282 *νεώσοικοι, καταγώγια ἐπὶ τῆς θαλάττης ᾠκοδομημένα εἰς ὑποδοχὴν τῶν νεῶν, ὅτε μὴ θαλαττεύοιεν.* Da in der Regel je einer dieser Lagerschuppen ein Schiff faſste, mochte Polykrates deren an 100 besitzen (vgl. c. 39 13).

20. *προδιδόναι* 'abfallen, übergehen' (V 113 4. VI 15 7). Vgl. zu VII 139 11.

ἀπίκοντο ἐς τὴν Σπάρτην, καταστάντες ἐπὶ τοὺς ἄρχοντας ἔλεγον πολλὰ οἷα κάρτα δεόμενοι. οἱ δέ σφι τῇ πρώτῃ καταστάσι ὑπεκρίναντο τὰ μὲν πρῶτα λεχθέντα ἐπιλεληθέναι, τὰ δὲ ὕστατα οὐ συνιέναι. μετὰ δὲ ταῦτα δεύτερα καταστάντες ἄλλο μὲν εἶπον οὐδέν, θύλακον δὲ φέροντες ἔφασαν τὸν θύλακον ἀλφίτων δέεσθαι· οἱ δέ σφι ὑπεκρίναντο τῷ θυλάκῳ περιεργάσθαι· βοηθέειν

46. 2f. *καταστῆναι ἐπὶ-* 'hintreten, auftreten vor', bes. von fremden Gesandten; vgl. I 152 6. III 156 8; auch blofs *στῆναι* (VIII 79 5). Der Akt hiefs *κατάστασις* (unten 4. VIII 141 8. IX 9 3). Aehnlich *ἐπέρχεσθαι* (zu V 97 5), *ἀπικνέεσθαι* (VI 106 4. VII 172 7. IX 5 2). — *τοὺς ἄρχοντας*, die Ephoren, welche die auswärtigen Angelegenheiten leiteten und in der Regel die fremden Gesandten empfingen; s. besonders IX 7 ff. Doch stand ihnen diese Befugnifs nicht allein zu; in vielen überlieferten Fällen reden die Gesandten vor der versammelten Gemeinde (*τὸ κοινόν*; s. I 152 5 und besonders Thuk. I 90). Es scheint dafs es von dem Ermessen der Ephoren abhing, ob sie über eine Sache unmittelbar und selbständig beschliefsen oder die Gemeinde entscheiden lassen wollten.

4f. Plut. mor. p. 232d *Σαμίων πρεσβευταῖς μακρολογοῦσιν ἔφασαν οἱ Σπαρτιᾶται· τὰ μὲν πρῶτα ἐπιλελάθαμες, τὰ δὲ ὕστερα οὐ συνήκαμες διὰ τὸ τὰ πρῶτα ἐπιλελᾶσθαι.* — *ἐπιλεληθέναι* st. *ἐπιλελῆσθαι* ist selten. Pind. Ol. XI 3 *αὐτῷ μέλος ὀφείλων ἐπιλέλαθα.*

7f. Aus *τὸν θύλακον* ist nicht zu entnehmen dafs die Samier selber sagten: *ὁ θύλακος ἀλφίτων δέεται.* Sie konnten sich begnügen zu sagen: *δέεται ἀλφίτων.* Der Autor aber mufste das Subject hinzufügen, weil sonst das Prädicat *δέεσθαι* auf die Redenden selbst zu beziehen wäre. — Nachdem die Vertriebenen zuerst mit ionischer Redseligkeit (vgl. I 152) sich um die spartiatische Hilfe beworben, versuchen sie es nun auf entgegengesetztem Wege; sie hoffen den wortkargen Lakonen durch kürzeste und anschaulichste Erklärung ihres Verlangens zu gefallen. Aber die ernsten würdevollen Magistrate weisen dieses Benehmen als eine 'taktlose Aufdringlichkeit' (*περιεργία*, s. über diesen Begriff Theophrast. Char. 13) zurück: 'das mit dem Brodbeutel hätten sie besser unterlassen'. Die Samier hatten damit symbolisch andeuten wollen dafs sie der Hilfe bedürften, um in ihr Vaterland zurückzukehren. Und man verstand den Sinn recht wohl, denn man beschlofs ihnen zu 'helfen' (*βοηθέειν*) und führte sie mit Gewalt nach Samos zurück. (Die Worte lassen sich auch deuten: 'der Brodbeutel, d. h. seine Vorzeigung sei überflüssig gewesen', da ja die blofsen Worte *ἀλφίτων δεόμεθα* ihr Verlangen genügend ausgedrückt haben würden. Aber ohne den Brodbeutel verloren die Worte den symbolischen Sinn, und das gemessene spröde Wesen der Ephoren liefs eine so spitzfindige burleske Antwort nicht zu. Vollends lächerlich aber würden dieselben erscheinen, wenn sie nach einer ernsten Erklärung in der Rede der Samier nichts anderes als den überflüssigen Subjectsbegriff *ὁ θύλακος* rügten: '*satis erat ἀλφίτων δεῖται, inutile autem adicere ὁ θύλακος, nam hunc videmus*'!). — In jedem Falle pafste das Gleichnifs

47 δ' ὢν ἔδοξε αὐτοῖσι. καὶ ἔπειτα παρασκευασάμενοι ἐστρατεύοντο Λακεδαιμόνιοι ἐπὶ Σάμον, ὡς μὲν Σάμιοι λέγουσι, εὐεργεσίας ἐκτίνοντες, ὅτι σφι πρότεροι αὐτοὶ νηυσὶ ἐβοήθησαν ἐπὶ Μεσσηνίους· ὡς δὲ Λακεδαιμόνιοι λέγουσι, οὐκ οὕτω τιμωρῆσαι δεομένοισι Σαμίοισι ἐστρατεύοντο ὡς τίσασθαι βουλόμενοι τοῦ κρητῆρος τῆς ἁρπαγῆς τὸν ἦγον Κροίσῳ, καὶ τοῦ θώρηκος, τὸν αὐτοῖσι Ἄμασις ὁ Αἰγύπτου βασιλεὺς ἔπεμψε δῶρον. καὶ γὰρ θώρηκα ἐληίσαντο τῷ προτέρῳ ἔτεϊ ἢ τὸν κρητῆρα οἱ Σάμιοι, ἐόντα μὲν λίνεον καὶ ζῴων ἐνυφασμένων συχνῶν, κεκοσμημένον δὲ χρυσῷ καὶ εἰρίοισι ἀπὸ ξύλου· τῶν δὲ εἵνεκα θωυμάσαι ἄξιον, ἁρπεδόνη ἑκάστη τοῦ

weder auf die Lage noch auf das Anliegen der Bittenden. Die Anekdote war wohl irrthümlich in diese Geschichte verflochten worden. Den wirklichen Anlafs und wahren Sinn gibt die Erzählung bei Sextus Emp. II 23 (über die ἀφελὴς βραχυλογία der Spartiaten): *ἐκ μέσων μέντοι γε καὶ τὸν Χίων πρεσβευτὴν περὶ ἐξαγωγῆς πυροῦ δεόμενον, ἐπεὶ μακρῶς ἡρμήνευσε τὴν δέησιν, ἄπρακτον ἐξαπέστειλαν, ἑτέρου δὲ πεμφθέντος συντομωτέρου (ἤπειγε γὰρ ἀνάγκη τοὺς Χίους) ἔδοσαν· κενὸν γὰρ θύλακον αὐτοῖς οὗτος ἀνατείνας ἀλφίτων αὐτὸν ἔφη δεῖσθαι. ὅμως δ' οὖν καὶ τοῦτον ὡς ἀδολέσχην ἐμέμψαντο· ἀποχρώντως γὰρ κενὸς δειχθεὶς ὁ θύλακος ἐσήμηνε τὴν τῶν Χίων αἴτησιν.*

9. δ' ὢν 'doch aber' (c. 80 4). Sie konnten das Auftreten der Samier nicht billigen; aber ihnen zu helfen beschlossen sie doch.

47. 4f. *ἐπὶ Μεσσηνίους*, mag sich auf den s. g. 2. messenischen Krieg beziehen.

6f. Constr. *τίσασθαι τῆς τοῦ κρητῆρος ἁρπαγῆς*; vgl. zu I 2 15. Der Raub des Kessels ist I 70 erzählt. — *θώρηκος*, näml. *ἁρπαγῆς*. — Plutarch mor. p. 859c erhebt gegen diese Darstellung den beachtenswerthen Einwand, dafs nicht kleinliches Rachegefühl, vielmehr ihr auch sonst überall bewiesener Hafs gegen die Tyrannis und ihre grundsätzliche Begünstigung der Oligarchien die Spartaner zum Kriege gegen Polykrates bewogen hätten; er übersieht aber dafs H. nur berichtet (*ὡς δὲ Λακ. λέγουσι*), nicht behauptet.

10. *ζῴων*: zu I 70 5.

11. *κεκοσμημένον – ξύλου*, mit goldenen und baumwollenen Einschlägen verziert. Das Gewebe bestand in der Kette aus feinstem Leinen (Pollux VII 76) und war mit goldenen und baumwollenen Fäden durchwirkt, welche eben jene Ornamente (*ζῷα*) darstellten, also eine Art Byssos (vgl. zu II 86 25) mit Goldbrokat. Hesekiel 27 7 'Byssus mit Buntwirkerei aus Aegypten breitetest du dir aus zum Segel.' — *ἀπὸ ξύλου*: vgl. c. 106 11. VII 65 2. Plinius nat. hist. 19 14 *Superior pars Aegypti in Arabiam vergens gignit fruticem quem aliqui gossypion vocant, plures xylon et ideo* l i n a *inde* f a c t a *xylina*.

12. *θωυμάσαι ἄξιον* = *ἀξιοθέητον* (II 182 5). — *ἀρπεδόνη* eig. 'Strick', hier 'Schnur, Faden',

θώρηκος ποιέει· ἐοῦσα γὰρ λεπτὴ ἔχει ἁρπεδόνας ἐν ἑωυτῇ τριηκοσίας καὶ ἑξήκοντα, πάσας φανεράς. τοιοῦτος ἕτερος ἐστὶ καὶ τὸν ἐν Λίνδῳ ἀνέθηκε τῇ Ἀθηναίῃ Ἄμασις.

48 *Συνεπελάβοντο δὲ τοῦ στρατεύματος τοῦ ἐπὶ Σάμον ὥστε γενέσθαι καὶ Κορίνθιοι προθύμως· ὕβρισμα γὰρ καὶ ἐς τούτους εἶχε ἐκ τῶν Σαμίων γενόμενον γενεῇ πρότερον τοῦ στρατεύματος τούτου, κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ κρητῆρος τῇ ἁρπαγῇ γεγονός. Κερκυραίων γὰρ παῖδας τριηκοσίους ἀνδρῶν τῶν πρώτων Περίανδρος ὁ Κυψέλου ἐς Σάρδις ἀπέπεμψε παρὰ Ἀλυάττεα ἐπ' ἐκτομῇ· προσσχόντων δὲ ἐς τὴν Σάμον τῶν ἀγόντων τοὺς παῖδας Κορινθίων, πυθόμενοι οἱ Σάμιοι τὸν λόγον, ἐπ' οἷσι ἀγοίατο ἐς Σάρδις, πρῶτα μὲν τοὺς παῖδας ἐδίδαξαν ἱροῦ ἅψασθαι Ἀρτέμιδος, μετὰ δὲ οὐ*

und zwar zu der Kette, während der Einschlag aus goldenen und baumwollenen Fäden bestand. Pollux VII 31 *καὶ ἁρπεδόνας δὲ τὰ νήματα Ἡρόδοτος (ἔφη.)*

14 f *τοιοῦτος ἕτερος*, *alter talis* (I 120 34). — *ἐν Λίνδῳ*: s. II 182.

Feindschaft zwischen Samos und Korinth. Periandros und sein Sohn (c. 48—53).

48. *στρατεύματος* 'Heereszug' (zu I 6 11). Vgl. zu c. 56 8.

3 ff. *εἶχε — γενόμενον* periphrastisch für *ἐγένετο*, um die fortdauernde Wirkung des *ὕβρισμα* auszudrücken. Vgl. zu I 27 19. VII 143 6. — *γενεῇ πρότερον*, um etwa dreifsig Jahre früher. Den Mischkessel, der um dieselbe Zeit geraubt sein soll, hatten die Lakedämonier dem Kroesos geschickt, als er sie in Folge seiner zweiten Befragung des Orakels um Hilfe angegangen war (I 70), nach dem J. 556 v. Chr. (zu I 53 1). Ihr Zug gegen Polykrates erfolgte also um 525. Auf ungefähr dasselbe Jahr führt die Eroberung Aegyptens, an der sich Polykrates kurz vorher betheiligt hatte (c. 44). Aber mit dieser Bestimmung steht die weitere Angabe (6 ff.), dafs jene Beleidigung zur Zeit des Periandros und Alyattes vorgefallen sei, von denen doch dieser 560 v. Chr. (zu I 25 2), jener noch viel früher gestorben war (zu c. 49 2. 53 32) in unlöslichem Widerspruche. (Plutarch mor. p. 860ᵃ, der es auch hier, wie oben zu c. 47 6, rügt, dafs H. den Streit zwischen Samos und Korinth auf kleinliche unhaltbare Motive zurückführe, läfst zwischen Beleidigung und Rache drei *γενεαί* verfliefsen. Darum hat man hier *τρίτῃ γενεῇ πρότερον* lesen wollen, wodurch aber ein anderer Widerspruch erzeugt wird, indem dann die von H. behauptete Gleichzeitigkeit mit dem Kesselraube nicht bestehen kann).

8. *ἐπ' ἐκτομῇ*; zu VIII 105 7.

10. Der ganze Satz *ἐπ' οἷσι — ἀγοίατο* ist Epexegese zu *τὸν λόγον*: vgl. II 51 17. 115 8. V 19 11. 105 4. VI 2 10. VII 157 7. VIII 59 3.

11. *Ἀρτέμιδος*: von der Lage ihres Tempels in der Nähe des Fl. *Ἴμβρασος* und des Vgb. *Χήσιον*

περιορέοντες ἀπέλκειν τοὺς ἱκέτας ἐκ τοῦ ἱροῦ, σιτίων δὲ τοὺς παῖδας ἐργόντων Κορινθίων, ἐποιήσαντο οἱ Σάμιοι ὁρτήν, τῇ καὶ νῦν ἔτι χρέονται κατὰ ταὐτά· νυκτὸς γὰρ ἐπιγενομένης, ὅσον χρόνον ἱκέτευον οἱ παῖδες, ἵστασαν χοροὺς παρθένων τε καὶ ἠιθέων, ἱστάντες δὲ τοὺς χοροὺς τρωκτὰ σησάμου τε καὶ μέλιτος ἐποιήσαντο νόμον φέρεσθαι, ἵνα ἁρπάζοντες οἱ τῶν Κερκυραίων παῖδες ἔχοιεν τροφήν. ἐς τοῦτο δὲ τόδε ἐγίνετο, ἐς ὃ οἱ Κορίνθιοι τῶν παίδων οἱ φύλακοι οἴχοντο ἀπολιπόντες·

49 τοὺς δὲ παῖδας ἀπήγαγον ἐς Κέρκυραν οἱ Σάμιοι. εἰ μέν νυν Περιάνδρου τελευτήσαντος φίλια ἦν τοῖσι Κορινθίοισι πρὸς τοὺς Κερκυραίους, οἱ δὲ οὐκ ἂν συνελάβοντο τοῦ στρατεύματος τοῦ ἐπὶ Σάμον ταύτης εἵνεκεν τῆς αἰτίης. νῦν δὲ αἰεὶ ἐπείτε ἔκτισαν τὴν νῆσον, εἰσὶ ἀλλήλοισι διά-

südwestlich der Stadt, hiefs sie Ἰμβρασίη und Χησιάς (Kallim. hymn. Dian. 228). Diogenes L. I 95 nennt an ihrer Stelle die Hera

16. Il. σ 593 ἔνθα μὲν ἠίθεοι καὶ παρθένοι ἀλφεσίβοιαι Ὠρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.

17. τρωκτά, kleines Gebäck, mehr zum Naschen als zur Speise. Vgl. τραγήματα. Der bestimmte Name solcher Kuchen war nach dem Hauptbestandtheile σησαμόεντες oder σησαμίδες. Athenaeos 646 f σησαμίδες ἐκ μέλιτος καὶ σησάμων πεφρυγμένων καὶ ἐλαίου σφαιροειδῆ πέμματα. Samos stand nächst Attika seines Backwerks wegen in besonderem Rufe (Athenaeos 644 c).

19. ἐς τοῦτο – ἐς ὃ 'so lange bis' (VII 181 4). — τόδε, genauer τοῦτο (zu I 137 2). Vielleicht schrieb H. ἐς τόδε δὲ τοῦτο ἐγίνετο.

20. ἀπολιπόντες intr. 'sich entfernend'. Zu II 14 16.

21. Andere schreiben die Rettung den Knidiern zu. Plut. mor. p. 860b Κερκυραῖοι Σαμίων μὲν ἐπὶ τούτῳ λόγον οὐ πολὺν ἔχουσι, Κνιδίων δὲ μέμνηνται, καὶ Κνιδίοις εἰσὶ τιμαὶ καὶ ἀτέλειαι καὶ ψηφίσματα παρ' αὐτοῖς. οὗτοι γὰρ ἐπιπλεύσαντες ἐξήλασαν ἐκ τοῦ ἱεροῦ τοὺς Περιάνδρου φύλακας, αὐτοὶ δ' ἀναλαβόντες τοὺς παῖδας εἰς Κέρκυραν διεκόμισαν, ὡς Ἀντήνωρ ἐν τοῖς Κρητικοῖς ἱστόρηκε καὶ Διονύσιος ὁ Χαλκιδεὺς ἐν ταῖς κτίσεσιν.

49. 2. τελευτήσαντος: er starb nach einer 40 jährigen Regierung (Arist. Pol. V 12) 80 J. alt, Ol. 48 4 = 585 v. Chr. (Diog. L. I 95). Vgl. zu V 92ζ 2. — φίλια: VI 83 τέως μὲν δή σφι ἦν ἄρθμια ἐς ἀλλήλους.

3. οἱ δέ: zu II 39 9.

5. ἔκτισαν 'colonisirt hatten'; vgl. zu I 16 6. — Strab. 269 πλέοντα δὲ τὸν Ἀρχίαν (aus Korinth) εἰς τὴν Σικελίαν (wo er Syrakus gründete) καταλιπεῖν μετὰ μέρους τῆς στρατιᾶς τοῦ τῶν Ἡρακλειδῶν γένους Χερσικράτη συνοικιοῦντα τὴν νῦν Κέρκυραν καλουμένην, πρότερον δὲ Σχερίαν. ἐκεῖνον μὲν οὖν ἐκβαλόντα Λιβυρνοὺς κατέχοντας οἰκίσαι τὴν νῆσον. Die gleichzeitige Gründung von Syrakus setzt die Marmorchronik auf Ol. 5 4 = 757, die des Eusebios auf Ol. 11 4 = 733 v. Chr.

φοροι ἐόντες ἑωυτοῖσι . . . . τούτων ὦν εἵνεκεν ἀπεμνησικάκεον τοῖσι Σαμίοισι οἱ Κορίνθιοι. ἀπέπεμπε δὲ ἐς Σάρδις ἐπ' ἐκτομῇ Περίανδρος τῶν πρώτων Κερκυραίων ἐπιλέξας τοὺς παῖδας τιμωρεύμενος· πρότεροι γὰρ οἱ Κερκυραῖοι ἦρξαν ἐς αὐτὸν πρῆγμα ἀτάσθαλον ποιήσαντες. ἐπείτε 50 γὰρ τὴν ἑωυτοῦ γυναῖκα Μέλισσαν Περίανδρος ἀπέκτεινε, συμφορὴν τοιήνδε οἱ ἄλλην συνέβη πρὸς τῇ γεγονυίῃ γενέσθαι. ἦσάν οἱ ἐκ Μελίσσης δύο παῖδες, ἡλικίην ὁ μὲν ἑπτακαίδεκα ὁ δὲ ὀκτωκαίδεκα ἔτεα γεγονώς. τούτους ὁ μητροπάτωρ Προκλέης, ἐὼν Ἐπιδαύρου τύραννος, μεταπεμψάμενος παρ' ἑωυτὸν ἐφιλοφρονέετο, ὡς οἰκὸς ἦν θυγατρὸς ἐόντας τῆς ἑωυτοῦ παῖδας. ἐπείτε δέ σφεας ἀπεπέμπετο, εἶπε προπέμπων αὐτούς „ἆρα ἴστε, ὦ παῖδες, ὃς ὑμέων τὴν μητέρα ἀπέκτεινε;“ τοῦτο τὸ ἔπος ὁ μὲν πρεσβύτερος αὐτῶν ἐν οὐδενὶ λόγῳ ἐποιήσατο· ὁ δὲ νεώτερος, τῷ οὔνομα ἦν Λυκόφρων,

6. Hinter ἑωυτοῖσι scheint συγγενέες oder ὁμαίμονες oder ähnliches ausgefallen, 'sie sind von jeher in Zwiespalt mit einander, obgleich sie doch Stammgenossen sind'. Vgl. VI 52 τούτους ἀνδρωθέντας ἀδελφεοὺς ἐόντας λέγουσι διαφόρους εἶναι τὸν πάντα χρόνον τῆς ζόης ἀλλήλοισι, I 151 Ἄρισβαν ἠνδραπόδισαν Μηθυμναῖοι ἐόντας ὁμαίμους. Möglich aurh dafs die Lücke noch gröfser ist und Näheres über einen früheren Streit zwischen beiden Staaten enthielt. Die Worte τούτων ὦν εἵνεκεν scheinen darauf zu deuten. Vgl. Thuk I 13 ναυμαχίη παλαιτάτη ὧν ἴσμεν γίγνεται Κορινθίων πρὸς Κερκυραίους· ἔτη δὲ μάλιστα ταύτῃ ἑξήκοντα καὶ διακόσιά ἐστιν μέχρι τοῦ αὐτοῦ χρόνου (Anfang des pelop. Krieges). Von den Kerkyraeern sagt der korinthische Redner bei Thuk. I 38 ἀλλ' οὔτε πρὸς τοὺς ἄλλους οὔτε ἐς ἡμᾶς τοιοίδε (sc. ἀγαθοί) εἰσίν, ἄποικοι δὲ ὄντες ἀφεστᾶσί τε διὰ παντὸς καὶ νῦν πολεμοῦσι.

50. 2. Diog. L. I 94 (Περίανδρος) γήμας Λυσιδίκην, ἣν αὐτὸς Μέλισσαν ἐκάλει, τὴν Προκλέους τοῦ Ἐπιδαυρίων τυράννου καὶ Ἐρισθενείας τῆς Ἀριστοκράτους παιδός, ἀδελφῆς δὲ τοῦ Ἀριστοδήμου θυγατέρα, οἳ σχεδὸν πάσης Ἀρκαδίας ἐπῆρξαν, . . παῖδας ἐξ αὐτῆς ἐποίησε δύο, Κύψελον καὶ Λυκόφρονα· τὸν μὲν νεώτερον συνετόν, τὸν δὲ πρεσβύτερον ἄφρονα. χρόνῳ δὴ ὑπὸ ὀργῆς βαλὼν ὑποβάθρῳ ἢ λακτίσας τὴν γυναῖκα ἔγκυον οὖσαν ἀπέκτεινε, πεισθεὶς διαβολαῖς παλλακίδων ἃς ὕστερον ἔκαυσε.

4 f. ἡλικίην, zur Zeit da die folgende Begebenheit vorfiel. — ὁ δέ, Kypselos genannt, wie sein Grofsvater.

7. ἐφιλοφρονέετο = φιλοφρόνως ἐδέξατο (c. 51 3).

10. ὃς st. ὅστις, wie c. 51 2 τά st. ἅτινα; zu I 56 5.

11. Aehnlich I 13 τούτου τοῦ ἔπεος λόγον οὐδένα ἐποιεῦντο.

ἤλγησε ἀκούσας οὕτω ὥστε ἀπικόμενος ἐς τὴν Κόριν-
θον ἅτε φονέα τῆς μητρὸς τὸν πατέρα οὔτε προσεῖπε,
διαλεγομένῳ τε οὔτε προσδιελέγετο ἱστορέοντί τε λόγον
οὐδένα ἐδίδου. τέλος δέ μιν πέρι θυμῷ ἐχόμενος ὁ Πε-
51 ρίανδρος ἐξελαύνει ἐκ τῶν οἰκίων. ἐξελάσας δὲ τοῦτον
ἱστόρεε τὸν πρεσβύτερον τά σφι ὁ μητροπάτωρ διε-
λέχθη. ὁ δέ οἱ ἀπηγέετο ὥς σφεας φιλοφρόνως ἐδέξα-
το· ἐκείνου δὲ τοῦ ἔπεος τό σφι ὁ Προκλέης ἀποστέλ-
λων εἶπε, ἅτε οὐ νόῳ λαβών, οὐκ ἐμέμνητο. Περίαν-
δρος δὲ οὐδεμίαν μηχανὴν ἔφη εἶναι μὴ οὔ σφι ἐκεῖνον
ὑποθέσθαι τι, ἐλιπάρεέ τε ἱστορέων· ὁ δὲ ἀναμνησθεὶς
εἶπε καὶ τοῦτο. Περίανδρος δὲ νόῳ λαβὼν [καὶ τοῦτο]
καὶ μαλακὸν ἐνδιδόναι βουλόμενος οὐδέν, τῇ ὁ ἐξελα-
σθεὶς ὑπ' αὐτοῦ παῖς δίαιταν ἐποιέετο, ἐς τούτους πέμ-
πων ἄγγελον ἀπηγόρευε μή μιν δέκεσθαι οἰκίοισι. ὁ δὲ
ὅκως ἀπελαυνόμενος ἔλθοι ἐς ἄλλην οἰκίην, ἀπηλαύνετ'
ἂν καὶ ἀπὸ ταύτης, ἀπειλέοντός τε τοῦ Περιάνδρου
τοῖσι δεξαμένοισι καὶ ἐξέργειν κελεύοντος· ἀπελαυνόμενος
δ' ἂν ἤιε ἐπ' ἑτέρην τῶν ἑταίρων· οἱ δὲ ἅτε Περιάν-
δρου ἐόντα παῖδα, καίπερ δειμαίνοντες, ὅμως ἐδέκοντο.
52 τέλος δὲ ὁ Περίανδρος κήρυγμα ἐποιήσατο, ὃς ἂν ἢ
οἰκίοισι ὑποδέξηταί μιν ἢ προσδιαλεχθῇ, ἱρὴν ζημίην

14f. Von den beiden parallelen Satztheilen *οὔτε προσεῖπε, διαλεγομένῳ τε* ..zerlegt sich das Prädicat des letzteren wiederum in zwei entsprechende Glieder: *οὔτε προσδιελέγετο ἱστορέοντί τε – ἐδίδου.* Aehnlich II 136 14. VIII 142 6. Häufiger ist solche doppelte Gliederung bei *τε καί*, wie I 119 16. II 115 3f. V 113 10ff. VII 119 9ff. 11f.

16. *πέρι θυμῷ ἐχόμενος, impotenti ira accensus.* Das adverbiale *πέρι* 'überaus' gehört der epischen Diction an und findet sich bei H. nur hier (s. Aehnliches zu IV 119 17). Zu *θυμῷ ἐχόμενος* vgl I 141 *ὀργῇ ἐχόμενοι.* Prokopios, der den Stil des H. vielfach nachahmt, sagt *de bello Goth.* I 7 *καὶ θυμῷ πολλῷ ἤδη ἐχόμενος*, 18 *θυμῷ μεγάλῳ ἐχόμενος.*

51. 9f. *μαλακὸν ἐνδιδ. οὐδέν* 'keine Schlaffheit, Nachsicht zeigen' (c. 105 12); vgl. VII 52 8. — *τῇ – ἐς τούτους*: vgl. IX 1 *ὅκου δὲ ἑκάστοτε γίνοιτο, τούτους παρελάμβανε.* Soph. Phil. 456 *ὅπου δ' ὁ χείρων τἀγαθοῦ μεῖζον σθένει – τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ.*

52. *κήρυγμα ἐποιήσατο ὃς ἂν κτλ.* erinnert an des Oedipus Bannspruch Soph. O. T. 236 *τὸν ἄνδρ' ἀπαυδῶ τοῦτον – μήτ' ἐνδέχεσθαι μήτε προσφωνεῖν τινα.* — *ἱρὴν ζημίην*: Strafgelder flossen entweder in die Staatskasse oder, wie hier, in den Tempelschatz einer Gottheit. Vgl. zu VII 132 9.

τοῦτον τῷ Ἀπόλλωνι ὀφείλειν, ὅσηνδὴ εἴπας. πρὸς ὧν δὴ τοῦτο τὸ κήρυγμα οὔτε τίς οἱ διαλέγεσθαι οὔτε οἰκίοισι δέκεσθαι ἤθελε· πρὸς δὲ οὐδὲ αὐτὸς ἐκεῖνος ἐδικαίευ πειρᾶσθαι ἀπειρημένου, ἀλλὰ διακαρτερέων ἐν τῇσι στοιῇσι ἐκαλινδέετο. τετάρτῃ δὲ ἡμέρῃ ἰδών μιν ὁ Περίανδρος ἀλουσίῃσί τε καὶ ἀσιτίῃσι συμπεπτωκότα οἴκτειρε· ὑπεὶς δὲ τῆς ὀργῆς ἤιε ἆσσον καὶ ἔλεγε „ὦ παῖ, κότερα τούτων αἱρετώτερά ἐστι, ταῦτα τὰ νῦν ἔχων πρήσσεις, ἢ τὴν τυραννίδα καὶ τὰ ἀγαθὰ τὰ νῦν ἐγὼ ἔχω, ταῦτα ἐόντα τῷ πατρὶ ἐπιτήδεον παραλαμβάνειν; ὃς ἐὼν ἐμός τε παῖς καὶ Κορίνθου τῆς εὐδαίμονος βασιλεὺς ἀλήτην βίον εἵλευ, ἀντιστατέων τε καὶ ὀργῇ χρεόμενος ἐς τόν σε ἥκιστα χρῆν. εἰ γάρ τις συμφορὴ ἐν αὐτοῖσι ἐγγέγονε, ἐξ ἧς ὑποψίην ἐς ἐμὲ ἔχεις, ἐμοί τε αὕτη γέγονε καὶ ἐγὼ αὐτῆς τὸ πλεῦν μέτοχός εἰμι, ὅσῳ αὐτός σφεα ἐξεργασάμην. σὺ δὲ μαθὼν ὅσῳ φθο-

3f. ὅσηνδὴ εἴπας 'mit Angabe einer gewissen Summe'. Wieviel sie betrug, wufste der Vf. nicht oder hielt er für überflüssig mitzutheilen. Vgl. zu I 86 28. 157 5. — πρὸς τοῦτο τὸ κήρυγμα = τούτου τοῦ κηρύγματος εἵνεκεν.

6. ἀπειρημένου, rei vetitae.

8. Die Plurale ἀλουσίῃσί τε καὶ ἀσιτίῃσι vgl. mit den homerischen ἀγηνορίῃσιν, ἀτασθαλίῃσιν, ἀφραδίῃσιν, κακορραφίῃσιν, ὑπεροπλίῃσιν u. a. Bei H. noch ἀλογίῃσι (II 141 2), ἀβουλίῃσι (VIII 57 11), ὁδοιπορίῃσι (VIII 118 3). — συμπεπτωκότα 'hinein gerathen'; in diesem Sinne ist περιπίπτειν gewöhnlicher (VI 17 οὗτοι μέν νυν τοιαύτῃσι περιέπιπτον τύχῃσι); vgl. jedoch Soph. Ai. 429 τοιοῖσδε κακοῖς συμπεπτωκότα.

9. ὑπεὶς τῆς ὀργῆς, wie I 156 8.

10 f. Wie sonst ταῦτα πρήσσειν = οὕτω πρήσσειν, so hier ταῦτα τὰ νῦν ἔχων πρήσσεις = οὕτω ὡς νῦν πρήσσεις 'so wie es dir jetzt ergeht, deinen jetzigen Zustand.'

12. ταῦτα: zu c. 14 4. — ἐόντα, sc. σέ. — ἐπιτήδεος 'willfährig'.

13. τῆς εὐδαίμονος: vgl. H. II. β 570 ἀφνειόν τε Κόρινθον, Pind. Ol. XIII 4 τὰν ὀλβίαν Κόρινθον, Thuk. I 13 οἰκοῦντες γὰρ τὴν πόλιν οἱ Κορίνθιοι ἐπὶ τοῦ ἰσθμοῦ αἰεὶ δή ποτε ἐμπόριον εἶχον, τῶν Ἑλλήνων τὸ πάλαι κατὰ γῆν τὰ πλείω ἢ κατὰ θάλασσαν . . διὰ τῆς ἐκείνων παρ' ἀλλήλους ἐπιμισγόντων, χρήμασί τε δυνατοὶ ἦσαν, ὡς καὶ τοῖς παλαιοῖς ποιηταῖς δεδήλωται· ἀφνειὸν γὰρ ἐπωνόμασαν τὸ χωρίον.

16. ἐν αὐτοῖσι 'dabei' (I 9 2), womit nur andeutend des Vorgefallenen, des Todes der Mutter (vgl. zu c. 50 2) gedacht wird. — ὑποψίην, ich hätte sie absichtlich getödtet.

18 ff. ὅσῳ, als ginge τοσούτῳ πλέον voraus (II 61 7. VIII 13 4). — Zu der folgenden Sentenz vgl. Pind. Pyth. I 85 κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος.

νέεσθαι κρέσσον ἐστὶ ἢ οἰκτείρεσθαι, ἅμα τε ὁκοῖόν τι ἐς τοὺς τοκέας καὶ ἐς τοὺς κρέσσονας τεθυμῶσθαι, ἄπιθι ἐς τὰ οἰκία." Περίανδρος μὲν τούτοισι αὐτὸν κατελάμβανε· ὁ δὲ ἄλλο μὲν οὐδὲν ἀμείβεται τὸν πατέρα, ἔφη δέ μιν ἱρὴν ζημίην ὀφείλειν τῷ θεῷ ἑωυτῷ ἐς λόγους ἀπικόμενον. μαθὼν δὲ ὁ Περίανδρος ὡς ἄπορόν τι τὸ κακὸν εἴη τοῦ παιδὸς καὶ ἀνίκητον, ἐξ ὀφθαλμῶν μιν ἀποπέμπεται στείλας πλοῖον ἐς Κέρκυραν· ἐπεκράτεε γὰρ καὶ ταύτης. ἀποστείλας δὲ τοῦτον ὁ Περίανδρος ἐστρατεύετο ἐπὶ τὸν πενθερὸν Προκλέα ὡς τῶν παρεόντων οἱ πρηγμάτων ἐόντα αἰτιώτατον, καὶ εἷλε μὲν τὴν Ἐπίδαυρον, εἷλε δὲ αὐτὸν Προκλέα

53 καὶ ἐζώγρησε. ἐπεὶ δὲ τοῦ χρόνου προβαίνοντος ὅ τε Περίανδρος παρηβήκεε καὶ συνεγινώσκετο ἑωυτῷ οὐκέτι εἶναι δυνατὸς τὰ πρήγματα ἐπορᾶν τε καὶ διέπειν, πέμψας ἐς τὴν Κέρκυραν ἀπεκάλεε τὸν Λυκόφρονα ἐπὶ τὴν τυραννίδα· ἐν γὰρ δὴ τῷ πρεσβυτέρῳ τῶν παίδων οὐκ ἐνώρα, ἀλλά οἱ κατεφαίνετο εἶναι νωθέστερος. ὁ δὲ Λυκόφρων οὐδὲ ἀνακρίσιος ἠξίωσε τὸν φέροντα τὴν ἀγγελίην. Περίανδρος δὲ περιεχόμενος τοῦ νεηνίεω δεύτερα ἀπέστειλε ἐπ' αὐτὸν τὴν ἀδελφεήν, ἑωυτοῦ δὲ θυγατέρα, δοκέων μιν μάλιστα ταύτης ἂν πείθεσθαι. ἀπικομένης δὲ ταύτης καὶ λεγούσης „ὦ παῖ, βούλεαι τὴν

22. *κατελάμβανε* 'suchte ihn zu beschwichtigen' (I 46 7). — *οὐδὲν ἀμείβεται τὸν πατέρα*: zu II 173 21.

25. Ueber das steigernde *τι* zu V 33 9.

30 f. *εἷλε — καὶ ἐζώγρησε* 'fing ihn und machte ihn zum Gefangenen, bekam ihn lebend in seine Gewalt'. = *εἷλε ζωγρίῃ* (VI 37 5).

53. 2. *συνεγινώσκετο ἑωυτῷ*: zu I 45 18.

5. *τῷ πρεσβυτέρῳ*, dem Kypselos; zu c. 50 5.

6. *οὐκ ἐνώρα*, nähmlich *εἶναι δυνατὸν τὰ πρήγματα ἐπορᾶν τε καὶ διέπειν*. Vgl. VIII 140β *ἐνορέω γὰρ ὑμῖν οὐκ οἵοισί τε ἐσομένοισι τὸν πάντα χρόνον πολεμέειν Ξέρξῃ*. — *νωθέστερος*, *tardiore, hebetiore ingenio*. Auch folgte nicht dieser dem Vater in der Tyrannis, sondern Psammetichos, Gordins' Sohn und Periandros' Neffe (Arist. Pol. V 12).

7. *ἀνάκρισις* 'Einrede, Widerspruch'. Zu VII 69 7.

9. *δέ*: zu I 114 24.

10. *ταύτης πείθεσθαι*: zu I 59 13.

11. Der nach der Rede der Schwester (*λεγούσης . .*) erwartete, die Antwort des Jünglings enthaltende Nachsatz folgt unten 21 f., hat

τε τυραννίδα ἐς ἄλλους πεσεῖν καὶ τὸν οἶκον τοῦ πατρὸς διαφορηθέντα μᾶλλον ἢ αὐτός σφεα ἀπελθὼν ἔχειν; ἄπιθι ἐς τὰ οἰκία, παῦσαι σεωυτὸν ζημιῶν. φιλοτιμίη κτῆμα σκαιόν· μὴ τῷ κακῷ τὸ κακὸν ἰῶ. πολλοὶ τῶν δικαίων τὰ ἐπιεικέστερα προτιθεῖσι, πολλοὶ δὲ ἤδη τὰ μητρώια διζήμενοι τὰ πατρώια ἀπέβαλον. τυραννὶς χρῆμα σφαλερόν, πολλοὶ δὲ αὐτῆς ἐρασταί εἰσι· ὁ δὲ γέρων τε ἤδη καὶ παρηβηκώς· μὴ δῷς τὰ σεωυτοῦ ἀγαθὰ ἄλλοισι.“ ἡ μὲν δὴ τὰ ἐπαγωγότατα διδαχθεῖσα ὑπὸ τοῦ πατρὸς ἔλεγε πρὸς αὐτόν· ὁ δὲ ὑποκρινάμενος ἔφη οὐδαμὰ ἥξειν ἐς Κόρινθον, ἔστ' ἂν πυνθάνηται περιεόντα τὸν πατέρα. ἀπαγγειλάσης δὲ ταύτης ταῦτα,

aber nicht die Form als solcher, weil der Vordersatz der langen Unterbrechung wegen unten 20 noch einmal, aber in selbständiger Weise wiederholt ist. — Die im Geiste des Vaters (vgl. 21) gehaltene Mahnrede besteht fast nur aus einer Reihe lose verknüpfter kurzer Gnomen, und ahmt darin die gedrungene Sprechweise des Zeitalters der sieben Weisen nach, zu deren Zahl Periander selbst gerechnet wurde.

12f. *ἐς ἄλλους πεσεῖν* geh. auch zu *οἶκον*, 'in andere Hände gerathen', wie *ἐς κακὸν πίπτειν*; der farblosere Ausdruck wäre *περιιέναι* oder *περιέρχεσθαι* (zu I 7 2). — *οἶκον* 'Vermögen' (VII 224 14), schon bei Homer. — *διαφορηθέντα* = *διαρπασθέντα* (I 88 11).

14. *φιλοτιμίη* 'Ehrgeiz, Stolz'. Die Schwester sieht in dem Benehmen des Bruders nur übertriebenes Selbstgefühl, das sich in dem eigensinnigen Beharren gegen den Vater gefällt und sich durch Nachgeben zu demüthigen fürchtet.

15f. *κακῷ*, nämlich *φιλοτιμίῃ*. Die Sentenz war sprüchwörtlich; Aesch. Fr. 339 Nauck *μὴ κακοῖς ἰῶ κακά*, Soph. Fr. 75 *ἐνταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ, κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά*; Thuk. V 65 *διανοεῖται κακὸν κακῷ ἰᾶσθαι*. — *πολλοὶ – προτιθεῖσι*: also darfst auch du dich nicht scheuen so zu thun. — *τὸ ἐπιεικές* ist, in Gegensatz zum starren unbeugsamen *δίκαιον*, die Billigkeit, die den Umständen und Absichten Rechnung trägt und die zuweilen ungerechte Härte des abstracten Rechtes mildert und ausgleicht. Arist. Eth. Nik. V 10 *τὸ ἐπιεικὲς δίκαιον μέν ἐστιν, οὐ τὸ κατὰ νόμον δὲ ἀλλ' ἐπανόρθωμα* (correctio) *νομίμου δικαίου*, Rhet. I 13 *ἔστι δὲ ἐπιεικὲς τὸ παρὰ τὸν γεγραμμένον νόμον δίκαιον*. Wo beide löblich sind, verdient doch das *ἐπιεικές* den Vorzug (Eth. Nik. V 10). Dieser Gedanke liegt auch in hiesiger Stelle: 'Viele geben dem, was billiger ist, den Vorzug vor dem, was Rechtens ist'. Billigkeit aber beansprucht die Tochter für den Vater, weil er nicht mit Vorbedacht die Mutter getödtet. — Der Genitiv *τῶν δικαίων* hat doppelten Bezug, sowohl zu *προτιθεῖσι* als zu *τὰ ἐπιεικέστερα*.

18. Eurip. Fr. 846 *ἡ γὰρ τυραννὶς πάντοθεν τοξεύεται δεινοῖς ἔρωσιν, ἧς φυλακτέον πέρι.* — *ὁ δέ*, der Vater.

22. *οὐδαμά* = *οὔποτε* (I 5 18).

τὸ τρίτον Περίανδρος κήρυκα πέμπει βουλόμενος αὐτὸς μὲν ἐς Κέρκυραν ἥκειν, ἐκεῖνον δὲ ἐκέλευε ἐς Κόρινθον ἀπικόμενον διάδοχον γίνεσθαι τῆς τυραννίδος. καταινέσαντος δὲ ἐπὶ τούτοισι τοῦ παιδός, ὁ μὲν Περίανδρος ἐστέλλετο ἐς τὴν Κέρκυραν, ὁ δὲ παῖς οἱ ἐς τὴν Κόρινθον· μαθόντες δὲ οἱ Κερκυραῖοι τούτων ἕκαστα, ἵνα μή σφι Περίανδρος ἐς τὴν χώρην ἀπίκηται, κτείνουσι τὸν νεηνίσκον. ἀντὶ τούτων μὲν Περίανδρος Κερκυραίους ἐτιμωρέετο.

54 Λακεδαιμόνιοι δὲ στόλῳ μεγάλῳ ὡς ἀπίκοντο, ἐπολιόρκεον Σάμον· προσβαλόντες δὲ πρὸς τὸ τεῖχος τοῦ μὲν πρὸς θαλάσσῃ ἑστεῶτος πύργου κατὰ τὸ προάστειον τῆς πόλιος ἐπέβησαν, μετὰ δὲ αὐτοῦ βοηθήσαντος Πολυκράτεος χειρὶ πολλῇ ἀπηλάσθησαν. κατὰ δὲ τὸν ἐπάνω πύργον τὸν ἐπὶ τῆς ῥάχιος τοῦ οὔρεος ἐπεόντα ἐπεξῆλθον οἵ τε ἐπίκουροι καὶ αὐτῶν Σαμίων συχνοί, δεξάμενοι δὲ τοὺς Λακεδαιμονίους ἐπ' ὀλίγον χρόνον ἔφευγον ὀπίσω· οἱ δὲ ἐπισπόμενοι ἔκτεινον.
55 εἰ μὲν νυν οἱ παρεόντες Λακεδαιμονίων ὅμοιοι ἐγένοντο ταύτην τὴν ἡμέρην Ἀρχίῃ τε καὶ Λυκώπῃ, αἱρέθη ἂν Σάμος· Ἀρχίης γὰρ καὶ Λυκώπης μοῦνοι συνεσπεσόντες φεύγουσι ἐς τὸ τεῖχος τοῖσι Σαμίοισι, καὶ ἀποκληισθέντες τῆς ὀπίσω ὁδοῦ, ἀπέθανον ἐν τῇ πόλι τῇ Σαμίων· τρίτῳ δὲ ἀπ' Ἀρχίεω τούτου γεγονότι ἄλλῳ Ἀρχίῃ τῷ

25. *ἐκεῖνον δὲ ἐκέλευε* 'jener aber solle'. (Cobet will *ἐκέλευε* streichen, ohne allen Grund, vgl. z. B. c. 74 15. V 84 8. VI 84 10).

28. *οἱ*: zu I 34 16.

31. Hinter *μέν* ist wohl *νυν* ausgefallen.

32. *ἐτιμωρέετο* 'wollte sich rächen', durch die Wegführung der dreihundert Edelknaben. Da Periander 585 v. Chr. hochbejahrt starb, wird sie um 590 anzusetzen sein.

54. Rückkehr zu der c. 47 begonnenen Erzählung vom Kriegszug der Lakedaemonier gegen Samos (c. 54–56).

2ff. Der Angriff geschah zugleich von der Wasser- (2–5) und Landseite (5–9). Der ältere Theil der Stadt (*ἀκρόπολις*, auch *Ἀστυπάλαια*) lag auf den Abhängen des Ampelos; der gröfsere Theil in der Ebene bis zum Meere und um die Hafenbucht. Nach SW. erstreckte sich das Meer entlang das *προάστειον* bis zum Fl. Imbrasos und der sumfigen Niederung, wo der berühmte Hera-tempel stand. — *τῆς πόλιος*, pleonastischer Zusatz zu *προάστειον*, wie I 110 *ὑπώρεαι τῶν οὐρέων*.

Σαμίου τοῦ Ἀρχίεω αὐτὸς ἐν Πιτάνῃ συνεγενόμην (δήμου γὰρ τούτου ἦν), ὃς ξείνων πάντων μάλιστα ἐτίμα τε Σαμίους, καί οἱ τῷ πατρὶ ἔφη Σάμιον τοὔνομα τεθῆναι, ὅτι οἱ ὁ πατὴρ Ἀρχίης ἐν Σάμῳ ἀριστεύσας ἐτελεύτησε. τιμᾶν δὲ Σαμίους ἔφη, διότι ταφῆναί οἱ τὸν πάππον δημοσίῃ εὖ ὑπὸ Σαμίων. Λακεδαιμόνιοι δέ, 56
ὥς σφι τεσσεράκοντα ἐγεγόνεσαν ἡμέραι πολιορκέουσι Σάμον, ἐς τὸ πρόσω τε οὐδὲν προεκόπτετο τῶν πρηγμάτων, ἀπαλλάσσοντο ἐς Πελοπόννησον. ὡς δὲ ὁ ματαιότερος λόγος ὥρμηται, [λέγεται] Πολυκράτεα ἐπιχώ-

55. 8. *Πιτάνη*, auch *Πιτάναι*, ein selhständiges Quartier der Stadt Sparta. 'Wahrscheinlich lag Pitane, wie der attische Kecameikos, theils innerhalb theils aufsecbalb dec Stadt. Die Nöhe von Burg, Theater und Mackt, dahei die fceie und luftige Lage (im Eucotas-thale), die leichte Vechindang mit dem gegenseitigen Ufer machte das Qnactier der Pitanaten, die sich lange einen selhstündigen Gemeindeverband echielten, zu dem gesuchtesten Wohnorte Sparta's.' *Curtius* Peloponnes II 234. Vgl. zu IX 53 8. — H. nennt hiec nach ionisch-attischem Gebcauche *δῆμος*, was man im Peloponnes *κώμα* 'Landgemeinde' nannte (Arist. Poet. 3.). Aus dem Complex solcher vier *κῶμαι* (auch *φυλαί* als politischer Abtheilungen), nämlich *Πιτάνα*, *Λίμναι*, *Μεσόα* und *Κυνόσουρα* bestand die s. g. Stadt Spacta.

9. *δήμου τούτου ἦν*: zu V 92β 7.

10. *Σαμίους*: als Samier konnte der Vf. selber gewissermafsen gelten und dem Archias empfohlen sein; vgl. Einl. S. 10 f. — *οἱ*: zu I 34 16.

12 f. *διότι ταφῆναι*: zu I 24 30. — Plut. mor. p. 860ᵉ benutzt mit Recht diese Notiz, um seine ohen zu c. 48 3 ecwähnte Polemik gegen die Act, wie H. den spartiatischen Zug eckIärt, zu unterstützen: *ὅτι δ' οὐ τιμωρούμενοι Σαμίους ἀλλ' ἐλευθεροῦντες ἀπὸ τοῦ τυράννου καὶ σώζοντες ἐστράτευσαν οἱ Λακεδαιμόνιοι, Σαμίοις αὐτοῖς ἐστὶ χρήσασθαι μάρτυσιν. Ἀρχίᾳ γὰρ ἀνδρὶ Σπαρτιάτῃ λαμπρῶς ἀγωνισαμένῳ τότε καὶ πεσόντι τάφον εἶναι δημοσίᾳ κατεσκευασμένον ἐν Σάμῳ καὶ τιμώμενον ὑπ' αὐτῶν λέγουσι· διὸ καὶ τοὺς ἀπογόνους τοῦ ἀνδρὸς ἀεὶ διατελεῖν Σαμίοις οἰκείως καὶ φιλανθρώπως προσφερομένους, ὡς αὐτὸς Ἡρόδοτος ταῦτα γοῦν ἀπομεμαρτύρηκεν.* Dabei versteht Plutacch richtig *ταφῆναι* = *τάφον αὐτῷ κατασκευασθῆναι*; vgl. V 8 4. VII 228 1. Zu *ταφῆναι—εὖ* vgl. VI 30 *εὖ ἐνετείλατο θάψαι*, 'ehrenvoll'. Zur Stellung III 82 *νόμους μὴ λύειν ἔχοντα εὖ*, V 50 *διαβάλλων ἐκεῖνον εὖ*, IV 134 *εἶπαι περὶ τῶν Σκυθικῶν δώρων ὀρθῶς*, V 27 2. 92ζ 2. VI 45 11. VII 134 13. Gerade *εὖ* stellt H. in dec Regel nach. Die Errichtung des Gcabdenkmals geschah natürlich erst später, wahrscheinlich nach den Perseckciegen, nachdem die Stadt fcei geworden war.

56. 3. Vgl. zu I 190 12. III 154 7. Eurip. Hek. 960 *ἀλλὰ ταῦτα μὲν τί δεῖ θρηνεῖν προκόπτοντ' οὐδὲν εἰς πρόσθεν κακῶν;*

5. *ὁ ματαιότερος*: der Comparativ nach VI 68 *οἱ δὲ καὶ τὸν μα-*

ριον νόμισμα κόψαντα πολλὸν μολύβδου καταχρυσώσαντα δοῦναί σφι, τοὺς δὲ δεξαμένους οὕτω δὴ ἀπαλλάσσεσθαι. ταύτην πρώτην στρατιὴν ἐς τὴν Ἀσίην Λακεδαιμόνιοι Δωριέες ἐποιήσαντο.

57 Οἱ δ' ἐπὶ τὸν Πολυκράτεα στρατευσάμενοι Σαμίων, ἐπεὶ οἱ Λακεδαιμόνιοι αὐτοὺς ἀπολείπειν ἔμελλον, καὶ αὐτοὶ ἀπέπλεον ἐς Σίφνον. χρημάτων γὰρ ἐδέοντο, τὰ δὲ τῶν Σιφνίων πρήγματα ἤκμαζε τοῦτον τὸν χρόνον, καὶ νησιωτέων μάλιστα ἐπλούτεον, ἅτε ἐόντων αὐτοῖσι ἐν τῇ νήσῳ χρυσέων καὶ ἀργυρέων μετάλλων, οὕτω ὥστε ἀπὸ τῆς δεκάτης τῶν γινομένων αὐτόθεν χρημάτων θησαυρὸς ἐν Δελφοῖσι ἀνακέεται ὅμοια τοῖσι πλου-

ταιότερον λόγον λέγοντες, nicht als wenn der andere λόγος auch μάταιος gewesen, sondern ματαιότερος steht = ἧσσον ἐπιεικής oder πιθανός (c. 9 7). — ὤρμηται, *exiit*, 'sich verbreitet hat'. VII 189 ὡς φάτις ὥρμηται. Sonst tritt noch λέγεσθαι hinzu (IV 16 1. VI 86 δ 4), das vielleicht zu dem nach herod. Gebrauche (zu I 65 20) überflüssigen λέγεται verschrieben ist.

8. πρώτην: die zweite erfolgte 479 v. Chr. (IX 90 ff.). — στρατιή = στρατηΐη (VI 56 8. VII 7 3. 38 13. 174 1, vgl. zu c. 48 1). Ammon. de diff. vocab. στρατεία τὸ πρᾶγμα, στρατιὰ τὸ τῶν στρατιωτῶν πλῆθος· ἐναλλάσσει δὲ πολλάκις ἐν τῇ χρήσει. Bei den Prosaikern schwanken die Hss. in der Regel zwischen beiden Formen. Unter den Dichtern gebraucht Aristophanes στρατιά in beiden Bedeutungen, στρατεία gar nicht.

9. Λακεδαιμόνιοι Δωριέες: das Appositum dient zur genaueren Bestimmung, 'Lakedaemonier und zwar Dorier'; denn nichtdorische (achaeische) Lak. waren schon im Troerkriege nach Asien gezogen. S. I 72 8. III 112 4.

Brandschatzung der Siphnier und Ausgang der flüchtigen Samier. Staunenswerthe Bauten auf Samos (c. 57–60).

57. 3. ἐς Σίφνον 'und zwar nach Siphnos'.

4 ff. Für den Metallreichthum der Insel zeugt auch, daſs sie noch hundert Jahre später einen das Verhältniſs ihrer Gröſse weit übersteigenden jährlichen Tribut an Athen zu zahlen hatte (Boeckh Staatsh. der Ath. II 618). — νησιωτέων, ohne Artikel; zu VII 95 1.

7 f. Pausan. X 11 2 ἐποιήθη δὲ καὶ ὑπὸ Σιφνίων ἐπὶ αἰτίᾳ τοιᾷδε θησαυρὸς (ἐν Δελφοῖς)· Σιφνίοις ἡ νῆσος χρυσοῦ μέταλλα ἤνεγκε, καὶ αὐτοὺς τῶν προσιόντων ἐκέλευσεν ὁ θεὸς ἀποφέρειν δεκάτην ἐς Δελφούς. οἱ δὲ τὸν θησαυρὸν ᾠκοδομήσαντο καὶ ἀπέφερον τὴν δεκάτην. ὡς δὲ ὑπὸ ἀπληστίας ἐξέλιπον τὴν φοράν, ἐπικλύσασα ἡ θάλασσα ἀφανῆ τὰ μέταλλά σφισιν ἐποίησεν. — ἀνακεῖσθαι (= ἀνατεθεῖσθαι), sonst nur vom Inhalte des θησαυρός, der ἀναθήματα. Vgl. zu I 14 8. — Das adverbiale ὁμοῖα gehört zu ἀνακέεται, 'in gleicher d. i. in gleich kostbarer Weise'. S. zu c. 8 2. Thuk. I 25 χρημάτων ἐν δυνάμει ὄντες ὁμοῖα τοῖς Ἑλλήνων πλουσιωτάτοις.

σιωτάτοισι· αὐτοὶ δὲ τὰ γινόμενα τῷ ἐνιαυτῷ ἑκάστῳ χρήματα διενέμοντο. ὅτε ὦν ἐποιεῦντο τὸν θησαυρόν, ἐχρέοντο τῷ χρηστηρίῳ εἰ αὐτοῖσι τὰ παρεόντα ἀγαθὰ οἷά τε ἐστὶ πολλὸν χρόνον παραμένειν· ἡ δὲ Πυθίη ἔχρησέ σφι τάδε.

ἀλλ' ὅταν ἐν Σίφνῳ πρυτανήια λευκὰ γένηται
λεύκοφρύς τ' ἀγορή, τότε δὴ δεῖ φράδμονος ἀνδρός
φράσσασθαι ξυλινόν τε λόχον κήρυκά τ' ἐρυθρόν.

τοῖσι δὲ Σιφνίοισι τότε ἦν ἡ ἀγορὴ καὶ τὸ πρυτανήιον Παρίῳ λίθῳ ἠσκημένα. τοῦτον τὸν χρησμὸν οὐκ οἷοί 58 τε ἦσαν γνῶναι, οὔτε τότε ἰθὺς οὔτε τῶν Σαμίων ἀπιγμένων. ἐπείτε γὰρ τάχιστα πρὸς τὴν Σίφνον προσῖσχον οἱ Σάμιοι, ἔπεμπον τῶν νεῶν μίαν πρέσβεας ἄγουσαν ἐς τὴν πόλιν. τὸ δὲ παλαιὸν ἅπασαι αἱ νέες ἦσαν μιλτηλιφέες· καὶ ἦν τοῦτο τὸ ἡ Πυθίη προηγόρευε τοῖσι Σιφνίοισι, φυλάξασθαι τὸν ξύλινον λόχον κελεύουσα καὶ κήρυκα ἐρυθρόν. ἀπικόμενοι ὦν οἱ ἄγγελοι ἐδέοντο τῶν Σιφνίων δέκα τάλαντά σφι χρῆσαι· οὐ φασκόντων δὲ χρήσειν τῶν Σιφνίων αὐτοῖσι, οἱ Σάμιοι τοὺς χώρους αὐτῶν ἐπόρθεον. πυθόμενοι δὲ ἰθὺς ἧκον οἱ Σίφνιοι βοηθέοντες, καὶ συμβαλόντες αὐτοῖσι ἑσσώθησαν, καὶ αὐτῶν πολλοὶ ἀπεκληίσθησαν τοῦ ἄστεος

9. *αὐτοί* soll wohl einen Gegensatz zu späteren Zeiten andeuten, da die allmälig erschöpften Werke nicht mehr unmittelbar von der Bürgerschaft betrieben und der Ertrag unter dieselbe repartirt, sondern, wie in Attika die laurischen Silbergruben (zu VII 144 4), an Erbpächter ausgethan und der Pachtzins zunächst in die Gemeindekasse abgeführt wurde, um damit die gemeinsamen Ausgaben und den an Athen zu zahlenden Tribut zu bestreiten.

12. *οἷά τε ἐστί*, *liceret*, sc. *per deos, in fatis esset*; in dieser Bedeutung sonst nicht belegt. Vgl. zu I 29 9. III 28 7.

14. *ἀλλ'*: zu I 47 13.

15. *λεύκοφρυς*: 'mit weifsem Rande' geht auf die den Marktplatz umgebenden Säulenhallen (18).

16. *φράσσασθαι* hier zugleich = *φυλάξασθαι* (c. 58 7), 'bedenken, sich hüten'.

18. *Παρίῳ λίθῳ ἠσκημένα*: das Prytaneion war aus parischem Marmor aufgeführt, die Agora mit Stoen und Sculpturen aus gleichem Steine umgeben und geschmückt. Vgl. zu II 130 4.

58. 6. *μιλτηλιφέες*, bei Homer *μιλτοπάρῃοι* (Il. β 637), *φοινικοπάρῃοι* (Od. λ 124). Aus Homer stammt auch die Notiz selber.

ὑπὸ τῶν Σαμίων· καὶ αὐτοὺς μετὰ ταῦτα ἑκατὸν τάλαντα ἔπρηξαν.
59 *παρὰ δὲ Ἑρμιονέων νῆσον ἀντὶ χρημάτων παρέλαβον, Ὑδρέην τὴν ἐπὶ Πελοποννήσῳ, καὶ αὐτὴν Τροιζηνίοισι παρακατέθεντο· αὐτοὶ δὲ Κυδωνίην τὴν ἐν Κρήτῃ ἔκτισαν, οὐκ ἐπὶ τοῦτο πλέοντες, ἀλλὰ Ζακυνθίους ἐξελῶντες ἐκ τῆς νήσου. ἔμειναν δ' ἐν ταύτῃ καὶ εὐδαιμόνησαν ἐπ' ἔτεα πέντε, ὥστε τὰ ἱρὰ τὰ ἐν Κυδωνίῃ ἐόντα νῦν οὗτοί εἰσι οἱ ποιήσαντες [καὶ τὸν τῆς Δικτύνης νηόν]. ἕκτῳ δὲ ἔτεϊ Αἰγινῆται αὐτοὺς ναυμαχίῃ νικήσαντες ἠνδραποδίσαντο μετὰ Κρητῶν, καὶ τῶν νεῶν καπρίους ἐχουσέων τὰς πρώρας ἠκρωτηρίασαν καὶ ἀνέθεσαν ἐς τὸ ἱρὸν τῆς Ἀθηναίης*

59. 4. *ἔκτισαν*: zu I 16 6. Die Stadt war eine der ältesten der Insel und vorhellenischen Ursprungs. Od. γ 291 *Κρήτῃ ἐπέλασσεν Ἠχι Κύδωνες ἔναιον Ἰαρδάνου ἀμφὶ ῥέεθρα.*

5. Von Zakynthiern auf Kreta berichtet sonst Niemand; wahrscheinlich versuchten sie damals zuerst auf der Insel Fuſs zu fassen. Die Dorier aber, zumeist die in Sparta, denen sie als Achaeer verfeindet waren (vgl. VI 70. Thuk. II 67), machten sich der heimathlosen Samier bedienen, um sie von der groſsentheils dorischen Insel zu vertreiben.

6. *ὥστε*, in Folge ihres blühenden Wohlstandes (*εὐδαιμόνησαν*).

8. *καὶ τὸν τῆς Δικτύνης νηόν* ist ein sprachlich wie sachlich ungehöriger Zusatz. Der Dienst der *Δίκτυνα* (auch *Δίκτυννα*, so hieſs die im westlichen Theile Kreta's verehrte der Artemis ähnliche Göttin, im östlichen hieſs sie *Βριτόμαρτις*) war nicht hellenisch und vollends den Samiern ganz fremd. Ihr Tempel stand auch nicht in oder bei der Stadt, sondern ziemlich entfernt davon auf dem Berge Tityros, im Gebiete von Polyrrhenia (Strab. 479). — *ἕκτῳ ἔτεϊ*, um 520 v. Chr.

9. *μετὰ Κρητῶν*, zunächst wohl der durch die Einwanderung beschädigten Kydonen. Der freundschaftliche Handelsverkehr der Aegineten mit Kreta war sprüchwörtlich (*Κρὴς πρὸς Αἰγινήτην*). Nach der Vertreibung der Samier, die ihnen mit gefährlicher Concurrenz drohten (vgl. IV 152), sandten sie selbst eine Colonie nach Kydonia (Strab. 376).

10f. *τὰς πρώρας* gehört sowohl zu *ἐχουσέων* als zu *ἠκρωτηρίασαν*, eine bei H. nicht seltene Doppelbeziehung eines Wortes (s. zu I 137 4). Auffallend ist das Adjectiv *καπρίους*, statt dessen *καπροειδέας* stehen sollte. — *ἠκρωτηρίασαν*, specielles an *πρώρας* angepaſstes Verbum. Vgl. I 103 4. Denn *ἀκρωτήριον* ist ungefähr = *πρῶρα*. Nämlich nach Hesychios s. v. *Σαμιακὸς τρόπος* waren die samischen Schiffe so gebaut, daſs sie, bei starker Ausbauchung, nach vorn in breit abgestumpfte, oben eingebogene Schnäbel (*ἔμβολοι*) ausliefen, also nach vorn ungefähr einem Schweine ähnelten. Daher im Verse des samischen Dichters Choerilos *νηῦς δέ τις ὠκυπόρος Σαμίη συὸς εἶδος ἔχουσα.* Plut. Perikl. 26 *ἡ Σάμαινα ναῦς ὑόπρωρος μὲν τὸ*

ἐν Αἰγίνῃ. ταῦτα δὲ ἐποίησαν ἔγκοτον ἔχοντες Σαμίοι-
σι Αἰγινῆται· πρότεροι γὰρ Σάμιοι ἐπ᾽ Ἀμφικράτεος
βασιλεύοντος ἐν Σάμῳ στρατευσάμενοι ἐπ᾽ Αἴγιναν με-
γάλα κακὰ ἐποίησαν Αἰγινήτας καὶ ἔπαθον ὑπ᾽ ἐκεί-
νων. ἡ μὲν αἰτίη αὕτη. ἐμήκυνα δὲ περὶ Σαμίων μᾶλ- 60
λον, ὅτι σφι τρία ἐστὶ μέγιστα ἁπάντων Ἑλλήνων ἐξερ-
γασμένα, οὔρεός τε ὑψηλοῦ ἐς πεντήκοντα καὶ ἑκατὸν
ὀργυιάς, τούτου ὄρυγμα κάτωθεν ἀρξάμενον, ἀμφίστο-
μον. τὸ μὲν μῆκος τοῦ ὀρύγματος ἑπτὰ στάδιοί εἰσι,
τὸ δὲ ὕψος καὶ εὖρος ὀκτὼ ἑκάτερον πόδες. διὰ παν-
τὸς δὲ αὐτοῦ ἄλλο ὄρυγμα εἰκοσίπηχυ βάθος ὀρώρυκται,
τρίπουν δὲ τὸ εὖρος, δι᾽ οὗ τὸ ὕδωρ ὀχετευόμενον διὰ
τῶν σωλήνων παραγίνεται ἐς τὴν πόλιν ἀγόμενον ἀπὸ
μεγάλης πηγῆς. ἀρχιτέκτων δὲ τοῦ ὀρύγματος τούτου
ἐγένετο Μεγαρεὺς Εὐπαλῖνος Ναυστρόφου. τοῦτο μὲν δὴ
ἓν τῶν τριῶν ἐστι, δεύτερον δὲ περὶ λιμένα χῶμα ἐν

σίμωμα, κοιλοτέρα δὲ καὶ γαστροειδὴς ὥστε καὶ φορτοφορεῖν καὶ ταχυναυτεῖν. οὕτω δ᾽ ὠνομάσθη διὰ τὸ πρῶτον ἐν Σάμῳ φανῆναι, Πολυκράτους τυράννου κατασκευάσαντος.

12. *ἔγκοτος* 'Groll', nur bei H. als Substantiv in der Phrase *ἔγκοτον ἔχειν τινί* (VI 73 4. 133 5. VIII 29 1. IX 110 3). Vgl. *χόλον ἔχειν* oder *ἐνέχειν τινί* (I 118 3).

13 ff. Amphikrates scheint der Familie des Prokles angehört zu haben, der eine Colonie von Epidauros nach Samos geführt hatte (s. zu I 146 9) und dessen Nachkommen im Besitze der Königswürde blieben. Als Aegina von Epidauros abfiel und darüber ein Krieg entstand (V 83), mag sich der Proklide zu Gunsten der Mutterstadt daran betheiligt haben.

60. 3. *οὔρεος*, an dem die Stadt lag; s. zu c. 54 2.

4. *τούτου*: zu c. 14 4. — *κάτωθεν*, vom Fuſse des Berges an, der also in seiner ganzen Sohle durchbrochen ward, um das Wasser der jenseits springenden Quelle in die Stadt leiten zu können. Woraus eben die Gröſse und Schwierigkeit des Werkes erhellt. — *ἀμφίστομον*, diesseits und jenseits des Berges.

6 ff. Den groſsen Tunnel (*ὄρυγμα*) durchschnitt in seiner ganzen Länge ein zweiter schmalerer aber bedeutend tieferer, der eigentliche Kanal zur Ableitung der Quelle in die Stadt. Seine unverhältniſsmäſsige Tiefe von 30 F. war wohl darauf berechnet den groſsen Gang bei jeder Wasserhöhe gangbar zu erhalten. — *διὰ τῶν σωλήνων* gehört zu *παραγίνεται – ἀγόμενον*. Der Artikel, weil Leitungsröhren bei jeder Wasserleitung sich von selbst verstehen. Sie nahmen das Wasser an der Mündung des Tunnels auf und vertheilten es durch die Stadt.

10. *πηγῆς*: Gigartho und Leukothea werden von Plinius nat. hist. V 135 als Quellen der Insel erwähnt.

12 f. *χῶμα* 'Mole'. — *καὶ εἴκοσι*: zu II 44 17.

θαλάσσῃ, βάθος καὶ εἴκοσι ὀργυιέων· μῆκος δὲ τοῦ χώματος μέζον δύο σταδίων. τρίτον δέ σφι ἐξέργασται νηὸς μέγιστος πάντων νηῶν τῶν ἡμεῖς ἴδμεν· τοῦ ἀρχιτέκτων πρῶτος ἐγένετο Ῥοῖκος Φίλεω ἐπιχώριος. τούτων εἵνεκεν μᾶλλόν τι περὶ Σαμίων ἐμήκυνα.

61 *Καμβύσῃ δὲ τῷ Κύρου χρονίζοντι περὶ Αἴγυπτον*

15f. *νηός*, der Hera als der Hauptgottheit der Insel. Er lag in der sumpfigen Niederung südwestlich der Stadt (*Κάλαμοι* oder *Ἕλος*, IX 96 3) am Flusse Imbrasos, nicht weit vom Meere. Seine erste Anlage knüpfte die Sage an die Argonautenfahrt (Pausan. VII 4 4). Den Grund zu dem später so berühmt gewordenen Heraeon legte der Samier Rhoekos (zu I 51 11); andere nicht genannte Künstler, wahrscheinlich aus des Rhoekos Schule, setzten den Bau fort, der unter Polykrates beendet zu sein scheint. Ist eine Nachricht des Pausanias begründet (VII 5 4 *δύο δὲ ἄλλας ἐν Ἰωνίᾳ ναοὺς ἐπέλαβεν ὑπὸ Περσῶν κατακαυθῆναι τόν τε ἐν Σάμῳ τῆς Ἥρας καὶ ἐν Φωκαίᾳ τῆς Ἀθηνᾶς· θαῦμα δὲ ὅμως ἦσαν καὶ ὑπὸ τοῦ πυρὸς λελυμασμένοι*), so kann ihn H. nicht mehr in ursprünglicher Form gesehen haben. Vgl. II 148 9. IV 88 7. Noch sind einige Trümmer ionischen Stiles übrig, wonach seine Tiefe auf 346, seine Breite auf 189 F. berechnet worden ist. — *μέγιστος πάντων νηῶν*: das noch gröſsere ephesische Artemision mag damals noch nicht die nachmalige Gröſse erreicht haben.

17. *μᾶλλόν τι*, als ich sonst getban hätte. S. zu I 44 2.

Der falsche Smerdis. Kambyses' Tod (c. 61–67).

61. Vom Aufstande des Magers erzählen auch Ktesias Exc. Pers. 10 ff. und Justinus I 9, beide von H. mehr oder weniger abweichend; am urkundlichsten König Dareios selbst in der Behistân-Inschrift Col. I Z. 10f (vgl. zu c. 30 4): 'Als Kaũbujiya den Bardiya getödtet hatte, da hatte das Heer keine Kunde daſs Bardiya getödtet worden, daſs B. todt war. Darauf ging K. nach Aegypten. Als K. nach Aegypten gezogen war, da wurde das Heer aufrührerisch: darauf nahm die Lüge zu in den Provinzen, sowohl in Persien als in Medien als auch in den übrigen Provinzen. Da war ein Mann, ein Mager, *Gaumâta* mit Namen; von Pisiyâuvâda lehnte er sich auf; ein Berg Arakadris mit Namen, von da aus. Im Monate Viyakhna am 14. Tage, da war es als er sich auflehnte. So log er die Leute an: ich bin Bardiya, Sohn des Kuru, Bruder des Kaũbujiya. Darauf wurde das ganze Reich aufrührerisch gegen K.; es trat zu jenem über sowohl Persien als Medien als auch die übrigen Provinzen. Er ergriff die Herrschaft. Im Monate Garmapada am 9. Tage, da war es, da ergriff er die Herrschaft. Darauf starb K., indem er sich selbst tödtete.' Diesem Berichte steht der des H. am nächsten, der des Ktesias am fernsten, auſser daſs dieser wie die Inschrift nur von einem Mager weiſs. Dem Namen *Gaumâta* kommt der *Cometes* des Justin sehr nahe. Die allen drei Autoren gemeinschaftliche Fabel von der groſsen Aehnlichkeit des Magers und des Smerdis entstand, um den Betrug zu erklären. Der Fall, daſs aufständische Könige sich durch populäre Namen zu legitimiren suchten, war auch sonst nicht selten (vgl. zu I 130 7. III 151 2).

καὶ παραφρονήσαντι ἐπανιστέαται ἄνδρες Μάγοι δύο ἀδελφεοί, τῶν τὸν ἕτερον καταλελοίπεε τῶν οἰκίων μελεδωνὸν ὁ Καμβύσης. οὗτος δὴ ὦν οἱ ἐπανέστη μαθών τε τὸν Σμέρδιος θάνατον ὡς κρύπτοιτο γενόμενος, καὶ ὡς ὀλίγοι εἴησαν οἱ ἐπιστάμενοι αὐτὸν Περσέων, οἱ δὲ πολλοὶ περιεόντα μιν εἰδείησαν. πρὸς ταῦτα βουλεύσας τάδε ἐπεχείρησε τοῖσι βασιληίοισι. ἦν οἱ ἀδελφεός, τὸν εἶπά οἱ συνεπαναστῆναι, οἰκὼς μάλιστα τὸ εἶδος Σμέρδι τῷ Κύρου, τὸν ὁ Καμβύσης ἐόντα ἑωυτοῦ ἀδελφεὸν ἀπέκτεινε. ἦν τε δὴ ὁμοῖος εἶδος τῷ Σμέρδι, καὶ δὴ καὶ οὔνομα τὠυτὸ εἶχε Σμέρδιν. τοῦτον τὸν ἄνδρα ἀναγνώσας ὁ Μάγος Πατιζείθης ὥς οἱ αὐτὸς πάντα διαπρήξει, εἷσε ἄγων ἐς τὸν βασιλήιον θρόνον. ποιήσας δὲ τοῦτο κήρυκας τῇ τε ἄλλῃ διέπεμπε καὶ δὴ καὶ ἐς Αἴγυπτον προερέοντα τῷ στρατῷ ὡς Σμέρδιος τοῦ Κύρου ἀκουστέα εἴη τοῦ λοιποῦ ἀλλ᾽ οὐ Καμβύσεω.
οἵ τε δὴ ὦν ἄλλοι κήρυκες προηγόρευον ταῦτα, καὶ δὴ **62**
καὶ ὁ ἐπ᾽ Αἴγυπτον ταχθείς, εὕρισκε γὰρ Καμβύσεα καὶ τὸν στρατὸν ἐόντα τῆς Συρίης ἐν Ἀγβατάνοισι, προηγόρευε στὰς ἐς μέσον τὰ ἐντεταλμένα ἐκ τοῦ Μάγου. Καμβύσης δὲ ἀκούσας ταῦτα ἐκ τοῦ κήρυκος καὶ ἐλπίσας μιν λέγειν ἀληθέα αὐτός τε προδεδόσθαι ἐκ Πρηξάσπεος (πεμφθέντα γὰρ αὐτὸν ὡς ἀποκτενέοντα Σμέρδιν οὐ ποιῆσαι ταῦτα), βλέψας ἐς τὸν Πρηξάσπεα εἶπε „Πρήξασπες, ἔφη, οὕτω μοι διεπρήξαο τό τοι προσέ-

5. *κρύπτοιτο γενόμενος*, nach Analogie von *ἔλαθε γενόμενος*.

6. *αὐτόν*, den Tod. — *Περσέων* abhängig von *οἱ ἐπιστάμενοι*; vgl. zu I 53 1.

7. *εἰδείησαν* hier 'glaubten'; vgl. *ἐπίστασθαι* in diesem Sinne zu I 3 4.

8. *βασιλήια* hier u. I 178 5. III 65 23. IV 120 14 in übertragenem Sinne = *βασιλήιη*. Vgl *σκῆπτρα* VII 52 13.

13. *ἀναγνώσας*: zu I 68 27. — *Πατιζείθης*: dazu ein Scholion *Διονύσιος ὁ Μιλήσιος Πανζούθην ὀνομάζεσθαι τοῦτον λέγει*.

14. *εἷσε ἄγων*: Od. α 130 *αὐτὴν δ᾽ ἐς θρόνον εἷσεν ἄγων*.

15. *τῇ τε ἄλλῃ*: zu I 1 11.

17. *ἀκουστέα*: der Plural wie VII 185 *τὸ — στράτευμα ἔτι προσλογιστέα*. Zu I 4 8.

62. 3. *τῆς Συρίης ἐν Ἀγβατάνοισι*: zu c. 61 19.

6. *ἐλπίσας*, *arbitratus*. — *ἐκ* = *ὑπό*.

9. *εἶπε — ἔφη*, ein auch bei Attikern vorkommender Ueberfluss.

θηκα πρῆγμα;“ ὁ δὲ εἶπε „ὦ δέσποτα, οὐκ ἔστι ταῦτα ἀληθέα, ὅκως κοτέ τοι Σμέρδις ἀδελφεὸς ὁ σὸς ἐπανέστηκε, οὐδὲ ὅκως τι ἐξ ἐκείνου τοῦ ἀνδρὸς νεῖκός τοι ἔσται ἢ μέγα ἢ σμικρόν· ἐγὼ γὰρ αὐτός, ποιήσας τὰ σύ με ἐκέλευες, ἔθαψά μιν χερσὶ τῇσι ἐμεωυτοῦ. εἰ μέν νυν οἱ τεθνεῶτες ἀνεστᾶσι, προσδέκεό τοι καὶ Ἀστυάγεα τὸν Μῆδον ἐπαναστήσεσθαι· εἰ δ' ἔστι ὥσπερ πρὸ τοῦ, οὐ μή τί τοι ἔκ γε ἐκείνου νεώτερον ἀναβλαστήσει. νῦν ὦν μοι δοκέει μεταδιώξαντας τὸν κήρυκα ἐτάζειν εἰρωτεῦντας παρ' ὅτευ ἥκων προαγορεύει ἡμῖν

63 Σμέρδιος βασιλέος ἀκούειν.“ ταῦτα εἴπαντος Πρηξάσπεος, ἤρεσε γὰρ Καμβύσῃ, αὐτίκα μεταδίωκτος γενόμενος ὁ κῆρυξ ἧκε· ἀπιγμένον δέ μιν εἴρετο ὁ Πρηξάσπης τάδε. „ὤνθρωπε, φῂς γὰρ ἥκειν παρὰ Σμέρδιος τοῦ Κύρου ἄγγελος· νῦν ὦν εἴπας τὴν ἀληθείην ἄπιθι χαίρων, κότερα αὐτός τοι Σμέρδις φαινόμενος ἐς ὄψιν ἐνετέλλετο ταῦτα, ἢ τῶν τις ἐκείνου ὑπηρετέων.“ ὁ δὲ εἶπε „ἐγὼ Σμέρδιν μὲν τὸν Κύρου, ἐξ ὅτευ βασιλεὺς Καμβύσης ἤλασε ἐς Αἴγυπτον, οὔκω ὄπωπα· ὁ δέ μοι Μάγος, τὸν Καμβύσης ἐπίτροπον τῶν οἰκίων ἀπέδεξε, οὗτος ταῦτα ἐνετείλατο, φὰς Σμέρδιν τὸν Κύρου εἶναι τὸν ταῦτα ἐπιθέμενον εἶπαι πρὸς ὑμέας.“ ὁ μὲν δή σφι ἔλεγε οὐδὲν ἐπικατεψευσμένος, Καμβύσης δὲ εἶπε „Πρήξασπες, σὺ μέν, οἷα ἀνὴρ ἀγαθός, ποιήσας

Xen. An. II 5 24 *καὶ εἶπεν, οὐκοῦν, ἔφη, οἵτινες κτλ.* Aehnlich im Lat. Vgl. auch *εἶπε φάς* oder *ἔφη λέγων* (zu I 118 6).

12. *νεῖκος* poet. 'Kampf, Krieg' (VI 42 2. VII 158 6. 225 8).

13. *ἢ μέγα ἢ σμικρόν*, irgend welcher Art, = *ὁκοσονῶν*. Noch V 106 13. Od. κ 93 *οὐ μὲν γάρ ποτ' ἀέξετο κῦμα γ' ἐν αὐτῷ Οὔτε μέγ' οὔτ' ὀλίγον.*

17. *νεώτερον* euphemistisch = *κακόν, λυπηρόν* (V 106 14); so I 210 10. V 19 9. 93 11. 106 5 u. 21. VI 2 8. VII 52 10. VIII 21 8. 142 3. — *ἀναβλαστήσει* poetisch, ebenso V 92$^{\delta}$ 2; dafür V 106 14 in derselben Verbindung *ἀνασχήσει.*

19. *ἐτάζειν· τὸ ἐξετάζειν. Ἡρόδοτος τρίτῳ.* Bekk. Anecd. p. 96.

63. 2. *γάρ*: zu I 8 4. — Von dem periphrastischen *μεταδίωκτος γενόμενος* zu V 63 5.

4. *γάρ*: zu I 8 10.

6. *νῦν ὦν ἄπιθι χαίρων*: ebenso I 121 4.

7. *τῶν τις ὑπηρετέων*: zu I 51 18.

14. *οἷα* 'als'. Vgl. *ἅτε* I 123 19.

τὸ κελευόμενον αἰτίην ἐκπέφευγας· ἐμοὶ δὲ τίς ἂν εἴη ἀνὴρ Περσέων ὁ ἐπανεστεὼς ἐπιβατεύων τοῦ Σμέρδιος οὐνόματος;“ ὁ δὲ εἶπε „ἐγώ μοι δοκέω συνιέναι τὸ γεγονὸς τοῦτο, ὦ βασιλεῦ· οἱ Μάγοι εἰσί τοι οἱ ἐπανεστεῶτες, τόν τε ἔλιπες μελεδωνὸν τῶν οἰκίων, Πατιζείθης, καὶ ὁ τούτου ἀδελφεὸς Σμέρδις.“ ἐνθαῦτα ἀκούσαντα 64 Καμβύσεα τὸ Σμέρδιος οὔνομα ἔτυψε ἡ ἀληθείη τῶν τε λόγων καὶ τοῦ ἐνυπνίου· ὃς ἐδόκεε ἐν τῷ ὕπνῳ ἀγγεῖλαί τινά οἱ ὡς Σμέρδις ἱζόμενος ἐς τὸν βασιλήιον θρόνον ψαύσειε τῇ κεφαλῇ τοῦ οὐρανοῦ. μαθὼν δὲ ὡς μάτην ἀπολωλεκὼς εἴη τὸν ἀδελφεόν, ἀπέκλαιε Σμέρδιν. ἀποκλαύσας δὲ καὶ περιημεκτήσας τῇ ἁπάσῃ συμφορῇ ἀναθρώσκει ἐπὶ τὸν ἵππον, ἐν νόῳ ἔχων τὴν ταχίστην ἐς Σοῦσα στρατεύεσθαι ἐπὶ τὸν Μάγον. καί οἱ ἀναθρώσκοντι ἐπὶ τὸν ἵππον τοῦ κουλεοῦ τοῦ ξίφεος ὁ μύκης ἀποπίπτει, γυμνωθὲν δὲ τὸ ξίφος παίει τὸν μηρόν. τρωματισθεὶς δὲ κατὰ τοῦτο τῇ αὐτὸς πρότερον

16. Wie schon das primitive *ἐπιβαίνειν τινός* die figürliche Bedeutung hat 'in Besitz nehmen, erlangen' (Homer *ἐπιβαίνειν ἐυκλείης, ἐυφροσύνης, ἀναιδείης* u. ä., Hesiod *τιμῆς καὶ γεράων*) so ist *ἐπιβατεύειν* hier und IX 95 4, wahrscheinlich nach Ionischem Gebrauche, mit tadelndem Sinne 'sich beilegen, anmaſsen', c. 67 2 aber u. VI 65 18, dem zu Grunde liegenden Bilde näherstehend, 'fuſsen, sich stützen'. Diese letztere Bedeutung auch hier gelten zu lassen, würde nicht dem Gedanken des Redenden entsprechen, dem es noch unbekannt war, daſs der Betrüger in Wahrheit selber Smerdis hieſs.

64. 2. *ἔτυψε* 'traf, durchfuhr ihn plötzlich, wurde ihm plötzlich klar'. Terent. Andr. 125 *percussit ilico animum: attat hoc illud est, Hinc illae lacrimae.* Aehnl. Liv. I 5 *tetigerat animum memoria nepotum.* — *ἡ ἀληθείη* in Bezug auf *ἐνυπνίου* ist objectiv zu nehmen, 'die Erfüllung'. — *ὅς*, *quippe qui.* Der Traum ist schon c. 30 erzählt.

9. *καί* 'da' (I 1 22).

11. *ὁ μύκης*, der urspr. pilzförmige Knauf, welcher als Griff und Deckel der Scheide die obere Spitze der Klinge umschloſs (Schol. Nicand. Alexiph. 103 *μύκης κυρίως τὸ ἄκρον τοῦ ξίφους, τὸ κατακλεῖον τὴν θήκην*); fiel er ab, so war eine Selbstverwundung leicht möglich. Hekat. Fr. 360 *καὶ ἐπαφήσας τὸν κουλεὸν τοῦ ξίφεος τὸν μύκην εὗρεν ἀποπεπτωκότα.* Den Namen *Μυκῆναι* leitete die Sage von der Todesart des Perseus ab: *τοῦ ξίφους γὰρ ἐνταῦθα ἐξέπεσεν ὁ μύκης αὐτῷ* (Pausan. II 16 3). Von Hannibal erzählt Pausanias VIII 11 11 *ἀνεπήδα τε ἐπὶ τὸν ἵππον καὶ γυμνωθέντος τοῦ ξίφους τιτρώσκεται τὸν δάκτυλον.*

12. *κατὰ τοῦτο*, sc. *κατὰ τὸν μηρόν* (c. 29 4). Die Perser trugen ein kurzes dolchartiges Schwerdt (*ἀκινάκης*) in einem Gehenk auf der

τὸν τῶν Αἰγυπτίων θεὸν Ἆπιν ἔπληξε, ὥς οἱ καιρίῃ ἔδοξε τετύφθαι, εἴρετο ὁ Καμβύσης ὅ τι τῇ πόλι οὔνομα εἴη. οἱ δὲ εἶπαν ὅτι Ἀγβάτανα. τῷ δὲ ἔτι πρότερον ἐκέχρηστο ἐκ Βουτοῦς πόλιος ἐν Ἀγβατάνοισι τελευτήσειν τὸν βίον. ὁ μὲν δὴ ἐν τοῖσι Μηδικοῖσι Ἀγβατάνοισι ἐδόκεε τελευτήσειν γηραιός, ἐν τοῖσί οἱ ἦν τὰ πάντα πρήγματα· τὸ δὲ χρηστήριον ἐν τοῖσι ἐν Συρίῃ Ἀγβατάνοισι ἔλεγε ἄρα. καὶ δὴ ὡς τότε ἐπειρόμενος ἐπύθετο τῆς πόλιος τὸ οὔνομα, ὑπό τῆς τε συμφορῆς τῆς ἐκ τοῦ Μάγου ἐκπεπληγμένος καὶ τοῦ τρώματος ἐσωφρόνησε, συλλαβὼν δὲ τὸ θεοπρόπιον εἶπε „ἐνθαῦτα Καμ-
65 βύσεα τὸν Κύρου ἐστὶ πεπρωμένον τελευτᾶν.“ τότε
μὲν τοσαῦτα, ἡμέρῃσι δὲ ὕστερον ὡς εἴκοσι μεταπεμ-

rechten Seite (s. zu VII 54 11). — Abweichend erzählt Ktesias Exc. Pers. 12 ἀφικόμενος εἰς Βαβυλῶνα καὶ ξέων ξυλάριον μαχαίρᾳ διατριβῆς χάριν, παίει τὸν μηρὸν εἰς τὸν μῦν καὶ ἑνδεκαταῖος τελευτᾷ. H.'s Darstellung verräth durch die superstitiöse Beziehung auf den Apis aegyptische Quelle. Die Todesart selbst wird durch die Inschrift des Dareios bestätigt (zu c. 61 1).

13. καιρίῃ, erg. πληγῇ. Aesch. Ag. 1303 πέπληγμαι καιρίαν πληγήν. Dieselbe Ellipse Soph. Ant. 1308 τί οὐκ ἀνταίαν ἔπαισέν τις ἀμφιθήκτῳ ξίφει; Der Komiker Xenarchos bei Athen. 225ᵃ ἦσαν δὲ πληγαί· καιρίαν δ' εἰληφέναι δόξας καταπίπτει.

16. ἐκ Βουτοῦς πόλιος: zu II 63 1.

19. Stephanos Byz. v. Ἀγβάτανα, πολίχνιον Συρίας, Ἡρόδοτος τρίτῳ. οἱ δὲ νῦν Βατάνειαν αὐτὴν καλοῦσι. Derselbe v. Βατανέαι, συνοικία Συρίας, ἡ καὶ Βατανέα ἑνικῶς. ἔστι καὶ Βάταρα πρὸς τῷ Εὐφράτῃ. Der Ort ist an einer Strafse von Phoenikien über Damaskos nach Syrien zu suchen, vermuthlich an der altassyrischen, welche von Aegypten längs der syrischen Küste bis in die Nähe der Stadt Berytos führte, wo sie an der Mündung des Lykos (Nahr el Kelb) sich östlich über das Gebirg nach Damaskos und an den Euphrat zog. Noch Josephus Vit. 11 bezeugt einen Ort des Namens Agbatana in jener Richtung. Derselbe gibt Arch. XI 2 2 an, Kambyses sei in Damaskos gestorben.

20. ἄρα 'also', wie sich jetzt ergab. So steht die Partikel oft, meist mit dem Imperfect, beim Ausdruck einer überraschenden, enttäuschenden oder bestätigenden Erfahrung oder Einsicht, und dann meist entfernt vom Anfange des Satzes. So unten c. 65 12 οὐκ ἐνῆν ἄρα 'es lag also nicht', sc. wie ich bisher gemeint, c 70 4. IV 45 22. 64 18. VI 100 6. VII 35 10. 130 8. VIII 8 7. 111 10. IX 48 7. 58 12. Od. ρ 454 οὐκ ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν. Theognis 788 οὕτως οὐδὲν ἄρ' ἦν φίλτερον ἄλλο πάτρης. Soph. Trach. 61 κἀξ ἀγεννήτων ἄρα μῦθοι καλῶς πίπτουσιν.

23. συλλαβών: zu I 63 1.

65. 2. τοσαῦτα 'nur soviel' (I 128 4).

ψάμενος Περσέων τῶν παρεόντων τοὺς λογιμωτάτους ἔλεγέ σφι τάδε. „ὦ Πέρσαι, καταλελάβηκέ με, τὸ πάντων μάλιστα ἔκρυπτον πρηγμάτων, τοῦτο ἐς ὑμέας ἐκφῆναι. ἐγὼ γὰρ ἐὼν ἐκ Αἰγύπτῳ εἶδον ὄψιν ἐν τῷ ὕπνῳ, τὴν μηδαμὰ ὄφελον ἰδεῖν· ἐδόκεον δέ μοι ἄγγελον ἐλθόντα ἐξ οἴκου ἀγγέλλειν ὡς Σμέρδις ἱζόμενος ἐς τὸν βασιλήιον θρόνον ψαύσειε τῇ κεφαλῇ τοῦ οὐρανοῦ. δείσας δὲ μὴ ἀπαιρεθέω τὴν ἀρχὴν πρὸς τοῦ ἀδελφεοῦ, ἐποίησα ταχύτερα ἢ σοφώτερα· ἐν τῇ γὰρ ἀνθρωπηίῃ φύσι οὐκ ἐνῆν ἄρα τὸ μέλλον γίνεσθαι ἀποτράπειν, ἐγὼ δὲ ὁ μάταιος Πρηξάσπεα ἀποπέμπω ἐς Σοῦσα ἀποκτενέοντα Σμέρδιν. ἐξεργασθέντος δὲ κακοῦ τοσούτου ἀδεῶς διαιτώμην, οὐδαμὰ ἐπιλεξάμενος μή κοτέ τίς μοι Σμέρδιος ὑπαραιρημένου ἄλλος ἐπανασταίη ἀνθρώπων. πάντως δὲ τοῦ μέλλοντος ἔσεσθαι ἁμαρτὼν ἀδελφεοκτόνος τε οὐδὲν δέον γέγονα καὶ τῆς βασιληίης οὐδὲν ἧσσον ἐστέρημαι· Σμέρδις γὰρ δὴ ἦν ὁ Μάγος τόν μοι ὁ δαίμων προέφαινε ἐν τῇ ὄψι ἐπαναστήσεσθαι. τὸ μὲν δὴ ἔργον ἐξέργασταί μοι, καὶ Σμέρδιν τὸν Κύρου μηκέτι ὑμῖν ἐόντα λογίζεσθε· οἱ δὲ ὑμῖν Μάγοι κρατέουσι τῶν βασιληίων, τόν τε ἔλιπον ἐπίτροπον τῶν οἰκίων καὶ ὁ ἐκείνου ἀδελφεὸς Σμέρδις. τὸν μέν νυν μάλιστα χρῆν

4. *καταλελάβηκε*, erg. *ἀναγκαίη* (c. 75 11) oder *συμφορή* (IV 161 3); wie hier ohne bestimmtes Subject mit folg. Infin. II 152 7 und 15. III 118 2. IV 33 21. 105 3. VI 38 7. 103 4. VII 155 2. VIII 55 7. IX 75 5.

7. *μηδαμά* = *μήποτε*. — *ἐδόκεον δέ . . .* erläutert *εἶδον ὄψιν*. Zu I 108 3.

11. *ταχύτερα ἢ σοφώτερα*: ebenso VII 194 *γνοὺς ὡς ταχύτερα αὐτὸς ἢ σοφώτερα ἐργασμένος εἴη*. Eur. Med. 485 *πρόθυμος μᾶλλον ἢ σοφωτέρα*.

12. *ἄρα*: zu c. 64 20. Ueber den fatalistischen Gedanken zu I 91 3.

15. *οὐδαμά* = *οὔποτε*. — *μή* wegen des in *ἐπιλεξάμενος* (= *λογισάμενος*) angedeuteten Begriffes der Furcht. Mit diesem Nebenbegriff auch VII 47 12. 49 22. 50 3. 52 10. 149 7. 236 17.

17. *ἁμαρτών*, wie I 71 *ἁμαρτὼν τοῦ χρησμοῦ*, 207 *ἢν γὰρ ἐγὼ γνώμης μὴ ἁμάρτω*.

19f. *ὁ δαίμων προέφαινε*: ebenso I 210 3. Träume sind Offenbarungen der Gottheit; vgl. VII 12 ff.

21 ff. Für *μηκέτι — ἐόντα* erwartet man *οὐκέτι*; aber ebenso unten 27. VI 94 7. Umgekehrt *οὐ* st. *μή* VII 172 16. — *ὑμῖν* verb. mit *τῶν βασιληίων*; zu I 34 16. — *βασιληίων*: zu c. 61 8.

24 ff. So rechtfertigte Kambyses

ἐμεῦ αἰσχρὰ πρὸς τῶν Μάγων πεπονθότος τιμωρέειν ἐμοί, οὗτος μὲν ἀνοσίῳ μόρῳ τετελεύτηκε ὑπὸ τῶν ἑωυτοῦ οἰκηιοτάτων· τούτου δὲ μηκέτι ἐόντος, δεύτερα τῶν λοιπῶν ὑμῖν ὦ Πέρσαι γίνεταί μοι ἀναγκαιότατον ἐντέλλεσθαι τὰ θέλω μοι γενέσθαι τελευτέων τὸν βίον· καὶ δὴ ὑμῖν τάδε ἐπισκήπτω θεοὺς τοὺς βασιληίους ἐπικαλέων, καὶ πᾶσι ὑμῖν καὶ μάλιστα Ἀχαιμενιδέων τοῖσι παρεοῦσι, μὴ περιιδεῖν τὴν ἡγεμονίην αὖτις ἐς Μήδους περιελθοῦσαν, ἀλλ' εἴτε δόλῳ ἔχουσι αὐτὴν κτησάμενοι, δόλῳ ἀπαιρεθῆναι ὑπὸ ὑμέων, εἴτε καὶ σθένεϊ τεῳ κατεργασάμενοι, σθένεϊ κατὰ τὸ καρτερὸν ἀνασώσασθαι. καὶ ταῦτα μὲν ποιεῦσι ὑμῖν γῆ τε καρπὸν ἐκφέροι καὶ γυναῖκές τε καὶ ποῖμναι τίκτοιεν, ἐοῦσι ἐς τὸν ἅπαντα χρόνον ἐλευθέροισι· μὴ ἀνασωσαμένοισι

nachträglich den klagenden Vorwurf seiner Schwester (c. 32 11 ff.).

25. *τῶν λοιπῶν* abh. von *ἀναγκαιότατον*, 'unter dem Uebrigen', was ich noch zu sagen habe.

30. *θεοὺς τοὺς βασιληίους*: ebenso V 106 Histiaeos an Dareios *θεοὺς ἐπόμνυμι τοὺς βασιληίους*. Xenophon An. III 1 12 geräth über einen Traum in Besorgniſs *ὅτι ἀπὸ Διὸς βασιλέως τὸ ὄναρ ἐδόκει εἶναι*. Plut. mor. p. 338 betet Dareios Kodom. *Ζεῦ πατρῷε Περσῶν καὶ βασίλειοι θεοί*, und von demselben bei Justin. XI 15 *precari superum inferumque numina et regales deos*. Dio Chrys. or. 74 p. 399 *τί δὲ ὁ βασιλεύς; οὐχὶ καὶ τοὺς βασιλείους θεοὺς καὶ τὴν δεξιὰν ἀπέστειλεν;* Appian. Syr. 60 Seleukos *πάντας ὤμνυ τοὺς βασιλείους θεούς*. In den Inschriften zu Persepolis wendet König Dareios sein Gebet zu 'Auramazda und den Stammgöttern'.

31. *Ἀχαιμενιδέων*: darunter Dareios Hystaspes' Sohn (c. 139), wahrscheinlich auch Otanes (zu c. 68 3).

33. *Μήδους*, insofern die Mager der angesehenste Stamm der Meder waren. — *περιελθοῦσαν*: zu I 7 2.

34. Die Concinnität verlangte *ἀπελεῖν αὐτούς*, parallel zu *ἀνασώσασθαι*; so aber ist das Verb zu dem Subjecte des Nebensatzes *εἴτε δόλῳ ἔχουσι* construirt. Vgl. zu I 33 2.

35. *κατεργασάμενοι* = *κτησάμενοι*; zu I 201 1. — *σθένεϊ κατὰ τὸ καρτερόν*, *vi armisque*, wie I 212 *μάχῃ κατὰ τὸ καρτερόν*. Zu letzterem vgl. *κατὰ τὸ ἰσχυρόν* (I 76 16).

36 ff. Fluch und Segen bewähren sich nach alter Ansicht vorzüglich an drei Dingen, Menschen Vieh Acker. VI 139 *ἀποκτείνασι δὲ τοῖσι Πελασγοῖσι τοὺς σφετέρους παῖδάς τε καὶ γυναῖκας οὔτε γῆ καρπὸν ἔφερε οὔτε γυναῖκές τε καὶ ποῖμναι ὁμοίως ἔτικτον ὡς καὶ πρὸ τοῦ*. IX 93 *αὐτίκα μετὰ ταῦτα οὔτε πρόβατά σφι ἔτικτε οὔτε γῆ ἔφερε ὁμοίως καρπόν*. Vgl. auch I 167. Den Fluch, der unter Oedipus auf Theben lastete, schildert Soph. O. T. 25 (*πόλις*) *φθίνουσα μὲν κάλυξιν ἐγκάρποις χθονός, φθίνουσα δ' ἀγέλαις βουνόμοις, τόκοισί τε ἀγόνοις γυ-*

δὲ τὴν ἀρχὴν μηδ' ἐπιχειρήσασι ἀνασώζειν τὰ ἐναντία τούτοισι ἀρῶμαι ὑμῖν γενέσθαι, καὶ πρὸς ἔτι τούτοισι τὸ τέλος Περσέων ἑκάστῳ ἐπιγενέσθαι οἷον ἐμοὶ ἐπιγέγονε." ἅμα τε εἴπας ταῦτα ὁ Καμβύσης ἀπέκλαιε πᾶσαν τὴν ἑωυτοῦ πρῆξιν.

Πέρσαι δὲ ὡς τὸν βασιλέα εἶδον ἀνακλαύσαντα, 66 πάντες τά τε ἐσθῆτος ἐχόμενα εἶχον, ταῦτα κατηρείκοντο, καὶ οἰμωγῇ ἀφθόνῳ διεχρέοντο. μετὰ δὲ ταῦτα, ὡς ἐσφακέλισέ τε τὸ ὀστέον καὶ ὁ μηρὸς τάχιστα ἐσάπη, ἀπήνεικε Καμβύσεα τὸν Κύρου, βασιλεύσαντα μὲν τὰ πάντα ἑπτὰ ἔτεα καὶ πέντε μῆνας, ἄπαιδα δὲ τὸ παράπαν ἐόντα ἔρσενος καὶ θήλεος γόνου. Περσέων δὲ τοῖσι παρεοῦσι ἀπιστίη πολλὴ ὑπεκέχυτο τοὺς Μάγους ἔχειν τὰ πρήγματα, ἀλλ' ἠπιστέατο ἐπὶ διαβολῇ εἰπεῖν Καμβύσεα τὰ εἶπε περὶ τοῦ Σμέρδιος θανάτου, ἵνα οἱ ἐκπολεμωθῇ πᾶν τὸ Περσικόν. οὗτοι μέν νυν ἠπιστέατο Σμέρδιν τὸν Κύρου βασιλέα ἐνεστεῶτα· δεινῶς γὰρ καὶ

γυναικῶν, und 269 droht Oedipus den Uebertretern seines Gebotes *θεοὺς Μήτ' ἄροτον αὐτοῖς γῆς ἀνιέναι τινὰ Μήτ' οὖν γυναικῶν παῖδας.* Dazu der Schwur und Fluch der Amphiktyonen bei Aeschines g. Ktes. 111, und die Beschreibung einer solchen Heimsuchung bei Dionysios Hal. Arch. I 23. — Auch Prexaspes bedroht c. 75 14 die Perser mit Unglück, falls sie den Mager nicht stürzten.

43. *πρῆξιν*, *fortunam*. Aesch. Prom. 695 *πέφρικ' εἰσιδοῦσα πρᾶξιν Ἰοῦς*, Soph. Trach. 293 *ἀνδρὸς εὐτυχῆ κλύουσα πρᾶξιν.*

66. 2f. *τὰ ἐσθῆτος ἐχόμενα*: zu I 120 17. — *κατηρείκοντο* = *κατεσχίζοντο* Hesych., 'zerrissen von oben bis unten'. Aesch. Pers. 537 von den persischen Matronen *πολλαὶ δ' ἁπαλαῖς χερσὶ καλύπτρας κατερεικόμεναι – ἄλγους μετέχουσαι.* Sonst *καταρρήγνυσθαι* (VIII 99 6).

5. *ἀπήνεικε*, *abstulit*, erg. aus dem Vordersatze *τὸ τρῶμα* oder *ἡ νοῦσος*. VI 27 *τοὺς δὲ – λοιμὸς ὑπολαβὼν ἀπήνεικε.*

6. Kambyses reg. 529 – 522 v. Chr. Zwar berechnete Manethos seine Regierung auf 10 J.; aber die herodoteische Angabe wird durch den astronomischen Kanon und ihr Verhältniſs zu den Regierungen des Kyros (558 – 529) und Dareios (521 – 485) unzweifelhaft. — *τὰ πάντα* 'im Ganzen, zusammen' (I 214 14). — *ἄπαιδα – γόνου*: zu I 109 11.

8. *ὑπεκέχυτο*, wie II 152 14. Vgl. Cic. ad fam. I 9 22 *animum tuum cum mihi amicissimum tum nulla in ceteros malevolentia suffusum.*

9. *τὰ πρήγματα* = *τὸ κράτος, τὴν βασιληίην.* — *ἠπιστέατο* 'glaubten' (I 3 4). — *ἐπὶ διαβολῇ* 'um sie zu täuschen'; vgl. zu c. 1 23.

12f. *βασιλέα ἐνεστεῶτα*, wie I 120 *σέο ἐνεστεῶτος βασιλέος*, VI

ὁ Πρηξάσπης ἔξαρνος ἦν μὴ μὲν ἀποκτεῖναι Σμέρδιν· οὐ γὰρ ἦν οἱ ἀσφαλὲς Καμβύσεω τετελευτηκότος φάναι τὸν Κύρου υἱὸν ἀπολωλεκέναι αὐτοχειρίῃ.

67 Ὁ δὲ δὴ Μάγος τελευτήσαντος Καμβύσεω ἀδεῶς ἐβασίλευσε, ἐπιβατεύων τοῦ ὁμωνύμου Σμέρδιος τοῦ Κύρου, μῆνας ἑπτὰ τοὺς ἐπιλοίπους Καμβύσῃ ἐς τὰ ὀκτὼ ἔτεα τῆς πληρώσιος· ἐν τοῖσι ἀπεδέξατο ἐς τοὺς ὑπηκόους πάντας εὐεργεσίας μεγάλας, ὥστε ἀποθανόντος αὐτοῦ πόθον ἔχειν πάντας τοὺς ἐν τῇ Ἀσίῃ, πάρεξ αὐτῶν Περσέων. διαπέμψας γὰρ ὁ Μάγος ἐς πᾶν ἔθνος τῶν ἦρχε, προεῖπε ἀτελείην εἶναι στρατηίης καὶ φόρου

68 ἐπ' ἔτεα τρία. προεῖπε μὲν δὴ ταῦτα αὐτίκα ἐνιστάμενος ἐς τὴν ἀρχήν, ὀγδόῳ δὲ μηνὶ ἐγένετο κατάδηλος ὃς ἦν τρόπῳ τοιῷδε. Ὀτάνης ἦν Φαρνάσπεω μὲν παῖς, γένεϊ δὲ καὶ χρήμασι ὁμοῖος τῷ πρώτῳ Περσέων. οὗτος ὁ Ὀτάνης πρῶτος ὑπώπτευσε τὸν Μάγον ὡς οὐκ εἴη ὁ Κύρου Σμέρδις ἀλλ' ὅσπερ ἦν, τῇδε συμβαλλόμενος, ὅτι τε οὐκ ἐξεφοίτα ἐκ τῆς ἀκροπόλιος καὶ ὅτι οὐκ ἐκάλεε ἐς ὄψιν ἑωυτῷ οὐδένα τῶν λογίμων Περσέων. ὑποπτεύσας δέ μιν ἐποίεε τάδε. ἔσχε αὐτοῦ ὁ Καμβύσης θυ-

59 *ἐὰν ἀποθανόντος τοῦ βασιλέος ἄλλος ἐνίστηται βασιλεύς.* Vgl. c. 68 *ἐνιστάμενος ἐς τὴν ἀρχήν*, 80 *στάντα ἐς ταύτην τὴν ἀρχην.*

13. *μὴ μέν*: zu I 68 11.

Otanes und seine Tochter. Die Verschwörung der Sieben (c. 67–73).

67. 2. *ἐπιβατεύων*: zu c. 63 16.

3f. Verb. *τοὺς ἐπιλοίπους Καμβύσῃ τῆς πληρώσιος ἐς τὰ ὀκτὼ ἔτεα*, 'die dem Kambyses noch rückständig waren an der Ausfüllung bis zu acht Jahren' d. i. 'die dem K. noch an vollen acht Jahren fehlten'. Ueber *πληρώσιος ἐς* zu II 7 11; über den Artikel *τά* bei *ὀκτὼ ἔτεα* zu VIII 82 9.

6. *αὐτοῦ πόθον ἔχειν*: über den Grund dazu vgl. c. 89.

68. 2f. *ὅς*: zu I 56 5. — *Otanes*, Pharnaspes' Sohn, gehörte zur regierenden Familie der Achaemeniden, ob zur älteren oder jüngeren Linie (zu VII 11 8) ist unbekannt, und war der Schwager des Kyros, Oheim und Schwiegervater des Kambyses (c. 2 u. unten 10). Andere Perser des Namens V 25. VII 40. 61. — *γένεϊ καὶ χρήμασι*: vgl. VI 73 *τοὺς πλείστου ἀξίους καὶ πλούτῳ καὶ γένεϊ ἦγον*, VII 134 *φύσι τε γεγονότες εὖ καὶ χρήμασι ἀνήκοντες ἐς τὰ πρῶτα.*

6. *ὁ Κύρου Σμέρδις*: zu II 44 17. — *ὅσπερ ἦν, qui revera erat* (II 116 4. VI 9 22).

7. Bei *ἀκρόπολις* denkt zwar H. wohl an die Königsburg (*βασιλήιον τεῖχος* c. 74 15) in Susa, die auch sonst so genannt wird (vgl. zu V. 53 5); s. jedoch zu c. 70 9.

9. *ἔσχε* u. 11. *εἶχε*: zu c. 31 23.

γατέρα, τῇ οὔνομα ἦν Φαιδύμη· τὴν αὐτὴν δὴ ταύτην εἶχε τότε ὁ Μάγος, καὶ ταύτῃ τε συνοίκεε καὶ τῇσι ἄλλῃσι πάσῃσι τῇσι τοῦ Καμβύσεω γυναιξί. πέμπων δὴ ὦν ὁ Ὀτάνης παρὰ ταύτην τὴν θυγατέρα ἐπυνθάνετο παρ' ὅτεῳ ἀνθρώπων κοιμῷτο, εἴτε μετὰ Σμέρδιος τοῦ Κύρου εἴτε μετὰ ἄλλου τευ. ἡ δέ οἱ ἀντέπεμπε φαμένη οὐ γινώσκειν· οὔτε γὰρ τὸν Κύρου Σμέρδιν ἰδέσθαι οὐδαμά, οὔτε ὅστις εἴη ὁ συνοικέων αὐτῇ εἰδέναι. ἔπεμπε δεύτερα ὁ Ὀτάνης λέγων „εἰ μὴ αὐτὴ Σμέρδιν τὸν Κύρου γινώσκεις, σὺ δὲ παρὰ Ἀτόσσης πύθευ ὅτεῳ τούτῳ συνοικέει αὐτή τε ἐκείνη καὶ σύ· πάντως γὰρ δή κου τόν γε ἑωυτῆς ἀδελφεὸν γινώσκει“. ἀντιπέμπει πρὸς ταῦτα ἡ θυγάτηρ „οὔτε Ἀτόσσῃ δύναμαι ἐς λόγους ἐλθεῖν οὔτε ἄλλην οὐδεμίαν ἰδέσθαι τῶν συγκατημενέων γυναικῶν· ἐπείτε γὰρ τάχιστα οὗτος ὥνθρωπος, ὅστις κοτὲ ἐστί, παρέλαβε τὴν βασιληίην, διέσπειρε ἡμέας ἄλλην ἄλλῃ τάξας“. ἀκούοντι δὲ ταῦτα τῷ Ὀτάνῃ 69
μᾶλλον κατεφαίνετο τὸ πρῆγμα. τρίτην δὲ ἀγγελίην ἐσπέμπει παρ' αὐτὴν λέγουσαν ταῦτα. „ὦ θύγατερ, δεῖ σε γεγονυῖαν εὖ κίνδυνον ἀναλαβέσθαι τὸν ἂν ὁ πατὴρ ὑποδύνειν κελεύῃ. εἰ γὰρ δὴ μή ἐστι ὁ Κύρου Σμέρδις ἀλλὰ τὸν καταδοκέω ἐγώ, οὔτοι μιν σοί τε συγκοιμώμενον καὶ τὸ Περσέων κράτος ἔχοντα δεῖ χαίροντα ἀπαλλάσσειν, ἀλλὰ δοῦναι δίκην. νῦν ὦν ποίησον τάδε. ἐπεὰν σοὶ συνεύδῃ καὶ μάθῃς αὐτὸν κατυπνωμένον, ἄφασον αὐτοῦ τὰ ὦτα· καὶ ἢν μὲν φαίνηται ἔχων ὦτα,

10. *Φαιδύμη*: in den Hss. auch *Φαιδυμίη*.
12. Auch Dareios übernimmt die Frauen seines Vorgängers (c. 88). Denn der Harem ist gleichsam ein Theil des Kroninventars, das auf den neuen Herrscher übergeht und die Rechtmäfsigkeit seiner Würde bekräftigt.
15. *ἀντέπεμπε φαμένη* 'liefs zurücksagen', wie 18 *ἔπεμπε λέγων* 'liefs sagen'.
19. *σὺ δέ*: zu I 112 9.
19. *Ἀτόσσης*: zu c. 31 23. — *ὅτεῳ τούτῳ* = *ὅστις ἐστὶ οὗτος τῷ*.
23. *τῶν συγκατημενέων* 'der mit mir zusammenwohnenden', näml. im *γυναικήιον*. *κατῆσθαι* oft von ruhigem ständigen Aufhalten und Wohnen (V 63 2. IX 90 3); vgl. zu I 46 1. II 86 1.
69. 4. *γεγονυῖαν εὖ* 'von edler Geburt, wohlgeboren' (VII 134 13).
7. *χαίροντα*: zu c. 29 7.

νόμιζε σεωυτὴν Σμέρδι τῷ Κύρου συνοικέειν, ἢν δὲ μὴ ἔχων, σὺ δὲ τῷ Μάγῳ Σμέρδι." ἀντιπέμπει πρὸς ταῦτα ἡ Φαιδύμη φαμένη κινδυνεύσειν μεγάλως, ἢν ποιέῃ ταῦτα· εἰ γὰρ δὴ μὴ τυγχάνει τὰ ὦτα ἔχων, ἐπίλαμπτος δὲ ἀφάσσουσα ἔσται, εὖ εἰδέναι ὡς ἀιστώσει μιν· ὅμως μέντοι ποιήσειν ταῦτα. ἡ μὲν δὴ ὑπεδέξατο ταῦτα τῷ πατρὶ κατεργάσεσθαι· τοῦ δὲ Μάγου τούτου τοῦ Σμέρδιος Κῦρος ὁ Καμβύσεω ἄρχων τὰ ὦτα ἀπέταμε ἐπ' αἰτίῃ δή τινι οὐ σμικρῇ. ἡ ὦν δὴ Φαιδύμη αὕτη, ἡ τοῦ Ὀτάνεω θυγάτηρ, πάντα ἐπιτελέουσα τὰ ὑπεδέξατο τῷ πατρί, ἐπείτε αὐτῆς μέρος ἐγίνετο τῆς ἀπίξιος παρὰ τὸν Μάγον (ἐν περιτροπῇ γὰρ δὴ αἱ γυναῖκες φοιτέουσι τοῖσι Πέρσῃσι), ἐλθοῦσα παρ' αὐτὸν εὗδε, ὑπνωμένου δὲ καρτερῶς τοῦ Μάγου ἤφασε τὰ ὦτα. μαθοῦσα δὲ οὐ χαλεπῶς ἀλλ' εὐπετέως οὐκ ἔχοντα τὸν ἄνδρα ὦτα, ὡς ἡμέρη τάχιστα ἐγεγόνεε, πέμψασα ἐσήμηνε τῷ πατρὶ τὰ γενόμενα.

11. Man erwartet *νόμιζε μέν*; s. zu II 39 9.

14. *ἐπίλαμπτος* ion. = *ἐπίληπτος* (von den Glossatoren durch *κατάδηλος, καταφανής* erklärt); vgl. 127 20 *καταλαμπτέος* = *καταληπτέος*, IV 13 2 *φοιβόλαμπτος* = *φοιβόληπτος* u. a. — *ἐπίλαμπτος ἔσται*, genauer als *ἐπιλαμφθήσεται*, *deprehensa fuerit*. Von der Periphrase zu V 63 5.

15. *ἀιστώσει*, poet. = *ἀφανίσει* (c. 127 16). Od. κ 259 *οἱ δ' ἅμ' ἀιστώθησαν ἀολλέες οὐδέ τις αὐτῶν Ἐξεφάνη*. (Von *ἄιστος*, aus der Wurzel *ιδ*, *invisibilis*; vgl. *ἀίδηλος*). — *μιν* = *ἑωυτήν*.

18. Verstümmelung war eine bei der persischen Justizpflege nicht seltene Strafe; vgl. c. 118 13. 154 12. IX 112 5. Xen. An. I 9 13 vom jüngern Kyros *ἀφειδέστατα πάντων ἐτιμωρεῖτο (κακούργους)· πολλάκις δ' ἦν ἰδεῖν παρὰ τὰς στειβομένας ὁδοὺς καὶ ποδῶν καὶ χειρῶν καὶ ὀφθαλμῶν στερομένους ἀνθρώπους*. — *ἐπ' αἰτίῃ δή τινι*, *nescio quam ob culpam*, wie sonst in diesem Sinne *ὅτεῳ δή*; vgl. zu I 86 28. 157 5. Wie hier VIII 106 *καταβὰς κατὰ δή τι πρᾶγμα* — *ἐπιτελέουσα* faſst proleptisch das folgende Detail zusammen.

19. *ἡ – θυγάτηρ*, die würdige Tochter ihres Vaters; vgl. zu 4.

21 ff. *αὐτῆς ἐγίνετο* 'ihr zukam'; vgl. VI 110 5. VII 148 24. IX 10 6. — *ἀπίξιος* abh. von *μέρος* 'Reihe'. — Ueber *ἄπιξις* u. *φοιτᾶν* zu II 64 9. — *παρὰ τὸν Μάγον*; vom fehlenden Artikel zu c. 7 2. — *ἐν περιτροπῇ*: zu II 168 6.

25. *οὐ χαλεπῶς ἀλλ' εὐπετέως*: zu c. 25 6. H. scheint auf eine andere abweichende Darstellung (des Milesiers Dionysios? vgl. zu 61 13) Bezug zu nehmen.

26. *τὰ γενόμενα*, den wahren Sachverhalt (c. 75 10); vgl. II 28 19. — Auſser H. und Justinus meldet kein Anderer daſs dem Mager die Ohren gefehlt.

Ὁ δὲ Ὀτάνης παραλαβὼν Ἀσπαθίνην καὶ Γωβρύην 70 Περσέων τε πρώτους ἐόντας καὶ ἑωυτῷ ἐπιτηδεωτάτους ἐς πίστιν, ἀπηγήσατο πᾶν τὸ πρῆγμα· οἱ δὲ καὶ αὐτοὶ ἄρα ὑπώπτευον οὕτω τοῦτο ἔχειν, ἀνενείκαντος δὲ τοῦ Ὀτάνεω τοὺς λόγους ἐδέξαντο. καὶ ἔδοξέ σφι ἕκαστον ἄνδρα Περσέων προσεταιρίσασθαι τοῦτον ὅτεῳ πιστεύει μάλιστα. Ὀτάνης μέν νυν ἐσάγεται Ἰνταφρένεα, Γωβρύης δὲ Μεγάβυζον, Ἀσπαθίνης δὲ Ὑδάρνεα. γεγονότων δὲ τούτων ἓξ παραγίνεται ἐς τὰ Σοῦσα Δαρεῖος ὁ

70. Nach H.'s Erzählung gab Otanes den ersten Aastofs zum Sturze der Mager; in seiner Inschrift zu Behistan aber (Col I Z. 13) beansprucht Dareios das Verdienst allein: 'Es war Niemand, weder ein Perser noch ein Meder noch Jemand von unserer Familie, der Gaumâta dem Mager das Reich entrissen hätte. Das Volk fürchtete ihn wegen seiner Grausamkeit; er möchte viele Leute tödten, die den früheren Bardiya gekannt hatten; deswegen möchte er die Leute tödten, "damit man mich nicht kenne, dafs ich nicht Bardiya der Sohn des Kuru bin." Niemand wagte etwas zu reden über Gaumâta den Mager, bis ich kam' (vgl. unten zu 9). Auch läfst ihn H. c. 71 4 ff. in diesem Sinne reden. — *Ἀσπαθίνην*: andere La. *Ἀσπαθήνην* (noch c. 78 11. VII 97 3), womit der persischen Name *Açpacanâ*, dessen Inhaber in einer Inschrift von Persepolis 'der Pfeilhalter des Königs Dareios' heifst, besser stimmt. — *Γωβρύην*, pers. *Gaubaruva*, Vater des Mardonios (VI 43), Schwiegervater und Schwager des Dareios (VII 2. 5), dessen 'Bogenträger' ihn eine Inschrift nennt. Die Hss. schwanken zwischen *Γωβρύης* und *Γοβρύης*.

2. *Περσέων πρώτους*, die Häupter der Familien aus dem Stamme der Pasargaden (I 125), zu denen auch die übrigen Verschwornen gehörten.

3. *καὶ αὐτοί* 'schon von selbst' (IX 6 12). Soph. O K. 1148 *τί δεῖ μάτην κομπεῖν, ἅ γ' εἴσῃ καὐτὸς ἐκ ταύταιν ξυνών*.

4 f. *ἄρα*, wie sich ergab als sie ins Vertrauen gezogen wurden; zu c. 64 20. — *ἀνενείκαντος*, sc. *τὸ πρῆγμα ἐς σφέας*, 'nachdem ihnen Otanes die Sache mitgetheilt hatte' (c. 71 20). — *λόγους* 'Vorschläge, Verabredungen'.

6. *τοῦτον ὅτεῳ*: zu IV 8 4.

7. *Ἰνταφρένεα*: so nach handschriftlichem Zeugnifs st. des herkömmlichen *Ἰνταφέρνεα* (noch c. 78. 118 f.; vgl. zu V 25 2 über *Ἀρταφρένης*), entsprechend dem altpersischen *Viñdafranâ*. — Aesch. Pers. 776 nennt an seiner Stelle *Ἀρταφρένης*, Ktesias *Ἀταφέρνης*.

8. *Μεγάβυζον*, persisch *Bagabukhsa*, bei Justin. III 1 *Bacabasus* Vgl. zu c. 30 4. — *Ὑδάρνεα*, persisch *Vidarna*.

9. *τούτων ἕξ*: dieselbe Anzahl, aber nicht dieselben Namen gibt Dareios (Beh. IV 18): 'Dies sind die Männer, die damals dort waren, als ich Gaumâta den Mager tödtete, der sich Bardiya nannte; damals halfen diese Männer mir als meine Anhänger: *Viñdafranâ* mit Namen, der Sohn des Vayaçpâra, ein Perser, *Utâna* mit Namen, der Sohn des Thukhra, ein Perser, *Gaubaruva* mit Namen, ein Sohn des Marduniya, ein Perser, *Vidarna* mit Na-

Ὑστάσπεος ἐκ Περσέων ἥκων· τούτων γὰρ δὴ ἦν οἱ ὁ
πατὴρ ὕπαρχος. ἐπεὶ ὦν οὗτος ἀπίκετο, τοῖσι ἓξ τῶν
71 *Περσέων ἔδοξε καὶ Δαρεῖον προσεταιρίσασθαι. συνελ-*
θόντες δὲ οὗτοι ἐόντες ἑπτὰ ἐδίδοσαν σφίσι πίστις καὶ
λόγους. ἐπείτε δὲ ἐς Δαρεῖον ἀπίκετο γνώμην ἀποφαί-
νεσθαι, ἔλεγέ σφι τάδε. „ἐγὼ ταῦτα ἐδόκεον μὲν αὐτὸς
μοῦνος ἐπίστασθαι, ὅτι τε ὁ Μάγος εἴη ὁ βασιλεύων
καὶ Σμέρδις ὁ Κύρου τετελεύτηκε· καὶ αὐτοῦ τούτου
εἵνεκεν ἥκω σπουδῇ ὡς συστήσων ἐπὶ τῷ Μάγῳ θάνα-
τον. ἐπείτε δὲ συνήνεικε ὥστε καὶ ὑμέας εἰδέναι καὶ μὴ
μοῦνον ἐμέ, ποιέειν αὐτίκα μοι δοκέει καὶ μὴ ὑπερβάλ-
λεσθαι· οὐ γὰρ ἄμεινον.“ εἶπε πρὸς ταῦτα ὁ Ὀτάνης
„ὦ παῖ Ὑστάσπεος, εἶς τε πατρὸς ἀγαθοῦ καὶ ἐκφαί-
νειν οἶκας σεωυτὸν ἐόντα τοῦ πατρὸς οὐδὲν ἧσσω· τὴν
μέντοι ἐπιχείρησιν ταύτην μὴ οὕτω συντάχυνε ἀβούλως,
ἀλλ' ἐπὶ τὸ σωφρονέστερον αὐτὴν λάμβανε· δεῖ γὰρ

men, ein Sohn des Bagàbigna, ein Perser, *Bagabukhsa* mit Namen, der Sohn des Daduhya, ein Perser, *Ardumanis* mit Namen, der Sohn des Vahuka, ein Perser. Bei Ktesias lauten sie ganz anders; s. zu c. 78 24. — *ἐς τὰ Σοῦσα*: hier als im Mittelpunkte des persiseben Reiches denkt sich H. den Magerkönig residirend, und hier läſst er ihn ermordet werden. Anders Dareios (Beh. I 13, vgl. oben zu 1): 'Dann rief ich den Auramazda um Hilfe an; Aur. gewährte mir Beistand. Im Monate Bâgayâdis am 10. Tage, da war es, da tödtete ich mit ergebenen Männern jenen Gaumâta den Mager und die welche seine vornehmsten Anhänger waren. Es ist eine Festung Çikathauvatis mit Namen, ein Bezirk Niçâya mit Namen in Medien, dort tödtete ich ihn, ich nahm ihm die Herrschaft ab. Durch die Gnade des Aur. wurde ich König; Aur. übergab mir das Reich'.

10f. *οἱ*: zu I 34 16. — Hystaspes war das Haupt der jüngern Linie der Achaemeniden (vgl. zu VII 11 8), dem noch Kyros die Verwaltung Persiens anvertraut zu haben scheint (vgl. I 209). Sein ältester Sohn Dareios muſs, nach H., damals gegen 28 J. alt gewesen sein (vgl. I 209 9); nach Ktesias Pers. 19 erreichte er ein Alter von 72 J., war also, da er 485 gestorben ist, im J. 521 schon 36 J. alt. Nach dem Aussterben der älteren Linie war sein Vater der rechtmäſsige Thronerbe, trat aber wohl seine Rechte an den rüstigeren Sohn ab.

71. 3. *ἀπίκετο*, 'als es an den Dareios kam'. Ohne bestimmtes Subject in ähnlichem Sinne das Simplex VI 57 *δικάζειν ἐς τὸν ἱκνέεται ἔχειν αὐτήν*, *ad quem pertineat*.

5. *αὐτὸς μοῦνος* 'allein für mich'.

7. *συστήσων*, *ut Mago mortem struerem*.

9. *ποιέειν* 'handeln' (II 151 16).

10. *οὐ γὰρ ἄμεινον*: zu I 187 8.

13f. *συντάχυνε*: zu II 133 11. — *ἀβούλως — σωφρονέστερον*: derselbe Gegensatz Thuk. I 32 *καὶ πε-*

πλεῦνας γενομένους οὕτω ἐπιχειρέειν“. λέγει πρὸς ταῦτα Δαρεῖος „ἄνδρες οἱ παρεόντες, τρόπῳ τῷ εἰρημένῳ ἐξ Ὀτάνεω εἰ χρήσεσθε, ἐπίστασθε ὅτι ἀπολέεσθε κάκιστα· ἐξοίσει γάρ τις πρὸς τὸν Μάγον, ἰδίῃ περιβαλλόμενος ἑωυτῷ κέρδεα. μάλιστα μέν νυν ὠφείλετε ἐπ' ὑμέων αὐτῶν βαλλόμενοι ποιέειν ταῦτα· ἐπείτε δὲ ὑμῖν ἀναφέρειν ἐς πλεῦνας ἐδόκεε καὶ ἐμοὶ ὑπερέθεσθε, ἢ ποιέωμεν σήμερον, ἢ ἴστε ὑμῖν ὅτι, ἢν ὑπερπέσῃ ἡ νῦν ἡμέρη, ὡς οὐκ ἄλλος φθὰς ἐμεῦ κατήγορος ἔσται, ἀλλά σφεα αὐτὸς ἐγὼ κατερέω πρὸς τὸν Μάγον.“ λέγει πρὸς 72
ταῦτα Ὀτάνης, ἐπειδὴ ὥρα σπερχόμενον Δαρεῖον, „ἐπείτε ἡμέας συνταχύνειν ἀναγκάζεις καὶ ὑπερβάλλεσθαι οὐκ ἐᾷς, ἴθι ἐξηγέο αὐτὸς ὅτεῳ τρόπῳ πάριμεν ἐς τὰ βασιλήια καὶ ἐπιχειρήσομεν αὐτοῖσι. φυλακὰς γὰρ δὴ διεστεώσας οἶδάς κου καὶ αὐτός, εἰ μὴ ἰδών, ἀλλ' ἀκούσας· τὰς τέῳ τρόπῳ περήσομεν;“ ἀμείβεται Δαρεῖος τοισίδε. „Ὀτάνη, ἦ πολλά ἐστι τὰ λόγῳ μὲν οὐκ οἷά τε δηλῶσαι, ἔργῳ δέ· ἄλλα δ' ἐστὶ τὰ λόγῳ μὲν οἷά τε, ἔργον δὲ οὐδὲν ἀπ' αὐτῶν λαμπρὸν γίνεται. ὑμεῖς δὲ ἴστε φυλακὰς τὰς κατεστεώσας ἐούσας οὐδὲν χαλεπὰς παρελθεῖν. τοῦτο μὲν γὰρ ἡμέων ἐόντων τοιῶνδε οὐδεὶς ὅστις οὐ παρήσει, τὰ μέν κου καταιδεόμενος

ριέστηκεν ἡ δοκοῦσα ἡμῶν πρότερον σωφροσύνη ... νῦν ἀβουλία καὶ ἀσθένεια φαινομένη. — λάμβανε 'nimm die Unternehmung nach der mehr besonnenen Seite hin, fasse sie mit mehr Besonnenheit auf'.

18. *ἑωυτῷ περιβαλλόμενος* 'sich selber zulegend, für sich gewinnend'; vgl. VI 24 10. VII 190 8. VIII 8 6. IX 39 14.

19f. *ἐπ' ἑωυτοῦ βαλλόμενον ποιέειν τι* 'etwas auf eigene Hand, Gefahr thun'; vgl. c. 155 16. IV 160 4. V 73 14. 106 18. VIII 109 5. — *ἀναφέρειν τι ἔς τινα* 'mittheilen', zur Berathung und Entscheidung (I 157 12. III 80 30. VI 66 4. VII 149 11.

21. *ὑπερέθεσθε*: zu I 8 6.

22f. *ὑμῖν* gehört zu *κατήγορος ἔσται*. Vgl. c. 63 10, wo *μοι* zu *ἐνετείλατο* gehört. — *ὑπερπέσῃ* = *ὑπερβληθῇ*, indem *πίπτειν* oft = *βάλλεσθαι*. — *ὡς* nach *ὅτι* wie IX 6 12; vgl. I 209 23. — *ἐμεῦ*, abhängig von *ἄλλος* (c. 8 3).

72. 5. *αὐτοῖσι*, sc. *τοῖσι Μάγοισι* (c. 76 2), die zwar noch nicht genannt, aber als Gegenstand der Verhandlung auch so hinlänglich bezeichnet sind.

6. *διεστεώσας*, *dispositas* (II 66 12).

12. *τοιῶνδε*, näml. *πρώτων τῶν Περσέων* (c. 77 3).

ἡμέας, τὰ δέ κου καὶ δειμαίνων· τοῦτο δὲ ἔχω αὐτὸς σκῆψιν εὐπρεπεστάτην τῇ πάριμεν, φὰς ἄρτι τε ἥκειν ἐκ Περσέων καὶ βούλεσθαί τι ἔπος παρὰ τοῦ πατρὸς σημῆναι τῷ βασιλέι. ἔνθα γάρ τι δεῖ ψεῦδος λέγεσθαι, λεγέσθω. τοῦ γὰρ αὐτοῦ γλιχόμεθα οἵ τε ψευδόμενοι καὶ οἱ τῇ ἀληθείῃ διαχρεόμενοι· οἱ μέν γε ψεύδονται τότε ἐπεάν τι μέλλωσι τοῖσι ψεύδεσι πείσαντες κερδήσεσθαι, οἱ δ' ἀληθίζονται ἵνα τι τῇ ἀληθείῃ ἐπισπάσωνται κέρδος καί τις μᾶλλόν σφι ἐπιτράπηται. οὕτω οὐ ταὐτὰ ἀσκέοντες τὠυτοῦ περιεχόμεθα. εἰ δὲ μηδὲν κερδήσεσθαι μέλλοιεν, ὁμοίως ἂν ὅ τε ἀληθιζόμενος ψευδὴς εἴη καὶ ὁ ψευδόμενος ἀληθής. ὃς ἂν μέν νυν τῶν πυλουρῶν ἑκὼν παρίῃ, αὐτῷ οἱ ἄμεινον ἐς χρόνον ἔσται· ὃς δ' ἂν ἀντιβαίνειν πειρᾶται, διαδεικνύσθω ἐνθαῦτα ἐὼν πολέμιος, καὶ ἔπειτα ὠσάμενοι ἔσω ἔργου ἐχώμεθα."

16. *παρὰ τοῦ πατρός*: vgl. c. 70 10.

17 ff. Das folgende Räsonnement über die Erlaubnifs der Gewinnlüge stimmt wenig zu dem Sittengesetze der Perser: *αἴσχιστον δὲ αὐτοῖσι τὸ ψεύδεσθαι νενόμισται* (I 138), wohl aber zu der volksthümlichen Vorstellung, die von des Dareios rücksichtslosem gewinnsüchtigen Charakter in Umlauf war (vgl. c. 89 16 f., auch I 187). Die Zulässigkeit der Nothlüge war bei den Hellenen dieser Zeit ein Gegenstand der Erörterung und ward von den Meisten bejaht (Aeschyl. Fr. 294 *ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός*, Soph. Fr. 325 *καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν· Ὅτῳ δ' ὄλεθρον δεινὸν ἀλήθει' ἄγει, Συγγνωστὸν εἰπεῖν ἐστὶ καὶ τὸ μὴ καλόν*); aber die Gewinnlüge hat Niemand unter ihnen ernstlich vertheidigt, und was hier für sie vorgebracht wird, soll blofs zur Charakteristik des Dareios dienen.

21. *ἐπισπᾶσθαι* 'an sich bringen', widerrechtlich oder gewaltthätig. Soph. Ai. 679 *ἐγὼ δὲ καὶ δίχα Κείνων* (*θεῶν*) *πέποιθα τοῦτ' ἐπισπάσειν κλέος.*

22. *ἐπιτράπηται* 'Vertrauen schenke'. Das Wort ist besonders von streitenden Parteien üblich, die ihre Sache dem Spruche eines Schiedrichters anheimstellen. Vgl. I 96 18. V 95 10. Xen. An. I 9 von dem wahrheitsliebenden Kyros: *καὶ γὰρ οὖν ἐπίστευον μὲν αὐτῷ αἱ πόλεις ἐπιτρεπόμεναι.* Aber öfter im Activ. — Zum Gedanken vgl. Demokrit Fr. 125 *ἀληθομυθεύειν χρεὼν ὅπου λώιον.*

23. *ἀσκέοντες*: zu c. 82 12.

24 f. *ὁμοίως* 'ohne Unterschied, eben so gut'. Nur die Rücksicht auf Gewinn bestimmt jenen wahrhaftig, diesen lügnerisch zu sein; fiele diese Rücksicht weg, so würde jener ebenso seiner natürlichen Neigung zur Lüge als dieser der seinigen zur Wahrheit folgen.

26. *ἐς χρόνον* 'dereinst'. VII 29 *οὔτε ἐς τὸ παρεὸν οὔτε ἐς χρόνον μεταμελήσει*, und IX 89 17.

27 f. *διαδεικνύσθω — πολέμιος*,

Λέγει Γωβρύης μετὰ ταῦτα „ἄνδρες φίλοι, ἡμῖν κότε κάλλιον παρέξει ἀνασώσασθαι τὴν ἀρχήν, ἢ εἴ γε μὴ οἷοί τε ἐσόμεθα αὐτὴν ἀναλαβεῖν ἀποθανεῖν; ὅτε γε ἀρχόμεθα μὲν ἐόντες Πέρσαι ὑπὸ Μήδου ἀνδρὸς Μάγου, καὶ τούτου ὦτα οὐκ ἔχοντος. ὅσοι τε ὑμέων Καμβύσῃ νοσέοντι παρεγένοντο, πάντως κου μέμνησθε τὰ ἐπέσκηψε Πέρσῃσι τελευτέων τὸν βίον μὴ πειρεομένοισι ἀνακτᾶσθαι τὴν ἀρχήν· τὰ τότε οὐκ ἐνεδεκόμεθα, ἀλλ' ἐπὶ διαβολῇ ἐδοκέομεν εἰπεῖν Καμβύσεα. νῦν ὦν τίθεμαι ψῆφον πείθεσθαι Δαρείῳ καὶ μὴ διαλύεσθαι ἐκ τοῦ συλλόγου τοῦδε ἄλλοθι ἰόντας ἢ ἐπὶ τὸν Μάγον ἰθέως." ταῦτα εἶπε Γωβρύης, καὶ πάντες ταῦτα αἴνεον. 73

Ἐν ᾧ δὲ οὗτοι ταῦτα ἐβουλεύοντο, ἐγίνετο κατὰ συντυχίην τάδε. τοῖσι Μάγοισι ἔδοξε βουλευομένοισι Πρηξάσπεα φίλον προσθέσθαι, ὅτι τε ἐπεπόνθεε πρὸς Καμ- 74

Andeutung ihn niederzustofsen. — *ἔργου ἐχώμεθα, opus aggrediamur* (II 121^α 20. VIII 11 3. 108 19. IX 102 11), meist wie hier von Gefahren und Kämpfen. Pind. Pyth. IV 233 vom Beginn eines gefahrvollen Unternehmens *Ἰάσων – θεῷ πίσυνος εἴχετ' ἔργου*. Vgl. *ἔχεσθαι λόγου* VII 5 7. 6 10, *προφάσιος* VII 229 19, Soph. O. K. 423 *τῆς μάχης – ἧς νῦν ἔχονται*.

73. *κότε*, sc. *ἢ νῦν*, 'wann werden wir eine schönere Gelegenheit haben?' — *ἤ* 'oder'.

3 f. *ὅτε γε, quandoquidem* IV 120 3 V 92^α 4. VI 19 12. VII 80 4; vgl. *ὁκότε* (II 125 24). — Die Schmach von den Medern beherrscht zu werden und den drohenden Befehl des sterbenden Kambyses gebraucht Gobryas als mahnende Gründe, die Herrschaft entweder wiederzugewinnen oder zu sterben. — *μέν*: das entsprechende *δέ* ist nicht ausgedrückt, der Gegensatz liegt aber in den Worten *καὶ τούτου ὦτα οὐκ ἔχοντος = ὑπ' ἀνδρὸς δὲ ὦτα οὐκ ἔχοντος*. Der Schimpf sei ein doppelter, erstens dafs sie als Perser von Medern sich beherrschen liefsen, und zweitens dafs ihr König ein mit einer entehrenden Strafe belasteter Mensch sei. — *ἐόντες Πέρσαι*: über den persischen Nationalstolz vgl. I 134 6 ff.

7. *τά*, welche Strafen. — *ἐπέσκηψε* hat hier den Nebenbegriff des Androhens (*ἐπισκήπτω = ἐπαρῶμαι* Hesych., vgl. c. 74 14), aber in der betr. Rede des Kambyses c. 65 30 u. IV 33 23. VII 158 6 'dringend anempfehlen, ans Herz legen'.

11. *ἄλλοθι* st. *ἄλλοσε* liefse sich durch II 119 12. III 39 12 (*ὅκου* st. *ὅκοι* od. *ὅκῃ*) und ähnl. entschuldigen; die Stelle scheint aber überhaupt verderbt zu sein. Gute Hss. haben *ἀλλ' ἰόντας*. Vielleicht schrieb H. *ἀλλ' ὅτι τάχος ἰόντας ἐπὶ τὸν Μάγον ἰθέως ἔργου ἔχεσθαι* (c. 72 28, od. *τὰ δεδογμένα ποιέειν* c. 76 10).

Bekenntniss und Ende des Prexaspes (c. 74 f.)

βύσεω ἀνάρσια, ὅς οἱ τὸν παῖδα τοξεύσας ἀπολωλέκεε, καὶ διότι μοῦνος ἠπίστατο τὸν Σμέρδιος τοῦ Κύρου θάνατον αὐτοχειρίῃ μιν ἀπολέσας, πρὸς δ' ἔτι ἐόντα ἐν αἴνῃ μεγίστῃ τὸν Πρηξάσπεα ἐν Πέρσῃσι. τούτων δή μιν εἵνεκεν καλέσαντες φίλον προσεκτῶντο πίστι τε λαβόντες καὶ ὁρκίοισι, ἦ μὲν ἕξειν παρ' ἑωυτῷ μηδ' ἐξοίσειν μηδενὶ ἀνθρώπων τὴν ἀπὸ σφέων ἀπάτην ἐς Πέρσας γεγονυῖαν, ὑπισχνεύμενοι τὰ πάντα οἱ μυρία δώσειν. ὑποσχομένου δὲ τοῦ Πρηξάσπεος ποιήσειν ταῦτα, ὡς ἀνέπεισάν μιν οἱ Μάγοι, δεύτερα προσέφερον, αὐτοὶ μὲν φάμενοι Πέρσας πάντας συγκαλέσειν ὑπὸ τὸ βασιλήιον τεῖχος, κεῖνον δ' ἐκέλευον ἀναβάντα ἐπὶ πύργου ἀγορεῦσαι ὡς ὑπὸ τοῦ Κύρου Σμέρδιος ἄρχονται καὶ ὑπ' οὐδενὸς ἄλλου. ταῦτα δὲ οὕτω ἐνετέλλοντο ὡς πιστοτάτου δῆθεν ἐόντος αὐτοῦ ἐν Πέρσῃσι, καὶ πολλάκις ἀποδεξαμένου γνώμην ὡς περιείη ὁ Κύρου Σμέρδις, καὶ ἐξαρνησαμένου τὸν φόνον αὐτοῦ.

75 *φαμένου δὲ καὶ ταῦτα ἑτοίμου εἶναι ποιέειν τοῦ Πρηξάσπεος, συγκαλέσαντες Πέρσας οἱ Μάγοι ἀνεβίβασαν αὐτὸν ἐπὶ πύργον καὶ ἀγορεύειν ἐκέλευον. ὁ δέ, τῶν μὲν δὴ ἐκεῖνοι προσεδέοντο αὐτοῦ, τούτων μὲν ἑκὼν ἐπελήθετο, ἀρξάμενος δὲ ἀπ' Ἀχαιμένεος ἐγενεηλόγησε τὴν πατριὴν τὴν*

74. 4. S. c. 35.

5. *μοῦνος*: vgl. jedoch c. 61 6.

6 f. *ἐόντα* st. *διότι ἦν*. Der Participialsatz enthält den dritten Grund. — *τὸν Πρηξάσπεα* ist wiederholt, damit *μιν* keinen Irrthum veranlasse.

9. *λαβόντες* 'bindend', sonst in dieser Verbindung *καταλαμβάνειν*, IX 106 *πίστι τε καταλαβόντες καὶ ὁρκίοισι*, Thuk. I 9 *ὅρκοις κατειλημμένους*. — *ἦ μέν*: zu II 29 2.

10. *μηδενί*, als stände *κατερέειν*; sonst *ἐκφέρειν πρός* oder *ἔς τινα* (c. 71 18).

11. *τὰ πάντα μυρία*, 'alles Mögliche in unendlicher Fülle'; s. zu IV 88 3.

13. *ὡς – Μάγοι* bezieht sich auf das folgende *δεύτερα* 'nachdem sie ihn zu dem ersten beredet, machten sie ihm einen zweiten Vorschlag'.

14 f. *Πέρσας*: zu c. 70 9.

15. *ἐκέλευον*: zu c. 53 25.

75. 4. *μὲν δὴ – μέν*: zu II 39 9. (Die Hss. *μέντοι*; vgl. I 13 5).

5. *ἑκών*: zu II 116 4.

6. *ἐγενεηλόγησε τὴν πατριήν*: vgl. II 143 3. 146 16. Die Reihenfolge der Ahnen s. zu VII 11 8. Ihre Aufzählung benutzt Prexaspes als Mittel, um den Persern die Herstellung der Dynastie der Achaemeniden zu empfehlen.

Κῦρον, μετὰ δὲ ὡς ἐς τοῦτον κατέβη, τελευτέων ἔλεγε ὅσα ἀγαθὰ Κῦρος Πέρσας πεποιήκοι, διεξελθὼν δὲ ταῦτα ἐξέφαινε τὴν ἀληθείην, φάμενος πρότερον μὲν κρύπτειν (οὐ γάρ οἱ εἶναι ἀσφαλὲς λέγειν τὰ γενόμενα), ἐν δὲ τῷ παρεόντι ἀναγκαίην μιν καταλαμβάνειν φαίνειν· καὶ δὴ ἔλεγε τὸν μὲν Κύρου Σμέρδιν ὡς αὐτὸς ὑπὸ Καμβύσεω ἀναγκαζόμενος ἀποκτείνειε, τοὺς Μάγους δὲ βασιλεύειν. Πέρσῃσι δὲ πολλὰ ἐπαρησάμενος εἰ μὴ ἀνακτησαίατο ὀπίσω τὴν ἀρχὴν καὶ τοὺς Μάγους τισαίατο, ἀπῆκε ἑωυτὸν ἐπὶ κεφαλὴν φέρεσθαι ἀπὸ τοῦ πύργου κάτω. Πρηξάσπης μέν νυν ἐὼν τὸν πάντα χρόνον ἀνὴρ δόκιμος οὕτω ἐτελεύτησε.

76 *Οἱ δὲ δὴ ἑπτὰ τῶν Περσέων ὡς ἐβουλεύσαντο αὐτίκα ἐπιχειρέειν τοῖσι Μάγοισι καὶ μὴ ὑπερβάλλεσθαι, ἤισαν εὐξάμενοι τοῖσι θεοῖσι, τῶν περὶ Πρηξάσπεα πρηχθέντων εἰδότες οὐδέν. ἔν τε δὴ τῇ ὁδῷ μέσῃ στείχοντες ἐγίνοντο καὶ τὰ περὶ Πρηξάσπεα γεγονότα ἐπυνθάνοντο. ἐνθαῦτα ἐκστάντες τῆς ὁδοῦ ἐδίδοσαν αὖτις σφίσι λόγους, οἱ μὲν ἀμφὶ τὸν Ὀτάνην πάγχυ κελεύοντες ὑπερβάλλεσθαι μηδὲ οἰδεόντων τῶν πρηγμάτων ἐπι-*

8. Vgl. c. 89 16ff. 160 3f.

10. *τὰ γενόμενα* = *τὴν ἀληθείην*; zu c. 69 27.

15. *ἀνακτησαίατο ὀπίσω*: zu c. 16 4.

16. *ἀπῆκε – φέρεσθαι*: zu V 20 8.

17f. 'Wie er sein Leblang ein ehrenwerther Mann gewesen, so starb er auch eines ehrenwerthen Todes'. — Ktesias Exc. Pers. 13 erwähnt eines ähnlichen Vorfalles, nennt aber den Verschnittenen Izabates, als welcher allein mit zwei Anderen um den Tod des Tanyoxarkes (Smerdis) wufste, und knüpft erst daran die Entlarvung des Magers und die Verschwörung der Sieben: *λαβὼν δὲ τὸ Καμβύσου σῶμα Ἰζαβάτης ἦγεν εἰς Πέρσας. τοῦ μάγου δὲ βασιλεύσαντος ἐπ' ὀνόματι τοῦ Τανυοξάρκου, ἧκεν Ἰζαβάτης ἐκ Περσίδος καὶ κατειπὼν τῇ στρατιᾷ πάντα καὶ θριαμβεύσας τὸν μάγον κατέφυγεν εἰς τὸ ἱερὸν ἐκεῖθέν τε συλληφθεὶς ἀπετμήθη. ἐντεῦθεν ἑπτὰ τῶν Περσῶν κτλ.*

Sturz des falschen Smerdis und Magermord (c. 76–79).

76. 3. *εὐξάμενοι*: vgl. Dareios in der Inschrift (zu c. 70 9): dann rief ich den Auramazda um Hilfe an: Aur. gewährte mir Beistand'.

4f. Ueber die Nebenordnung der beiden Sätze vgl. zu II 93 26.

7. *οἱ ἀμφὶ τὸν Ὀτάνεα*, Otanes mit denen die seine Ansicht theilten.

8. *οἰδεόντων* 'in gährender Aufregung waren', in Folge der von Prexaspes gemachten Enthüllungen.

τίθεσθαι, οἱ δὲ ἀμφὶ τὸν Δαρεῖον αὐτίκα τε ἰέναι καὶ
τὰ δεδογμένα ποιέειν μηδὲ ὑπερβαλέσθαι. ὠθιζομένων
δ' αὐτῶν ἐφάνη ἰρήκων ἑπτὰ ζεύγεα δύο αἰγυπιῶν ζεύ-
γεα διώκοντα καὶ τίλλοντά τε καὶ ἀμύσσοντα. ἰδόντες
δὲ ταῦτα οἱ ἑπτὰ τήν τε Δαρείου πάντες αἴνεον γνώ-
μην, καὶ ἔπειτα ἤισαν ἐπὶ τὰ βασιλήια τεθαρσηκότες
77 τοῖσι ὄρνισι. ἐπιστᾶσι δὲ ἐπὶ τὰς πύλας ἐγίνετο οἷόν
τι Δαρείῳ ἡ γνώμη ἔφερε· καταιδεόμενοι γὰρ οἱ φύ-
λακοι ἄνδρας τοὺς Περσέων πρώτους, καὶ οὐδὲν τοι-
οῦτον ὑποπτεύοντες ἐξ αὐτῶν ἔσεσθαι, παρίεσαν θείῃ
πομπῇ χρεομένους, οὐδ' ἐπειρώτα οὐδείς. ἐπείτε δὲ καὶ
παρῆλθον ἐς τὴν αὐλήν, ἐνέκυρσαν τοῖσι τὰς ἀγγελίας
ἐσφέρουσι εὐνούχοισι, οἵ σφεας ἱστόρεον ὅ τι θέλοντες
ἥκοιεν· καὶ ἅμα ἱστορέοντες τούτους τοῖσι πυλουροῖσι
ἀπείλεον ὅτι σφέας παρῆκαν, ἴσχόν τε βουλομένους τοὺς
ἑπτὰ ἐς τὸ πρόσω παριέναι. οἱ δὲ διακελευσάμενοι καὶ
σπασάμενοι τὰ ἐγχειρίδια, τούτους μὲν τοὺς ἴσχοντας
αὐτοῦ ταύτῃ συγκεντέουσι, αὐτοὶ δὲ ἤισαν δρόμῳ ἐς
78 τὸν ἀνδρεῶνα. οἱ δὲ Μάγοι ἔτυχον ἀμφότεροι τηνικαῦτα
ἐόντες τε ἔσω καὶ τὰ ἀπὸ Πρηξάσπεος γενόμενα ἐν
βουλῇ ἔχοντες. ἐπεὶ ὦν εἶδον τοὺς εὐνούχους τεθορυβη-
μένους τε καὶ βοῶντας, ἀνά τε ἔδραμον πάλιν ἀμφότε-

οἰδέειν (att. *-ᾶν*) eig. 'aufschwellen', bes. von kranken Körpertheilen. Aehnliche Metapher bei *φλεγμαίνειν* und lat. *tumere*. Vgl. c. 127 5. VII 39 9 u. zu c. 80 1. — *ἐπιτίθεσθαι*, sc. *τοῖσι Μάγοισι*.

10. *ὠθιζομένων*, näml. *λόγοις*, 'während sie hin und herstritten'. Vgl. *ἐγένετο ὠθισμὸς λόγων πολλός* VIII 78. IX 26, und *ὠστίζεσθαι*.

11 f. Dafs die Perser auf Augurien hielten, deutet auch Aeschylos Pers. 205 ff. an, wo des Xerxes Mutter im Traume einen Adler (als Vogel der Perser) von einem Habicht (*κίρκος*, als Vogel der Hellenen) verfolgt und zerzaust werden sieht.

77. 2. *ἡ γνώμη ἔφερε*, 'wie es Dareios sich gedacht, erwartet hatte', sc. *γενήσεσθαι*; s. c. 72 11 ff. Die Redeweise wie hier VIII 100 10; anders IV 11 10. V 118 9. 125 3. VI 110 4. VIII 100 10. Vgl. IX 120 *τοῦ στρατηγοῦ ταύτῃ ὁ νόος ἔφερε*.

4 f. *θείῃ πομπῇ χρεομένους*: zu I 62 15.

6 f. *τοῖσι — ἐσφέρουσι*, den *ἀγγελιηφόροισι* od. *ἐσαγγελεῦσι*; zu I 114 9. — *εὐνούχοισι*: über ihren Dienst s. VIII 105. Esther 1 10 werden 'sieben Hämmlinge' aufgezählt, 'die vor dem Könige Ahasveros dienten'.

10. *διακελευσάμενοι*: zu I 1 22.

78. 4. *ἀνέδραμον πάλιν* 'liefen

ροι, καὶ ὡς ἔμαθον τὸ ποιεύμενον, πρὸς ἀλκὴν ἐτράποντο. ὁ μὲν δὴ αὐτῶν φθάνει τὰ τόξα κατελόμενος, ὁ δὲ πρὸς τὴν αἰχμὴν ἐτράπετο. ἐνθαῦτα δὴ συνέμισγον ἀλλήλοισι. τῷ μὲν δὴ τὰ τόξα ἀναλαβόντι αὐτῶν, ἐόντων τε ἀγχοῦ τῶν πολεμίων καὶ προσκειμένων, ἦν χρηστὰ οὐδέν· ὁ δ' ἕτερος τῇ αἰχμῇ ἠμύνετο, καὶ τοῦτο μὲν Ἀσπαθίνην παίει ἐς τὸν μηρόν, τοῦτο δὲ Ἰνταφρένεα ἐς τὸν ὀφθαλμόν· καὶ ἐστερήθη μὲν τοῦ ὀφθαλμοῦ ἐκ τοῦ τρώματος ὁ Ἰνταφρένης, οὐ μέντοι ἀπέθανέ γε. τῶν μὲν δὴ Μάγων οὕτερος τρωματίζει τούτους· ὁ δὲ ἕτερος, ἐπείτε οἱ τὰ τόξα οὐδὲν χρηστὰ ἐγίνετο, ἦν γὰρ δὴ θάλαμος ἐσέχων ἐς τὸν ἀνδρεῶνα, ἐς τοῦτον καταφεύγει, θέλων αὐτοῦ προσθεῖναι τὰς θύρας· καί οἱ συνεσπίπτουσι τῶν ἑπτὰ δύο, Δαρεῖός τε καὶ Γωβρύης. συμπλακέντος δὲ Γωβρύεω τῷ Μάγῳ ὁ Δαρεῖος ἐπεστεὼς ἠπόρεε οἷα ἐν σκότεϊ, προμηθεόμενος μὴ πλήξῃ τὸν Γωβρύην. ὁρέων δέ μιν ἀργὸν ἐπεστεῶτα ὁ Γωβρύης εἴρετο ὅ τι οὐ χρᾶται τῇ χειρί· ὁ δὲ εἶπε „προμηθεόμενος σέο, μὴ πλήξω.“ Γωβρύης δὲ ἀμείβετο „ὤθεε τὸ ξίφος καὶ δι' ἀμφοτέρων.“ Δαρεῖος δὲ πειθόμενος ὦσέ τε τὸ ἐγχειρίδιον καὶ ἔτυχέ κως τοῦ Μά-

wieder zurück', näml. in das Gemach, das sie, wie in *ἐπεὶ ὦν εἶδον* angedeutet ist, verlassen hatten. Ueber die Abundanz von *πάλιν* vgl. zu c. 16 4, H. Il. ε 599 *ἀνά τ' ἔδραμ' ὀπίσσω*; hier könnte es sogar nicht entbehrt werden zur Unterscheidung von der anderen Bedeutung des Verbs 'aufspringen' (c. 36 21. VII 15 1. 212 3. 218 5).

5. *τὸ ποιεύμενον* 'was vorging' (IX 22 14. 110 2).

6. *τὰ τόξα* 'das Schiefszeug', Bogen und Köcher, die an der Wand hingen.

10. *χρηστά = χρήσιμα*, 'brauchbar' (VII 215 8).

16. *γάρ*: zu I 8 4.

17. *προσθεῖναι τὰς θύρας ἀντὶ τοῦ ἐπικλεῖσαι. Ἡρόδοτος τρίτῳ.* Bekk. Anecd. p. 111; indefs auch bei Anderen. Vgl. H. Il. ξ 169 *θύρας ἐπέθηκε φαεινάς.*

19. *συμπλακέντος*: vgl. zu I 214 8.

23. *προμηθεόμενος*: zu II 172 20.

24. *καὶ δι' ἀμφοτέρων* 'durch Beide'. S. zu I 198 5. — *κως*, *forte*. S. zu V 41 5. Bei Aeschylos und Ktesias finden sich zum Theil abweichende Darstellungen des Magermordes. Jener Pers. 774 *πέμπτος δὲ Μάρδος (= Σμέρδις) ἦρξεν, αἰσχύνη πάτρᾳ θρόνοισί τ' ἀρχαίοισι· τὸν δὲ σὺν δόλῳ Ἀρταφρένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις, Φρένες γὰρ αὐτοῦ θυμὸν οἰακοστρόφουν, ξὺν ἀνδράσιν φίλοισιν, οἷς τόδ' ἦν χρέος.* Dieser Exc. Pers. 14 *ἐντεῦθεν ἑπτὰ*

79 γου. ἀποκτείναντες δὲ τοὺς Μάγους καὶ ἀποταμόντες αὐτῶν τὰς κεφαλάς, τοὺς μὲν τρωματίας ἑωυτῶν αὐτοῦ λείπουσι καὶ ἀδυνασίης εἵνεκεν καὶ φυλακῆς τῆς ἀκροπόλιος, οἱ δὲ πέντε αὐτῶν ἔχοντες τῶν Μάγων τὰς κεφαλὰς ἔθεον ἔξω βοῇ τε καὶ πατάγῳ χρεόμενοι, καὶ Πέρσας τοὺς ἄλλους ἐπεκαλέοντο ἐξηγεόμενοί τε τὸ πρῆγμα καὶ δεικνύοντες τὰς κεφαλάς· καὶ ἅμα ἔκτεινον πάντα τινὰ τῶν Μάγων τὸν ἐν ποσὶ γινόμενον. οἱ δὲ Πέρσαι μαθόντες τὸ γεγονὸς ἐκ τῶν ἑπτὰ καὶ τῶν Μάγων τὴν ἀπάτην, ἐδικαίευν καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιέειν, σπασάμενοι δὲ τὰ ἐγχειρίδια ἔκτεινον ὅκου τινὰ Μάγον εὕρισκον· εἰ δὲ μὴ νὺξ ἐπελθοῦσα ἔσχε, ἔλιπον ἂν οὐδένα Μάγον. ταύτην τὴν ἡμέρην θεραπεύουσι Πέρσαι κοινῇ μάλιστα τῶν ἡμερέων, καὶ ἐν αὐτῇ ὁρτὴν μεγάλην ἀνάγουσι, ἣ κέκληται ὑπὸ Περσέων μαγοφόνια· ἐν τῇ Μάγον οὐδένα ἔξεστι φανῆναι ἐς τὸ φῶς, ἀλλὰ κατ᾽ οἴκους ἑωυτοὺς οἱ Μάγοι ἔχουσι τὴν ἡμέρην ταύτην.

80 Ἐπείτε δὲ κατέστη ὁ θόρυβος καὶ ἐκτὸς πέντε ἡμε-

τῶν Περσῶν (vgl. zu c. 75 17) ἐπίσημοι συνέθεντο ἀλλήλοις κατὰ τοῦ μάγου, Ὀνόφας, Ἰδέρνης, Νορονδαβάτης, Μαρδόνιος, Βαρίσσης, Ἀταφέρνης καὶ Δαρεῖος Ὑστάσπεω. τούτων ἀλλήλοις πίστεις δόντων προσλαμβάνεται καὶ ὁ Ἀρτασύρας καὶ εἶτα ὁ Βαγαπάτης (die nebst Izabates um den Tod des Smerdis gewufst hatten), ὃς τὰς κλεῖς πάσας τῶν βασιλείων εἶχε. καὶ εἰσελθόντες διὰ τοῦ Βαγαπάτου οἱ ἑπτὰ εἰς τὰ βασίλεια εὑρίσκουσι τὸν μάγον παλλακῇ Βαβυλωνίᾳ συγκαθεύδοντα. ὡς δὲ εἶδεν, ἀνεπήδησε· καὶ μηδὲν εὑρὼν τῶν πολεμικῶν ὀργάνων, πάντα γὰρ ὁ Βαγαπάτης λάθρᾳ ὑπεξήγαγε, δίφρον χρύσεον συντρίψας καὶ λαβὼν τὸν πόδα ἐμάχετο, καὶ τέλος κατακεντηθεὶς ὑπὸ τῶν ἑπτὰ ἀπέθανε, βασιλεύσας μῆνας ἑπτά.

79. 3. ἀδυνασίη = ἀδυναμίη (VIII 111 17), 'Schwäche, Entkräftung'; noch VII 172 17. Vgl. VI 16 ἀδύνατοι ἦσαν αἱ νέες ὑπὸ τρωμάτων. — ἀκροπόλιος: zu c. 68 7.

5. βοῇ τε καὶ πατάγῳ, auch VII 211 13 verbunden; vgl. VIII 37 βοή τε καὶ ἀλαλαγμός.

10. ἕτερα τοιαῦτα: der Plural wie I 120 34.

12. ἔσχε, *cohibuisset*; vgl. zu I 158 8.

13. θεραπεύουσι, *colunt*, *celebrant*, wie man sagte νηόν, ἱρὰ θεραπεύειν; vgl. I 133 ἡμέρην — τιμᾶν, II 62 φῶς ἔλαχε καὶ τιμὴν ἡ νὺξ αὕτη Ovid fast. VI 179 *caesa sue festa colebant*.

Berathung der Sieben. List des Oebares. Dareios wird König (c. 80—87).

80. κατίστασθαι (καταστῆναι) 'sich legen, beruhigen', *subsidere*, *recidere*, bes häufig bei Hippokrates (z. B. οἴδημα καθίσταται). Die

ρέων ἐγένετο, ἐβουλεύοντο οἱ ἐπαναστάντες τοῖσι Μάγοισι περὶ τῶν πάντων πρηγμάτων, καὶ ἐλέχθησαν λόγοι ἄπιστοι μὲν ἐνίοισι Ἑλλήνων, ἐλέχθησαν δ' ὦν. Ὀτάνης μὲν ἐκέλευε ἐς μέσον Πέρσῃσι καταθεῖναι τὰ πρήγματα, λέγων τάδε. „ἐμοὶ δοκέει ἕνα μὲν ἡμέων μούναρχον μηκέτι γενέσθαι· οὔτε γὰρ ἡδὺ οὔτε ἀγαθόν. εἴδετε μὲν γὰρ τὴν Καμβύσεω ὕβριν ἐπ' ὅσον ἐπεξῆλθε, μετεσχήκατε δὲ καὶ τῆς τοῦ Μάγου ὕβριος. κῶς δ' ἂν εἴη χρῆμα κατηρτημένον μουναρχίη, τῇ ἔξεστι ἀνευθύνῳ ποιέειν τὰ βούλεται; καὶ γὰρ ἂν τὸν ἄριστον

Metapher entspricht genau der obigen *τῶν πρηγμάτων οἰδεόντων* (c. 76 8). Lysias in Agor. 25 *ἕως τὰ πράγματα κατασταίη*. Soost selten. — *καὶ ἐκτὸς – ἐγένετο* 'und da sie (die Unruhe) über den Zeitraum von fünf Tagen hinaus war', d. h. 'da mehr als fünf Tage seitdem verflossen waren'. Das Eigenthümliche des Ausdrucks liegt, abgesehen von dem temporalen Gebrauche des *ἐκτός*, darin dafs der einmal stattgehabten Unruhe eine dauernde Existenz beigelegt wird. Ueber Aehnliches zu I 6 12. — Uebrigens ist die Zahl der Tage nicht ohne Bedeutung. Sext. Emp. adv. Rhet. 33 *ἐντεῦθεν καὶ οἱ Περσῶν χαρίεντες* (*nobiles*) *νόμον ἔχουσι, βασιλέως παρ' αὐτοῖς τελευτήσαντος πέντε τὰς ἐφεξῆς ἡμέρας ἀνομίαν ἄγειν, οὐχ ὑπὲρ τοῦ δυστυχεῖν ἀλλ' ὑπὲρ τοῦ ἔργῳ μαθεῖν ἡλίκον κακόν ἐστιν ἡ ἀνομία.*

4. *δ' ὦν* hier nachdrücklicher als sonst, = *δ' ὅμως, οὐδὲν ἧσσον*, trotz allem Widerspruche. Vgl. c. 47 9. IV 5 6. V 50 9. VI 82 5. — Die Zweifel mochten sich äufsern, als der Vf. diesen Theil des Werkes, den *Περσικὸς λόγος*, in Athen oder anderswo vorlas (vgl. Einl. S. 23f.). VI 43 kommt er noch einmal darauf zurück: *ἐνθαῦτα μέγιστον θῶυμα ἐρέω τοῖσι μὴ ἀποδεκομένοισι Ἑλλήνων, Περσέων τοῖσι ἑπτὰ Ὀτάνεα γνώμην ἀποδέξασθαι ὡς χρεὼν εἴη δημοκρατέεσθαι Πέρσας· τοὺς γὰρ τυράννους τῶν Ἰώνων καταπαύσας πάντας ὁ Μαρδόνιος κτλ.*: wonach sich die Zweifel mehr auf den Inhalt, besonders der ersten Rede, als auf die Thatsache der Discussion bezogen hätten. Den Hellenen mochte es unglaublich scheinen, dafs ein persischer Magnat sich für eine demokratische Verfassung erklären könne. Vgl. zu c. 82 26.

5. 'Die Herrschaft der Gesammtheit der Perser zu übergeben'. VII 64 vom Tyrannen Kadmos *ἐς μέσον Κῴοισι καταθεὶς τὴν ἀρχήν*, III 142 16 IV 161 15.

6. *ἕνα μέν*, Gegens. 26 *πλῆθος δέ*.

7. *ἡδύ*, für uns, nach den gemachten bitteren Erfahrungen; *ἀγαθόν*, im Allgemeinen, an sich. Jenes wird durch *εἴδετε μὲν γὰρ* . ., dieses 9 *κῶς δ' ἂν εἴη* . . erörtert.

9. *τῆς τοῦ Μάγου ὕβριος*: vgl. jedoch c. 67 5. Anders beurtheilt ihn freilich Dareios in seiner Inschrift (zu c. 70 1). — *μετεσχήκατε – ὕβριος* 'habt auch von dem Frevelmuth des Magers zu leiden gehabt'.

10f. *κατηρτημένον* = *κατηρτισμένον*, 'wohl eingerichtet' (Ggs 22 *ἀναρμοστότατος*), von dem ion. *ἀρτέεσθαι* = *παρασκευάζεσθαι* (V 120 5. VII 143 16. VIII 97 8. IX

ἀνδρῶν πάντων στάντα ἐς ταύτην τὴν ἀρχὴν ἐκτὸς τῶν ἐωθότων νοημάτων στήσειε. ἐγγίνεται μὲν γάρ οἱ ὕβρις ὑπὸ τῶν παρεόντων ἀγαθῶν, φθόνος δὲ ἀρχῆθεν ἐμφύεται ἀνθρώπῳ. δύο δ' ἔχων ταῦτα ἔχει πᾶσαν κακότητα· τὰ μὲν γὰρ ὕβρι κεκορημένος ἔρδει πολλὰ καὶ ἀτάσθαλα, τὰ δὲ φθόνῳ. καίτοι ἄνδρα γε τύραννον ἄφθονον ἔδει εἶναι, ἔχοντά γε πάντα τὰ ἀγαθά. τὸ δὲ ὑπεναντίον τούτου ἐς τοὺς πολιήτας πέφυκε· φθονέει γὰρ τοῖσι ἀρίστοισι περιεοῦσί τε καὶ ζώουσι, χαίρει δὲ τοῖσι κακίστοισι τῶν ἀστῶν, διαβολὰς δὲ ἄριστος ἐνδέκεσθαι. ἀναρμοστότατον δὲ πάντων· ἤν τε γὰρ αὐτὸν

66 10; vgl. *ἀνηρτῆσθαι* I 90 5. VI 88 7. VII 8 γ 2, *παραρτέεσθαι* VII 20 2 u. s.). — *μουναρχίη*, der tyrannischen, welche hier überhaupt gemeint ist, deren wesentliche Eigenschaft nach hellenischem Begriffe darin bestand, daſs sie unverantwortlich (*ἀνεύθυνος*, gewöhnlicher *ἀνυπεύθυνος*) war.

12f. *ἐκτὸς – στήσειε*: vgl. zu c. 155 13. — *ὕβρις*: vgl. Soph. O. T. 873 *ὕβρις φυτεύει τύραννον*.

16f *τὰ μὲν – τὰ δέ* 'theils – theils'. — Die *ὕβρις* (*superbia*), welche sich rücksichtslos über die Schranken des Rechtes und der Sitte wegsetzt, der persönlichen Willkür und Eigensucht jede Rücksicht auf Andere opfert, entspringt aus dem *κόρος* (*fastidium*), der Uebersättigung an allen Gütern des Glückes und geringschätzigen Verachtung aller minder Begünstigten. Deshalb gilt der *κόρος* als Vater der *ὕβρις* (s. zu VIII 77 9); und dies Verhältniſs wird hier durch den Zusatz von *κεκορημένος* angedeutet, 'aus Frevelmuth, indem er übersättigt ist', während oben Z. 13 in den Worten *ἐγγίνεται — ἀγαθῶν* die Mittelstufe des *κόρος* übergangen war. — *καί*: sonst verbindet H. *πολλός* mit einem folgenden Adjectiv durch *τε καί*. Weil aber der Gebrauch dieser Doppelconjunction mit der Zeit seltener und willkürlicher ward, so ist *τε* in den Hss. oft ausgelassen. Vgl. zu V 2 6. 55 5.

18. *ἄφθονος* activisch, 'neidlos'.

19f. *τούτου*, sc. *τοῦ ἄφθονος εἶναι*, also *φθονερός*. — *πέφυκε*, sc. *ἀνὴρ τύραννος*. — *φθονέει τοῖσι ἀρίστοισι*: ein Beispiel s. V 92 η. Sallust. Cat. 7 *regibus boni quam mali suspectiores sunt semperque iis aliena virtus formidolosa est.* — *ἀρίστοισι* im politischem Sinne = *εὐγενεστάτοισι*; entsprechend *κακίστοισι* = *ἀγενεστάτοισι*. — *περιεοῦσι* wird durch *ζώουσι* noch verstärkt (vgl. I 120 7), *vivis et salvis*. Od. ω 263 *ἤ που ζώει τε καὶ ἔστιν*. Demosth. pro cor. 72 *ζώντων καὶ ὄντων Ἀθηναίων*. Soph. Ant. 1278 *ἔχων τε καὶ κεκτημένος*.

21. *ἄριστος* 'ist am tauglichsten, versteht am besten'. I 136 *μάχεσθαι εἶναι ἀγαθόν*, 193 (*χωρέων*) *ἀρίστη – Δήμητρος καρπὸν ἐκφέρειν*. Il. Od. γ 180 *ταῦτα δ' ἐγὼ σέο πολλὸν ἀμείνων μαντεύεσθαι*. Virg. Ecl. V 1 *boni quoniam convenimus ambo Tu calamos inflare levis, ego dicere versus*.

22. *ἀναρμοστότατον*, sc. *τύραννος*. Ueber das Neutrum vgl. zu c. 36 4; hier als Prädicat einer Person, wie Eur. Med. 1095 *εἶθ' ἡδὺ*

μετρίως θωμάζῃς, ἄχθεται ὅτι οὐ κάρτα θεραπεύεται, ἤν τε θεραπεύῃ τις κάρτα, ἄχθεται ἅτε θωπί. τὰ δὲ δὴ μέγιστα ἔρχομαι ἐρέων· νόμαιά τε κινέει πάτρια καὶ βιᾶται γυναῖκας κτείνει τε ἀκρίτους. πλῆθος δὲ ἄρχον πρῶτα μὲν οὔνομα πάντων κάλλιστον ἔχει, ἰσονομίην, δεύτερα δὲ τούτων τῶν ὁ μούναρχος ποιέει οὐδέν· πάλιν μὲν γὰρ ἀρχὰς ἄρχει, ὑπεύθυνον δὲ ἀρχὴν ἔχει, βου-

βροτοῖς εἶτ' ἀνιαρὸν Παῖδες τελέθουσι. — ἀνάρμοστος 'nicht passend', eig. von Dingen (z. B. θώρηξ, χλαμύς, Xen. Mem. III 10 9), übertr. 'nicht umgänglich', δύσκολος, χαλεπός, ein Mann, mit dem man nicht auskommen kann. Vgl. die Charakteristik Eur. Med. 119 ff. δεινὰ τυράννων λήματα καί πως Ὀλίγ' ἀρχόμενοι πολλὰ κρατοῦντες Χαλεπῶς ὀργὰς μεταβάλλουσιν.

24. ἅτε, *tanquam* (I 123 19). — θώψ (von θαF 'anstaunen', vgl. zu I 10 5) erklärt Timaeos lex. Plat. ὁ μετὰ ψεύδους καὶ θαυμασμοῦ τινι προσιὼν ἐπὶ κολακείᾳ.

25. κινέει = λύει (c. 82 30); vgl. zu I 183 18. Die Gesetze, zumal die alten und auf Herkommen ruhenden (πάτρια), sind heilig und unantastbar.

26. βιᾶται γυναῖκας: auch dies berührt Eur. Suppl. 452 (τί δεῖ) παρθενεύειν παῖδας ἐν δόμοις καλῶς Τερπνὰς τυράννοις ἡδονὰς ὅταν θέλῃ; — ἀκρίτους, sc. ἀνθρώπους. Vgl. Eur. a. O. 444 ἀνὴρ δὲ βασιλεὺς . . τοὺς ἀρίστους οὓς ἂν ἡγῆται φρονεῖν Κτείνει, δεδοικὼς τῆς τυραννίδος πέρι, Dionys. Fr. 4 Nauck. ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ. — πλῆθος ἄρχον, die Demokratie; vgl. c. 82 4.

27. πρῶτα μὲν οὔνομα: ähnlich Eur. Med. 125 τῶν γὰρ μετρίων (*aequitatis*), πρῶτα μὲν εἰπεῖν, Τοὔνομα νικᾷ. — ἰσονομίη (von ἰσόνομος 'gleichvertheilt'), der Zustand politischer Freiheit und Gleichheit, in Ggs. zur μουναρχίη (τυραννίς) und ὀλιγαρχίη (c. 142 16. V 37 8). Vgl. ἰσοκρατίη (V 92$^{\alpha}$ 4) u. ἰσηγορίη (V 78 2), aus welcher Stelle zugleich erhellt, dafs des Vf.'s Gesinnung dieser Staatsform zuneigte.

28. δεύτερα δὲ τούτων, *tum vero* (I 91 14). — ποιέει ist auch zugleich Prädicat des Relativsatzes τῶν ὁ μούναρχος. VII 86 Μῆδοι δὲ τήν περ ἐν τῷ πεζῷ εἶχον σκευήν, 190 νέας οἳ ἐλαχίστας λέγουσι διαφθαρῆναι τετρακοσιέων οὐκ ἐλάσσονας. Vgl. zu I 137 4.

29. Arist. Rhet. I 8 ἔστι δὲ δημοκρατία μὲν πολιτεία ἐν ᾗ κλήρῳ διανέμονται τὰς ἀρχάς. — Zu ἀρχὰς ἄρχει 'verwaltet die Aemter' (vgl. VI 67 4), wie zu ἔχει u. ἀναφέρει das Subject πλῆθος zu construiren, da doch die Einzelnen, nicht die Gesammtheit, jene Functionen üben, durfte sich H. erlauben, weil in der Demokratie der einzelne Beamte nur Repräsentant der Gesammtheit ist und bei dem regelmäfsigen Wechsel nach und nach alle Glieder der Gemeinde in die Aemter kommen können. Arist. Polit. II 2 ἅμα γὰρ οὐχ οἷόν τε πάντας ἄρχειν ἀλλ' ἢ κατ' ἐνιαυτὸν ἢ κατά τινα ἄλλην τάξιν ἢ χρόνον. καὶ συμβαίνει δὲ τὸν τρόπον τοῦτον ὥστε πάντας ἄρχειν. — ὑπεύθυνον: 'Es liegt im Wesen der Demokratie, dafs jede Behörde verantwortlich sei; unter den unterscheidenden Merkmalen einer demokratischen Behörde ist die Verantwortlichkeit keine der gering-

λεύματα δὲ πάντα ἐς τὸ κοινὸν ἀναφέρει. τίθεμαι ὦν γνώμην μετέντας ἡμέας μουναρχίην τὸ πλῆθος ἀέξειν· ἐν γὰρ τῷ πολλῷ ἔνι τὰ πάντα.“

81 *Ὀτάνης μὲν δὴ ταύτην γνώμην ἐσέφερε, Μεγάβυζος δὲ ὀλιγαρχίῃ ἐκέλευε ἐπιτράπειν, λέγων τάδε. „τὰ μὲν Ὀτάνης εἶπε τυραννίδα παύων, λελέχθω κἀμοὶ ταῦτα, τὰ δ᾽ ἐς τὸ πλῆθος ἄνωγε φέρειν τὸ κράτος, γνώμης τῆς ἀρίστης ἡμάρτηκε· ὁμίλου γὰρ ἀχρηίου οὐδέν ἐστι ἀσυνετώτερον οὐδὲ ὑβριστότερον. καίτοι τυράννου ὕβριν φεύγοντας ἄνδρας ἐς δήμου ἀκολάστου ὕβριν πεσεῖν ἐστι οὐδαμῶς ἀνασχετόν. ὁ μὲν γὰρ εἴ τι ποιέει, γινώσκων ποιέει, τῷ δὲ οὐδὲ γινώσκειν ἔνι· κῶς γὰρ ἂν γινώσκοι ὃς οὔτ᾽ ἐδιδάχθη οὔτε οἶδε καλὸν οὐδὲν [οὐδ᾽] οἰκήιον, ὠθέει τε*

sten'. *Boeckh* Staatsh. d. Ath. I 263. Arist. Polit. II 12 *τὴν ἀναγκαιοτάτην ἀποδιδόναι τῷ δήμῳ δύναμιν, τὸ τὰς ἀρχὰς αἱρεῖσθαι καὶ εὐθύνειν.*

30. *ἐς τὸ κοινὸν* 'an die Gemeinde'. — *ἀναφέρει*: zu c. 71 20.

31. *ἀέξειν* 'erhöhen, zur Macht bringen'. Dafür c. 81 4 *ἐς τὸ πλῆθος φέρειν τὸ κράτος.* Eurip. Fr. 364 28 *καὶ τοὺς πονηροὺς μήποτ᾽ αὔξαν᾽ ἐν πόλει*, Theognis 823 *μήτε τιν᾽ αὖξε τύραννον.* Vgl. VI 132 3. VIII 30 5. IX 31 26.

32. nach dem persischen Grundsatze *τὸ πολλὸν ἰσχυρὸν εἶναι* (I 135 5). Zum Ausdruck vgl. I 122 12. III 157 21. VII 156 4.

81. 2 *γνώμην*, appositiv; so dies Wort I 170 11. III 82 2. 83 1. 160 5. IV 31 4 u. s. Vgl. zu I 120 1. II 116 1.

3. *ἐπιτράπειν*, sc. *τὴν ἀρχήν* od. *τὰ πρήγματα* (VI 26 5), um die es sich handelt; vgl. zu c. 130 8. Theognis 947 *πατρίδα κοσμήσω, λιπαρὴν πόλιν, οὔτ᾽ ἐπὶ δήμῳ Τρέψας οὔτ᾽ ἀδίκοις ἀνδράσι πειθόμενος.*

4 f. *τὰ δ᾽*, als folgte nicht *ἄνωγε* sondern, wie vorher *εἶπε παύων*, so hier *εἶπε ἀνώγων.* — *ἡμάρτηκε*: vgl. zu c. 65 17.

6 f. *ὅμιλος ἀχρήιος*, *inutile vulgus* (Juven. XV 126). Vgl. auch Hesiod. *ἔργ.* 296 *ὃς δέ κε μήτ᾽ αὐτὸς νοέῃ μήτ᾽ ἄλλου ἀκούων Ἐν θυμῷ βάλληται, ὁ δ᾽ αὖτ᾽ ἀχρήιος ἀνήρ.* — *ἀσυνετώτερον*: daher mahnt der adelstolze Theognis 847 *λὰξ ἐπίβα δήμῳ κενεόφρονι.* Vgl. VII 156 Gelon von Syrakus *νομίσας δῆμον εἶναι συνοίκημα ἀχαριτώτατον.*

7. *καίτοι*, *iam vero.* Vgl. zu V 45 14. Demokritos bei Stob. Flor. 45 27 *χαλεπὸν ἄρχεσθαι ὑπὸ χείρονος.*

10 ff. Zu *ἐδιδάχθη* bildet *οἶδε οἰκήιον* eine Antithese, 'weder hat er irgend Gutes gelernt noch kennt er dergleichen aus eigenem Vermögen', *qui nec didicerit quicquam honesti neque noverit suo ingenio.* Vgl. I 191 1. Od. γ 26 *ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῇσι νοήσεις, Ἄλλα δὲ καὶ δαίμων ὑποθήσεται.* Soph. O. T. 704 *αὐτὸς ξυνειδὼς ἢ μαθὼν ἄλλου πάρα.* Xen. Hell. V 4 31 *ἢ αὐτὸς νοήσας ἢ διδαχθεὶς ὑπό του εἶπεν.* Thuk. I 138 *οἰκείᾳ ξυνέσει καὶ οὔτε προμαθὼν ἐς αὐτὴν οὐδὲν οὔτ᾽ ἐπιμαθών.* Her. VII 107 *οὐδεμιῇ σοφίῃ οἰκηίῃ αὐτὸς ταῦτα συμβαλλο-*

ἐμπεσὼν τὰ πρήγματα ἄνευ νόου, χειμάρρῳ ποταμῷ εἴκελος; δήμῳ μέν νυν, οἳ Πέρσῃσι κακὸν νοέουσι, οὗτοι χράσθων, ἡμεῖς δὲ ἀνδρῶν τῶν ἀρίστων ἐπιλέξαντες ὁμιλίην τούτοισι περιθέωμεν τὸ κράτος· ἐν γὰρ δὴ τούτοισι καὶ αὐτοὶ ἐνεσόμεθα· ἀρίστων δὲ ἀνδρῶν οἰκὸς ἄριστα βουλεύματα γίνεσθαι." Μεγάβυζος μὲν δὴ ταύ- 82
την γνώμην ἐσέφερε, τρίτος δὲ Δαρεῖος ἀπεδείκνυτο γνώμην, λέγων „ἐμοὶ δὲ τὰ μὲν εἶπε Μεγάβυζος ἐς τὸ πλῆθος ἔχοντα δοκέει ὀρθῶς λέξαι, τὰ δ' ἐς ὀλιγαρχίην οὐκ ὀρθῶς. τριῶν γὰρ προκειμένων, καὶ πάντων τῶν λέγω ἀρίστων ἐόντων, δήμου τε ἀρίστου καὶ ὀλιγαρχίης καὶ μουνάρχου, πολλῷ τοῦτο προέχειν λέγω. ἀνδρὸς γὰρ ἑνὸς τοῦ ἀρίστου οὐδὲν ἄμεινον ἂν φανείη· γνώμῃ γὰρ τοιαύτῃ χρεόμενος ἐπιτροπεύοι ἂν ἀμωμήτως τοῦ πλήθεος, σιγῷτό τε ἂν βουλεύματα ἐπὶ δυσμενέας ἄνδρας οὕτω μάλιστα. ἐν δὲ ὀλιγαρχίῃ πολλοῖσι ἀρετὴν ἐπασκέουσι ἐς τὸ κοινὸν ἔχθεα ἴδια ἰσχυρὰ φι-

μαι. — ὠθέει, *praecipitat*, wie ein hereinbrechender (ἐμπεσών) Strom; nach Il. ν 138 (ὀλοοίτροχος) ὅν τε κατὰ στεφάνης ποταμὸς χειμάρροος ὤσῃ, φ 241 ὦθει δ' ἐν σάκεϊ πίπτων ῥόος. Aehnliche Metaphern VI 109 23. VII 16^{α} 5.

14. τῶν ἀρίστων: zu c. 80 20.

15. ὁμιλίην 'Genossenschaft'. Das in diesem Sinne häufigere ἑταιρηίη (V 71 3) hat den Nebenbegriff 'Partei'. — περιθέωμεν: zu I 129 12.

16f. Theognis 1025 δειλοί τοι κακότητι ματαιότεροι νόον εἰσίν, Τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.

82. 3. Von dem opponirenden δέ im Anfange der Rede zu VIII 68γ 4.

5f. 'Denn da drei Regierungen zur Wahl vorliegen, und vorausgesetzt, daſs sie alle, die ich nenne, (in ihrer Art) die besten seien'. Durch diese Voraussetzung läſst H. den Redner die gegen die Monarchie gemachten Einwürfe (c. 80) umgehen, die sich vornehmlich auf die unausbleibliche Ueberhebung und Entsittlichung des Alleinherrschers bezogen.

7. τοῦτο, das letztere, τὸ μούναρχον εἶναι; vgl. 17 u. 29.

8. ἀνδρὸς ἑνός = μουνάρχου. — τοῦ ἀρίστου, *eius quidem qui optimus sit*. So der Artikel VII 5 δένδρεα παντοῖα φέρει τὰ ἥμερα, IX 16 τούτων πάντων ὄψεαι ὀλίγους τινὰς τοὺς περιγενομένους. — Es war unter dieser ideellen Voraussetzung, daſs auch spätere Politiker (Aristoteles) die βασιλεία für die beste Staatsform erklärten. Eurip. Fr. 8 ἀνδρὸς ὑπ' ἐσθλοῦ καὶ τυραννεῖσθαι καλόν.

9. τοιαύτῃ, näml. ἀρίστῃ, wie sie dem ἄριστος μούναρχος zukommt.

12. ἀρετή ist die persönliche, bürgerliche und kriegerische Tüchtigkeit, die καλοκἀγαθία, die den echten Aristokraten kennzeichnet

λέει ἐγγίνεσθαι· αὐτὸς γὰρ ἕκαστος βουλόμενος κορυφαῖος εἶναι γνώμῃσί τε νικᾶν ἐς ἔχθεα μεγάλα ἀλλήλοισι ἀπικνέονται, ἐκ τῶν στάσιες ἐγγίνονται, ἐκ δὲ τῶν στασίων φόνος· ἐκ δὲ τοῦ φόνου ἀπέβη ἐς μουναρχίην, καὶ ἐν τούτῳ διέδεξε ὅσῳ ἐστὶ τοῦτο ἄριστον. δήμου τε αὖ ἄρχοντος ἀδύνατα μὴ οὐ κακότητα ἐγγίνεσθαι· κακότητος τοίνυν ἐγγινομένης, ἐς τὰ κοινὰ ἔχθεα μὲν οὐκ ἐγγίνεται τοῖσι κακοῖσι, φιλίαι δὲ ἰσχυραί· οἱ γὰρ κακοῦντες τὰ κοινὰ συγκύψαντες ποιεῦσι. τοῦτο δὲ τοιοῦτο γίνεται ἐς ὃ ἂν προστάς τις τοῦ δήμου τοὺς τοιούτους παύσῃ. ἐκ δὲ αὐτῶν θωυμάζεται οὗτος δὴ ὑπὸ τοῦ δήμου, θωυμαζόμενος δὲ ἀν' ὦν ἐφάνη μούναρχος

(Arist. Pol. IV 8 *ἀριστοκρατίας μὲν γὰρ ὅρος ἀρετή*). Zum Ansdruck vgl. Phokylides Fr. 10 *δίζησθαι βιοτήν, ἀρετὴν δ' ὅταν ᾖ βίος ἀσκεῖν*, Aesch. Prom. 1070 *πῶς με κελεύεις κακότητ' ἀσκεῖν;* V 96 *δικαιοσύνην*, VII 209 *ἀληθείην*, u. s. — *ἐς τὸ κοινόν* 'zum Besten des Gemeinwesens'.

13. *αὐτὸς ἕκαστος* 'jeder selbst, für seine Person', VII 19 *ἐθέλων αὐτὸς ἕκαστος τὰ προκείμενα δῶρα λαβεῖν*, III 128 2. VIII 10 14. 123 7.

16. *ἀπέβη*, impersonal, 'es pflegt hinauszulaufen'. Vgl. zu c. 71 3. Der Aorist ist der s. g. gnomische (besser: empirische), wodurch sich der Redende, beim Vortrage eines aus Beispielen gewonnenen Erfahrungssatzes, mit anschaulicher Lebendigkeit in die Vergangenheit, der die Beispiele angehören, zurückversetzt. So schon Homer, wie Il. ι 320 *Κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς*, besonders aber die gnomischen Dichter: Solon Fr. 4 17 *τοῦτ' ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον· Εἰς δὲ κακὴν ταχέως ἤλυθε δουλοσύνην, Ἣ στάσιν ἔμφυλον πόλεμόν θ' εὕδοντ' ἐπεγείρει, Ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην*. Bei H. noch I 132 13 und in den zu I 194 21 besprochenen Fällen. — Zum Gedanken vgl. Theognis 47 *ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμιεῖσθαι..., Εὖτ' ἂν τοῖσι κακοῖσι φίλ' ἀνδράσι ταῦτα γένηται. . . Ἐκ τῶν γὰρ στάσιές τε καὶ ἔμφυλοι φόνοι ἀνδρῶν. Μούναρχος δὲ πόλει μή ποτε τῇδε ἅδοι.*

17. *διέδεξε*: zu II 134 16.

18. *κακότητα*, Gegensatz zu der in der Aristokratie gepflegten *ἀρετή* (12).

19. *ἐς τὰ κοινά*, parallel zu *ἐς τὸ κοινὸν* (12), in Bezug auf das Gemeinwesen.

21. *συγκύπτειν*, populäres Wort; noch VII 145 *εἴ κως ἕν τε γένοιτο τὸ Ἑλληνικὸν καὶ εἰ συγκύψαντες τὠυτὸ πρήσσοιεν πάντες*. Aristoph. Ritt 854 von einem *στῖφος βυρσοπωλῶν* und anderem Krämervolk *τοῦτο δ' εἰς ἕν ἐστι συγκεκυφός*, wozu der Scholiast *συνελθόν, ἀντὶ τοῦ, ὁμονοοῦσιν ἑαυτοῖς καὶ συμπνέουσιν*. — *ποιεῦσι* 'thun es', näml. *κακοῦσι τὰ κοινά*. — Dareios deutet auf die Cluhs (*ἑταιρεῖαι, συνωμοσίαι*), zu denen sich in den Demokratien die Parteigenossen zu vereinigen pflegten.

23. *ἐκ δὲ αὐτῶν* 'in Folge dessen'; gewöhnlicher *ἐκ τούτου* oder *τούτων*. S. zu I 9 2.

24. *ἀν' ὦν ἐφάνη*: zu I 194 21.

εών· καὶ ἐν τούτῳ δηλοῖ καὶ οὗτος ὡς ἡ μουναρχίη κράτιστον. ἑνὶ δὲ ἔπεϊ πάντα συλλαβόντα εἰπεῖν, κόθεν ἡμῖν ἡ ἐλευθερίη ἐγένετο καὶ τεῦ δόντος; κότερα παρὰ δήμου ἢ ὀλιγαρχίης ἢ μουνάρχου; ἔχω τοίνυν γνώμην ἡμέας ἐλευθερωθέντας διὰ ἕνα ἄνδρα τὸ τοιοῦτο περιστέλλειν, χωρίς τε τούτου πατρίους νόμους μὴ λύειν ἔχοντας εὖ· οὐ γὰρ ἄμεινον."

83 *Γνῶμαι μὲν δὴ τρεῖς αὗται προεκέατο, οἱ δὲ τέσσερες τῶν ἑπτὰ ἀνδρῶν προσέθεντο ταύτῃ. ὡς δὲ ἑσσώθη τῇ γνώμῃ ὁ Ὀτάνης Πέρσῃσι ἰσονομίην σπεύδων ποιῆσαι, ἔλεξε ἐς μέσον αὐτοῖσι τάδε. „ἄνδρες στασιῶται, δῆλα γὰρ δὴ ὅτι δεῖ ἕνα γέ τινα ἡμέων βασιλέα γενέσθαι, ἤτοι κλήρῳ γε λαχόντα, ἢ ἐπιτρεψάντων τῷ Περσέων πλήθεϊ τὸν ἂν ἐκεῖνο ἕληται, ἢ ἄλλῃ τινὶ μηχανῇ· ἐγὼ μέν νυν ὑμῖν οὐκ ἐναγωνιεῦμαι· οὔτε γὰρ ἄρχειν οὔτε ἄρχεσθαι ἐθέλω· ἐπὶ τούτῳ δὲ ὑπεξίσταμαι τῆς ἀρχῆς, ἐπ' ᾧ τε ὑπ' οὐδενὸς ὑμέων ἄρξομαι, οὔτε αὐτὸς ἐγὼ οὔτε οἱ ἀπ' ἐμεῦ αἰεὶ γινόμενοι. τούτου εἴπαντος ταῦτα ὡς συνεχώρεον οἱ ἓξ ἐπὶ τούτοισι, οὗτος μὲν δή σφι οὐκ ἐνηγωνίζετο ἀλλ' ἐκ τοῦ μέσου*

Vgl. Eurip. Fr. 628 *μηδ' αὖξε (ἄνδρα δήμῳ πιστὸν) καιροῦ μεῖζον, οὐ γὰρ ἀσφαλές, Μή τοι τύραννος λαμπρὸς ἐξ ἀστοῦ φανῇ.* Arist. Polit. V 5 *σχεδὸν οἱ πλεῖστοι τῶν ἀρχαίων τυράννων ἐκ δημαγωγῶν γεγόνασι.*

26. Vgl. Eurip. Fr. 364 5 *βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ.* — Erst hier läſst H. den Redner den Boden hellenischer Anschauungen und Verhältnisse, — auf welche sich seine wie seiner Vorredner Erläuterungen stillschweigend beziehen —, verlassen und den eigentlich persischen Standpunkt einnehmen. Wir wissen nicht, ob die Angriffe, welche der Vf. wegen dieser Reden erfuhr, sich auch auf ihre hellenische Färbung bezogen (zu c. 80 4); jedenfalls aber erscheinen sie auch von dieser Seite als eine von ihm mit zu schnellem Glauben aufgenommene historische Dichtung, die vielleicht aus derselben Quelle stammte wie die über den Ursprung des Königthums bei den Medern (I 96 ff.).

29f. *διὰ ἕνα ἄνδρα*, Kyros. — *περιστέλλειν*, *tueri*, wie II 147 14. III 31 20. — *χωρὶς τούτου*, abgesehen davon, daſs wir um Kyros willen die Monarchie beibehalten müssen. — *πατρίους νόμους*, zu denen die monarchische Verfassung gehört.

31. *οὐ γὰρ ἄμεινον*: zu I 187 8.

83. 5. *γάρ*: zu I 8 10.

6. *ἐπιτρεψάντων*, sc. *ἡμέων*.

10. *ἄρξομαι*, passiv.

13. *ἐκ τοῦ μέσου κατῆσθαι*, *e medio secedere*, 'sich absondern',

κατῆστο. καὶ νῦν αὕτη ἡ οἰκίη διατελέει μούνη ἐλευθέρη ἐοῦσα Περσέων, καὶ ἄρχεται τοσαῦτα ὅσα αὐτὴ
84 *ἐθέλει, νόμους οὐκ ὑπερβαίνουσα τοὺς Περσέων. οἱ δὲ λοιποὶ τῶν ἑπτὰ ἐβουλεύοντο ὡς βασιλέα δικαιότατα στήσονται· καί σφι ἔδοξε Ὀτάνῃ μὲν καὶ τοῖσι ἀπ' Ὀτάνεω αἰεὶ γινομένοισι, ἢν ἐς ἄλλον τινὰ τῶν ἑπτὰ ἔλθῃ ἡ βασιληίη, ἐξαίρετα δίδοσθαι ἐσθῆτά τε Μηδικὴν ἔτεος ἑκάστου καὶ τὴν πᾶσαν δωρεὴν ἣ γίνεται ἐν Πέρσῃσι τιμιωτάτη. τοῦδε δὲ εἵνεκεν ἐβούλευσάν οἱ δίδοσθαι ταῦτα, ὅτι ἐβούλευσέ τε πρῶτος τὸ πρῆγμα καὶ συνέστησε αὐτούς. ταῦτα μὲν δὴ Ὀτάνῃ ἐξαίρετα, τάδε δὲ ἐς τὸ κοινὸν ἐβούλευσαν, παριέναι ἐς τὰ βασιλήια πάντα τὸν βουλόμενον τῶν ἑπτὰ ἄνευ ἐσαγγελέος, ἢν μὴ τυγχάνῃ εὕδων μετὰ γυναικὸς βασιλεύς, γαμέειν δὲ μὴ ἐξεῖναι ἄλλοθεν τῷ βασιλέι ἢ ἐκ τῶν συνεπαναστάντων. περὶ δὲ τῆς βασιληίης ἐβουλεύσαντο τοιόνδε·*

isoliren. Die dem H. eigenthümliche Redeweise noch IV 118 9. VIII 22 10 (*ἕζεσθαι*). 73 16; vgl. *ἀποκατῆσθαι* IV 66 6.

14. *μούνη ἐλευθέρη*: die anderen Perser verhielten sich zum Könige als *δοῦλοι* zum *δεσπότης*.

84. 2f. 'beriethen wie sie den König am geziemendsten bestellen sollten', welche Stellung des Königs die geziemendste sein würde, den übrigen Sechs gegenüber. Die Berathung führte dann auf die weiter angegebenen Privilegien (*ἐξαίρετα*). Zum Ausdruck vgl. II 35 9. VII 9$^{\beta}$ 2. 175 3.

5ff. Medisch hiefs die Kleidung, weil sie, wie das übrige Hofceremoniel, den Medern entlehnt war (vgl. I 135 2 u. zu VII 62 2), vielleicht auch weil sie in Medien fabricirt wurde (Arist. Wesp. 1143 *ἐν Ἐκβατάνοισι ταὐθ' ὑφαίνεται*). Sie bestand aus einem weiten schwerwollenen Aermelrocke, der bis auf die Knöchel reichte, *καυνάκη*, und einem leichten farbigen, wahrscheinlich seidenen Obergewande, *κάνδυς*. Sie war die Amtstracht der obersten Würdenträger und konnte nur vom Könige verliehen werden, der auch wohl Ausländer damit decorirte (vgl. c. 20 4. VII 116 3). Die Hellenen nannten sie später schlechthin die 'persische' Tracht; auch *δωροφορική ἐσθής* (Hesych. *οὕτω λέγεται, ἣν βασιλεὺς Περσῶν δωρεῖται*), als Bestandtheil der *δωρεὴ τιμιωτάτη* (vgl. c. 160 8. VII 8$^{\delta}$ 5), durch welche der König seine Gunst bezeugte. Xen. An. I 2 27 *Κῦρος μὲν ἐκείνῳ δῶρα (ἔδωκεν) ἃ νομίζεται παρὰ βασιλεῖ τίμια, ἵππον χρυσοχάλινον καὶ στρεπτὸν χρυσοῦν καὶ ψέλια καὶ ἀκινάκην χρυσοῦν καὶ στολὴν Περσικήν*. Vgl. auch c. 20 5. VIII 120 4.

10. *ἐς τὸ κοινόν*, sc. *τῶν ἑπτά*.

11. *τῶν ἑπτά*, den zukünftigen König vorläufig mitgerechnet. Aehnlich VI 43 13. — *ἐσαγγελέος*: zu I 114 9.

13. *ἄλλοθεν* — *ἐξ ἄλλου οἴκου*

ὅτευ ἂν ὁ ἵππος ἡλίου ἐπανατέλλοντος πρῶτος φθέγξηται ἐν τῷ προαστείῳ αὐτῶν ἐπιβεβηκότων, τοῦτον ἔχειν τὴν βασιληίην.

85 Δαρείῳ δὲ ἦν ἱπποκόμος ἀνὴρ σοφός, τῷ οὔνομα ἦν Οἰβάρης. πρὸς τοῦτον τὸν ἄνδρα, ἐπείτε διελύθησαν, ἔλεξε Δαρεῖος τάδε. „Οἴβαρες, ἡμῖν δέδοκται περὶ τῆς βασιληίης ποιέειν κατὰ τάδε· ὅτευ ἂν ὁ ἵππος πρῶτος φθέγξηται ἅμα τῷ ἡλίῳ ἀνιόντι αὐτῶν ἐπαναβεβηκότων, τοῦτον ἔχειν τὴν βασιληίην. νῦν ὦν εἴ τινα ἔχεις σοφίην, μηχανέο ὡς ἂν ἡμεῖς σχῶμεν τοῦτο τὸ γέρας καὶ μὴ ἄλλος τις.“ ἀμείβεται Οἰβάρης τοισίδε. „εἰ μὲν δή, ὦ δέσποτα, ἐν τούτῳ τοι ἐστὶ ἢ βασιλέα εἶναι ἢ μή, θάρσεε τούτου εἵνεκεν καὶ θυμὸν ἔχε ἀγαθόν, ὡς βασιλεὺς οὐδεὶς ἄλλος πρὸ σεῦ ἔσται· τοιαῦτα ἔχω φάρμακα.“ λέγει Δαρεῖος „εἰ τοίνυν τι τοιοῦτον ἔχεις σόφισμα, ὥρη μηχανᾶσθαι καὶ μὴ ἀναβάλλεσθαι, ὡς τῆς ἐπιούσης ἡμέρης ὁ ἀγὼν ἡμῖν ἐστι.“ ἀκούσας

15. Ueber den Mithra- oder Sonnendienst der Perser zu I 131 8. Besonders beim Aufgange pflegten sie ihr Opfer und Verehrung darzubringen (vgl. VII 54). Das Pferd war ihr heilig und sein Wiehern mochte als ein Augurium gelten, wie bei den Germanen (Tac. Germ. 10 von den heiligen Pferden *hinnitus ac fremitus observant nec ulli auspicio maior fides*). S. auch zu VIII 137 26.

85. 2. *Οἰβάρης*: Der Name lautete persisch *Ubara* und wird bei Nikolaos Damask. Fr. 66 richtig durch *ἀγαθάγγελος* erklärt. Was H. hier von ihm erzählt, verdient natürlich nicht als historisch angesehen zu werden, schon darum nicht weil Dareios der legitime Thronerbe war und keine Mitbewerber hatte. Dafs es aber nicht geradezu erdichtet sondern nur aus einer anderen und älteren Ueberlieferung in die Geschichte des Dareios übergegangen ist, geht daraus hervor dafs in der zu I 128 6 berührten Tradition über den älteren Kyros es eben auch ein Pferdeknecht Oebares ist, durch dessen Verschlagenheit und treue Hilfe jener zur Herrschaft gelangt.

4. *κατὰ τάδε* = *ὧδε*. Zu V 33 12.

6. *νῦν ὦν*: zu I 30 13. — *σοφίην* = *σόφισμα* (13); vgl. zu c. 4 12.

7. *γέρας*, *dignitatem*; vgl. zu VII 3 10.

9. *ἐν τούτῳ ἐστί* 'hierauf beruht', = *ἐκ τούτου ἤρτηται*; vgl. VI 109 10 u. 28. VIII 118 16.

10. *τούτου εἵνεκεν* 'soweit es hierauf ankommt' (I 42 9).

11. *τοιαῦτα*: vgl. Il. ξ 342 *Ἥρη, μήτε θεῶν τό γε δείδιθι μήτε τιν' ἀνδρῶν Ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω*. Eur. Med. 717 *παύσω δέ σ' ὄντ' ἄπαιδα καὶ παίδων γονὰς Σπεῖραί σε θήσω· τοιάδ' οἶδα φάρμακα*.

ταῦτα δὲ ὁ Οἰβάρης ποιέει τοιόνδε. ὡς ἐγίνετο ἡ νύξ, τῶν θηλέων ἵππων μίαν, τὴν ὁ Δαρείου ἵππος ἔστεργε μάλιστα, ταύτην ἀγαγὼν ἐς τὸ προάστειον κατέδησε καὶ ἐπήγαγε τὸν Δαρείου ἵππον, καὶ τὰ μὲν πολλὰ περιῆγε ἀγχοῦ τῇ ἵππῳ ἐγχρίμπτων τῇ θηλέῃ, τέ-
86 λος δὲ ἐπῆκε ὀχεῦσαι τὸν ἵππον. ἅμ' ἡμέρῃ δὲ διαφωσκούσῃ οἱ ἕξ, κατὰ συνεθήκαντο, παρῆσαν ἐπὶ τῶν ἵππων· διεξελαυνόντων δὲ κατὰ τὸ προάστειον, ὡς κατὰ τοῦτο τὸ χωρίον ἐγίνοντο ἵνα τῆς παροιχομένης νυκτὸς κατεδέδετο ἡ θήλεα ἵππος, ἐνθαῦτα ὁ Δαρείου ἵππος προσδραμὼν ἐχρεμέτισε· ἅμα δὲ τῷ ἵππῳ τοῦτο ποιήσαντι ἀστραπὴ ἐξ αἰθρίης καὶ βροντὴ ἐγένετο. ἐπιγενόμενα δὲ ταῦτα τῷ Δαρείῳ ἐτελέωσέ μιν ὥσπερ ἐκ συνθέτου τευ γενόμενα· οἱ δὲ καταθορόντες ἀπὸ τῶν
87 ἵππων προσεκύνεον τὸν Δαρεῖον. Οἱ μὲν δή φασι τὸν Οἰβάρεα ταῦτα μηχανήσασθαι, οἱ δὲ τοιάδε (καὶ γὰρ ἐπ' ἀμφότερα λέγεται ὑπὸ Περσέων), ὡς τῆς ἵππου ταύτης τῶν ἄρθρων ἐπιψαύσας τῇ χειρὶ ἔχοι αὐτὴν κρύψας ἐν τῇσι ἀναξυρίσι· ὡς δὲ ἅμα τῷ ἡλίῳ ἀνιόντι ἀπίεσθαι

18f. *τὰ πολλά*, adverbial; s. zu I 203 8. Dazu gehört *ἀγχοῦ – θηλέῃ*, 'er führte den Hengst um die Stute herum und zwar in der Regel so nahe daſs er ihn die Stute berühren lieſs'. *τῇ ἵππῳ* gehört zu *ἐγχρίμπτων*.

86. 2. *κατά = καθ' ἅ*, *sicut* (I 208 4). S. zu V 33 12.

7. Aehnlich von Kyros Xen. Kyr. I 6 1 *ἐπειδὴ δὲ ἔξω τῆς οἰκίας ἐγένοντο, λέγονται ἀστραπαὶ καὶ βρονταὶ αὐτῷ αἴσιοι γενέσθαι. τούτων δὲ φανέντων οὐδὲν ἄλλο ἔτι οἰωνιζόμενοι ἐπορεύοντο ὡς οὐδένα λήσοντα τὰ τοῦ μεγίστου θεοῦ σημεῖα*, und Nikolaos Damask. Fr. 66.

8f. *ἐτελέωσε* 'bestätigte, gaben ihm die Weihe'. — *ὥσπερ ἐκ συνθέτου τευ* 'gleichsam nach einem Uebereinkommen', = *ὥσπερ ἐκ συνθήματος* (VI 121 2). *τευ* dient zur Substantivirung des Adjectivs; s. zu I 61 10. Das Wiehern des Pferdes war ein Zeichen des Sonnengottes Mithra, Blitz und Donner das des Himmelsgottes Auramazda, und beide Götter schienen sich gleichsam verabredet zu haben, den Dareios für den rechtmäſsigen König zu erklären.

10. *προσεκύνεον*, nämlich *ὡς βασιλέα*. Xen. An. I 8 21 *Κῦρος δ' ὁρῶν τοὺς Ἕλληνας νικῶντας τὸ καθ' αὐτοὺς καὶ διώκοντας, ἡδόμενος καὶ προσκυνούμενος ἤδη ὡς βασιλεὺς ὑπὸ τῶν ἀμφ' αὐτόν*. Vgl. zu I 134 6.

87. 4. *ἄρθρα = αἰδοῖα*, noch IV 2 5 von weiblichen Thieren.

4. *ἔχοι – κρύψας*: zu I 27 19. Hes. *ἔργ.* 42 *κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι*. — *ἀναξυρίσι*: s. I 71 10. VII 61 5.

μέλλειν τοὺς ἵππους, τὸν Οἰβάρεα τοῦτον ἐξείραντα τὴν χεῖρα πρὸς τοῦ Δαρείου ἵππου τοὺς μυκτῆρας προσενεῖκαι, τὸν δὲ αἰσθόμενον φριμάξασθαί τε καὶ χρεμετίσαι.

Δαρεῖός τε δὴ ὁ Ὑστάσπεος βασιλεὺς ἀπεδέδεκτο, 88
καί οἱ ἦσαν ἐν τῇ Ἀσίῃ πάντες κατήκοοι πλὴν Ἀραβίων, Κύρου τε καταστρεψαμένου καὶ ὕστερον αὖτις Καμβύσεω. Ἀράβιοι δὲ οὐδαμὰ κατήκουσαν ἐπὶ δου-

6. ἐξείρειν, exerere.

Eintheilung des Reiches in Steuerbezirke (c. 88–97).

88. 2. Herodot und die übrigen Anteren lassen Dareios ohne weitere Schwierigkeiten sich des ganzen Reiches bemächtigen; nur in Medien (zu I 130 7), Babylonien (c. 150 ff.), und in Lydien durch den Satrapen Orontes (c. 126 ff.) soll er Widerstand gefunden haben. Doch deutet H. c. 127 (οἰδεόντων ἔτι τῶν πρηγμάτων) wenigstens an, dafs Dareios das Reich in einem bedenklichen Zustande übernahm. In seiner Inschrift zu Behistân berichtet dieser selber von zahlreichen Aufständen, an deren Spitze meist wirkliche oder angebliche Nachkommen einheimischer Fürstengeschlechter standen, und fafst sie alle zuletzt in einer Uebersicht zusammen (IV 1). 'Es spricht der König Dârayavu. Das was ich that, das geschah durch die Gnade des Auramazda in aller Weise. Nachdem die Könige abtrünnig geworden waren, da lieferte ich 19 Schlachten. Durch die Gnade des Aur. schlug ich sie, 9 Könige nahm ich gefangen. Einer *Gaumâta* mit Namen, ein Mager; dieser log, also sprach er: ich bin Bardiya Sohn des Kuru; dieser machte Persien abtrünnig. Einer war *Atrina* mit Namen, dieser log in Susiana, also sprach er: ich bin König in Susiana; dieser machte Susiana abtrünnig von mir. Einer war *Naditabira* mit Namen, ein Babylonier; dieser log, also sprach er: ich bin Nabukudracara der Sohn des Nabunita; dieser machte Babylon abtrünnig. Einer war *Martiya* mit Namen, ein Perser; dieser log, also sprach er: ich bin Imanis, König in Susiana; dieser machte Susiana abtrünnig. Einer war *Fravartis* mit Namen, ein Meder; dieser log, also sprach er: ich bin Khsathrita, aus der Familie der Uvakhsatara (Κυαξάρης); dieser machte Medien abtrünnig. Einer war *Citratakhma* mit Namen, ein Açagartier (Σαγάρτιος); dieser log, also sagte er: ich bin König in Açagartien, aus der Familie des Uvakhsatara; dieser machte Açagartien abtrünnig. Einer war *Frâda* mit Namen, ein Mârgaver (Μαργιανός): dieser log, also sagte er: ich bin König in Margu (Μαργιανή); er machte Margu abtrünnig. Einer war *Vahyazdâta* mit Namen, ein Perser; dieser log, also sprach er: ich bin Bardiya der Sohn des Kuru; der machte Persien abtrünnig. Einer war *Arakha* mit Namen, ein Armenier; dieser log, also sprach er: ich bin Nabukudracara der Sohn des Nabunita; der machte Babylon abtrünnig. Diese 9 Könige habe ich gefangen in jenen Schlachten'.

3 f. ὕστερον αὖτις Καμβύσεω deutet an, dafs auch bei Kyrus' Tod ein allgemeiner Aufstand stattgefunden. — Ἀράβιοι: wohl nicht die Bewohner des eigentlichen Arabiens, sondern die ismaelitischen Wanderstämme der Sinai-halbinsel bis zum südlichen Mesopotamien; vgl. zu c. 8 2. IV 39 5. — ἐπὶ δουλοσύνῃ, servili conditione; vgl. I 141 3.

λοσύνῃ Πέρσῃσι, ἀλλὰ ξεῖνοι ἐγένοντο παρέντες Καμβύσεα ἐπ᾽ Αἴγυπτον· ἀεκόντων γὰρ Ἀραβίων οὐκ ἂν ἐσβάλοιεν Πέρσαι ἐς Αἴγυπτον. γάμους τε τοὺς πρώτους ἐγάμεε Πέρσῃσι ὁ Δαρεῖος, Κύρου μὲν δύο θυγατέρας Ἄτοσσάν τε καὶ Ἀρτυστώνην, τὴν μὲν Ἄτοσσαν προσυνοικήσασαν Καμβύσῃ τε τῷ ἀδελφεῷ καὶ αὖτις τῷ Μάγῳ, τὴν δὲ Ἀρτυστώνην παρθένον. ἑτέρην δὲ Σμέρδιος τοῦ Κύρου θυγατέρα ἔγημε, τῇ οὔνομα ἦν Πάρμυς· ἔσχε δὲ καὶ τὴν τοῦ Ὀτάνεω θυγατέρα, ἣ τὸν Μάγον κατάδηλον ἐποίησε. δυνάμιός τε πάντα οἱ ἐπιμπλέατο. πρῶτον μέν νυν τύπον ποιησάμενος λίθινον ἔστησε·

Wie an jener Stelle und oben Z. 2 *κατήκοος* mit dem Dativ steht, so hier das Verbum; sonst c. *genit.* Aehnliches Schwanken beim synon. *πείθεσθαι* (zu I 59 13). Die Araber lieferten übrigens jährliche Geschenke (c. 97 20) und leisteten Heeresfolge (VII 67). — *παρέντες*: s. c. 4 ff.

7 ff. *γάμους — ἐγάμεε* 'heirathete die vornehmsten Frauen'. IV 145 *οἱ δὲ αὐτίκα μὲν γάμους ἔγημαν, τὰς δὲ ἐκ Λήμνου ἤγοντο ἐξέδοσαν ἄλλοισι*, IX 108 *πρήσσει τὸν γάμον τοῦτον τῷ παιδὶ — θυγατέρα τῆς γυναικὸς ταύτης*. Eur. Tr. 357 *Ἑλένης γαμεῖ με δυσχερέστερον γάμον*. Plut. Sulla 4 *γαμεῖ δὲ γάμον ἐνδοξότατον Καικιλίαν*. — *πρώτους* verbunden mit *Πέρσῃσι*, 'in den Augen, der Ansicht der Perser'. Aehnlich I 117 12. VI 70 14 VII 161 23. Haufiger wie I 115 *πρώτου παρ᾽ ἐμοί*, IX 24 *λογιμωτάτου παρὰ Πέρσῃσι*. — Justin I 10 *principio regni Cyri regis filiam in matrimonium recepit regalibus nuptiis regnum firmaturus, ut non tam in extraneum translatum quam in familiam Cyri reversum videretur* Vorher war er schon mit des Gobryas Tochter vermahlt gewesen, die ihm drei Söhne geboren (VII 2) — *Ἄτοσσαν*: vgl. zu c. 31 23; ihre Söhne waren Xerxes, Masistes (VII 82), Achaemenes (VII 97), Hystaspes (VII 64). Unter den königlichen Frauen behauptete sie den ersten Rang (VII 3 15). — *Ἀρτυστώνην*: von ihr VII 69 *τὴν μάλιστα στέρξας τῶν γυναικῶν Δαρεῖος εἰκὼ χρυσέην σφυρήλατον ἐποιήσατο*. Als ihre Söhne werden Arsames und Gobryas genannt (VII 69. 72).

11 f. *ἑτέρην*, näml. *πρὸς ταύτῃσι* (VII 21 1). — Ein Sohn der Parmys hiess Ariomardos (VII 78).

13. *ἔσχε*: zu c. 31 23. — *τὴν Ὀτάνεω θυγατέρα*, die Phaedyme (c. 68). — Eine sechste Frau Phatagune erwähnt Her VII 224

14. 'Und alles ward ihm voll der Macht', sein Ansehen und Geltung als König verbreitete sich über alle Theile seines Reiches. VIII 132 *στρατιῆς τε παντῃ πλέα ἐδόκεε εἶναι*. Liv. III 63 *ne ita omnia tribuni potestatis suae implerent*. Der (bei Homer häufige und auch sonst nicht eben seltene) Plural *ἐπιμπλέατο* wie IV 20 *τὰ δὲ αὐτῶν κατήκουσι*, 149 *ὑπέμειναν τὰ τέκνα*, V 112 *ὡς συνῆλθον τὰ στρατόπεδα συμπεσόντα ἐμάχοντο*, I 100 6. 139 1. II 36 14 138 7. IV 112 3 185 7 V 113 8. VI 41 23. VII 119 13 VIII 73 3. IX 65 2

15. *τύπον* 'Reliefbild' (II 106 6. 138 7). Darstellungen der Art sind

ζῷον δέ οἱ ἐνῆν ἀνὴρ ἱππεύς, ἐπέγραψε δὲ γράμματα
λέγοντα τάδε, „Δαρεῖος ὁ Ὑστάσπεος σύν τε τοῦ ἵπ-
που τῇ ἀρετῇ“ τὸ οὔνομα λέγων „καὶ Οἰβάρεος τοῦ
ἱπποκόμου ἐκτήσατο τὴν Περσέων βασιληίην.“ ποιήσας 89
δὲ ταῦτα ἐν Πέρσῃσι ἀρχὰς κατεστήσατο εἴκοσι, τὰς
αὐτοὶ καλέουσι σατραπηίας· καταστήσας δὲ τὰς ἀρχὰς
καὶ ἄρχοντας ἐπιστήσας ἐτάξατο φόρους οἱ προσιέναι

aus Dareios' Zeit noch in Behistân, Persepolis u. s. vorhanden. Die hier beschriebene ist nicht wiedergefunden, hatte aber jedenfalls einen anderen als den hier angegebenen Sinn, der weder zu der Stellung noch zu den sonstigen Aeufserungen (zu c. 70 1 u. 10) des Königs paíst. Vgl. auch zu c. 128 7.

16. *ζῷον* 'Bild (I 70 5).

18. *ἀρετή* vom Pferde, wie c. 106 12 von der Baumwolle, IV 198 1. VII 5 17. VIII 144 7 von einem Lande. — *τὸ οὔνομα λέγων*, Parenthese des Vf., der den Namen wohl nicht wuſste.

89. Die Nomenliste des persischen Reiches, welche in den flgg. Capiteln enthalten ist, war lange die einzige aus dem Alterthum überlieferte. Durch die Entzifferung der Keilinschriften sind jetzt drei ähnliche Listen hinzugekommen, sämmtlich von Dareios herrührend, von denen eine in der Inschrift von Behistân, die beiden anderen in Inschriften von Persepolis und Nakschi Rustam (Grab des Dareios) enthalten sind. Während aber in diesen die Hauptländer und Völker des Reiches in geographischen Reihen aufgezählt werden, gibt die herodoteische Liste eine Uebersicht der Steuerbezirke, in welchen, ohne Rücksicht auf historischen oder ethnischen Zusammenhang, benachbarte Stämme und Staaten gruppenweise so zusammengestellt sind, daſs die Steuerquoten jeder Gruppe eine runde Summe ausmachen. Ob aber, wie H. andeutet, diese Steuerbezirke an Umfang und Zahl zusammenfielen mit den Verwaltungsbezirken (Satrapien), bleibt ungewiſs. Der XVI Nomos z. B. vereinigt so ansehnliche Völker, daſs sie nicht wohl unter éinem Satrapen stehen konnten; und andererseits ergibt sich aus VII 64 IX 113, daſs die Baktrier und Saken éine Satrapie bildeten, während sie verschiedenen Steuernomen angehörten. — Von den Völkern des Reiches zählt diese Liste zusammen 66 auf (vgl. zu VII 61 1), die beiden ältesten jener Inschriften aber enthalten, abgesehen von den Persern, nur 22 und 24, die dritte, welche auch des Dareios Eroberungen begreift, 29 Völkernamen, die nur theilweise mit den herodoteischen übereinstimmen.

2. *κατεστήσατο*, nicht damals zum ersten Male. Schon unter Kyros und Kambyses gab es Satrapen (I 153 14. III 70 11. 120 4 und 11. IV 166 1), und Dareios erwähnt in der Behistân-inschrift (aus den ersten Jahren seiner Regierung) 'Satrapen' von Arachosien und Baktrien. Seine Neuerung bestand darin, daſs die Landschaften durchgängig nicht mehr als Lehnreiche von einheimischen Fürsten, sondern als eigentliche Provinzen (*ἀρχαί*) von medopersischen Beamten (*ἄρχοντες*) verwaltet wurden. Vgl. zu I 134 14.

3. *σατραπηίας*: zu I 192 10. Der officielle persische Ausdruck in den Inschriften *dahyâus* bezeichnet 'Landschaft'.

4. *ἐτάξατο*, *constituit*. Anders c. 13 11. — *φόρους*, hauptsächlich

κατὰ ἔθνεά τε καὶ πρὸς τοῖσι ἔθνεσι τοὺς πλησιοχώρους προστάσσων, καὶ ὑπερβαίνων τοὺς προσεχέας τὰ ἑκαστέρω ἄλλοισι ἄλλα ἔθνεα νέμων. ἀρχὰς δὲ καὶ φόρων πρόσοδον τὴν ἐπέτεον κατὰ τάδε διεῖλε. τοῖσι μὲν αὐτῶν ἀργύριον ἀπαγινέουσι εἴρητο Βαβυλώνιον σταθμὸν τάλαντον ἀπαγινέειν, τοῖσι δὲ χρυσίον ἀπαγινέουσι Εὐ-

104. 5ff. Die seltsame Ansicht, die H. hier vorträgt, war eine schluſsrichtige Folgerung aus seiner Vorstellung von der Erdgestalt und dem täglichen Sonnenlaufe (zu II 24 5). Danach erhielt Indien, als das äuſserste bewohnte Ostland (c. 98. 106), Morgens die Strahlen der aufsteigenden Sonne aus gröſster Nähe, Abends aus gröſster Ferne. — *ὑπερτείλας*, von der Zeit des Aufgangs an. Sonst *ἀνατείλας* oder *ἐπανατείλας*. Eurip. Fr. 776 *θερμὴ δ' ἄνακτος φλὸξ ὑπερτέλλουσα γῆς.* — *μέχρι οὗ – διαλύσιος*: zu I 181 11. — *ἀγορῆς διάλυσις*, die Zeit wo die Hellenen der Sonnenhitze wegen sich vom Markte, ihrem gewöhnlichen Morgenaufent-

τῇ μεσαμβρίῃ τὴν Ἑλλάδα, οὕτω ὥστ' ἐν ὕδατι λόγος αὐτούς ἐστι βρέχεσθαι τηνικαῦτα. μεσοῦσα δὲ ἡ ἡμέρη σχεδὸν παραπλησίως καίει τούς τε ἄλλους ἀνθρώπους καὶ τοὺς Ἰνδούς. ἀποκλινομένης δὲ τῆς μεσαμβρίης γίνεταί σφι ὁ ἥλιος κατά περ τοῖσι ἄλλοισι ὁ ἑωθινός· καὶ τὸ ἀπὸ τούτου ἀπιὼν ἐπὶ μᾶλλον ψύχει,

105 ἐς ὃ ἐπὶ δυσμῇσι ἐὼν καὶ τὸ κάρτα ψύχει. ἐπεὰν δὲ ἔλθωσι ἐς τὸν χῶρον οἱ Ἰνδοὶ ἔχοντες θυλάκια, ἐμπλήσαντες ταῦτα τῆς ψάμμου τὴν ταχίστην ἐλαύνουσι ὀπίσω· αὐτίκα γὰρ οἱ μύρμηκες ὀδμῇ, ὡς δὴ λέγεται ὑπὸ Περσέων, μαθόντες διώκουσι. εἶναι δὲ ταχυτῆτα οὐδενὶ ἑτέρῳ ὁμοῖον, οὕτω ὥστε, εἰ μὴ προλαμβάνειν τοὺς Ἰνδοὺς τῆς ὁδοῦ ἐν ᾧ τοὺς μύρμηκας συλλέγεσθαι, οὐδένα ἄν σφεων ἀποσώζεσθαι. τοὺς μέν νυν ἔρσενας τῶν καμήλων, εἶναι γὰρ ἥσσονας θέειν τῶν θηλέων, παραλύεσθαι ἐπελκομένους οὐκ ὁμοῦ ἀμφοτέρους· τὰς δὲ θηλέας ἀναμιμνησκομένας τῶν ἔλιπον τέκνων ἐνδιδόναι μαλακὸν οὐδέν. τὸν μὲν δὴ πλέω τοῦ χρυσοῦ οὕτω οἱ Ἰνδοὶ κτῶνται, ὡς Πέρσαι φασί· ἄλλος δὲ σπανιώτερος ἐστὶ ἐν τῇ χώρῃ ὀρυσσόμενος.

balte, zurückzogen, der Anfang der Mittagszeit; vgl. zu II 173 3.

10. *βρέχεσθαι*, um sich gegen die Hitze zu schützen und sich abzukühlen.

14. *ἐπὶ μᾶλλον* 'mehr und mehr' (I 94 22); sonst *ἐπὶ πλέον* und *ἐπὶ μέζον*. — *ψύχει*, sc. *ὁ ἥλιος ἀπιών*. Dadurch dafs die Sonne sich entfernt, bewirkt sie eine Abkühlung.

15. *καὶ τὸ κάρτα*: zu I 71 6. — Ganz entgegengesetzt Ktesias Exc. Ind. 8 *ὁ ἥλιος ἀνίσχων τὸ ἥμισυ τῆς ἡμέρας ψῦχος ποιεῖ, τὸ δ' ἄλλο λίαν ἀλεεινὸν ἐν τοῖς πλείστοις τῶν τῆς Ἰνδικῆς τόπων*. 'Richtig ist die Bemerkung des Ktesias, dafs in den meisten indischen Ländern die aufgehende Sonne Kühle bringe'. *Lassen* II 638.

105. 6f. *ἑτέρῳ*, sc. *θηρίῳ*. — *ὁμοῖον* st. *ὁμοίους*, assimilirt an das neutrale *οὐδενὶ ἑτέρῳ*; vgl. zu II 92 13. Strenger wäre *οὐδὲν ἕτερον αὐτοῖσι ὁμοῖον*. — *προλαμβάνειν* (über den Infin. zu I 24 30), *τῆς ὁδοῦ* 'des Weges ein Stück vorausgewinnen, einen Vorsprung gewinnen'.

10. Die beiden Handpferde, welche von der schnelleren Mutterstute mitgezogen wurden (*ἐπελκομένους*, vgl. c. 102 17. IV 203 19), wurden unterwegs losgelassen (*παραλύεσθαι*), aber eines nach dem anderen (*οὐκ ὁμοῦ ἀμφοτέρους*), um die nachfolgenden Thiere bei der Beute länger aufzuhalten.

11. *ἐνδιδόναι μαλακὸν οὐδέν*: zu c. 51 9. Aesch. Eum. 74 *ὅμως δὲ φεῦγε μηδὲ μαλθακὸς γένῃ*.

14. Vgl. c. 106 9f.

106 *Αἱ δ' ἐσχατιαί κως τῆς οἰκεομένης τὰ κάλλιστα ἔλαχον, κατά περ ἡ Ἑλλὰς τὰς ὥρας πολλόν τι κάλλιστα κεκρημένας ἔλαχε. τοῦτο μὲν γὰρ πρὸς τὴν ἠῶ ἐσχάτη τῶν οἰκεομενέων ἡ Ἰνδική ἐστι, ὥσπερ ὀλίγῳ πρότερον εἴρηκα· ἐν ταύτῃ τοῦτο μὲν τὰ ἔμψυχα τά τε τετράποδα καὶ τὰ πετεινὰ πολλῷ μέζω ἢ ἐν τοῖσι ἄλλοισι χωρίοισί ἐστι, πάρεξ τῶν ἵππων (οὗτοι δὲ ἑσσοῦνται ὑπὸ τῶν Μηδικῶν, Νησαίων δὲ καλευμένων ἵππων), τοῦτο δὲ χρυσὸς ἄπλετος αὐτόθι ἐστί, ὁ μὲν ὀρυσσόμενος, ὁ δὲ καταφορεύμενος ὑπὸ ποταμῶν, ὁ δὲ ὥσπερ ἐσήμηνα ἁρπαζόμενος. τὰ δὲ δένδρεα τὰ ἄγρια αὐτόθι φέρει καρπὸν εἴρια καλλονῇ τε προφέροντα καὶ ἀρετῇ τῶν ἀπὸ τῶν ὀίων· καὶ ἐσθῆτι Ἰνδοὶ ἀπὸ τούτων τῶν δενδρέων χρέονται. πρὸς δ' αὖ μεσαμβρίης ἐσχάτη Ἀρα-* 107

Kostbare Prodnete der äufsersten Länder (c. 106-116).

106. *κως*: c. 116 8 dafür *οἴκασι*; zn c. 40 1. — Die Besprechnng des indischen Goldes gibt Gelegenheit zu Bemerkungen über die geographische Vertheilung der edelsten Produete. H. erkennt auch in dieser das Gesetz ebenmäfsiger ausgleichender Gerechtigkeit (vgl. Einl. S. 36). Die äufsersten Länder haben unter dem Einflusse übermäfsiger Hitze oder Kälte zu leiden, zum Ersatz aber besitzen sie die seltensten und kostbarsten Naturerzeugnisse, während Hellas, sowohl das europäische wie das asiatische (I 142. 149), zwar an natürlichem Reichthum hinter jenen zurücksteht (vgl. VII 102 4), sich dagegen des angemessensten Klimas erfreut.

2. Ueber *πολλόν τι* beim Superlativ zu V 92ε 13.

3. *τοῦτο μέν*, entsprechend c. 107 1 *δ' αὖ*, nachdem zuvor dies erste Glied selber wieder in zwei Unterglieder getheilt ist (5 *τοῦτο μέν* – 9 *τοῦτο δέ*).

7. *δέ*: zu I 136 5.

8. *Νησαίων – ἵππων*: zn VII 40 10. — *δέ*: zu I 114 24.

9f. 'An edlen Metallen ist Indien arm. Nur an Gold ist der Himâlaya zum Theil reich. Wenn also die Alten vom Goldreichthum Indiens sprechen, so ist es entweder nur eine unrichtige Erweiterung der wahren Nachricht von dem der nördlichsten Inder, der Darada (zu c. 102 1), oder eine falsche Folgerung daher, dafs man in Indien viel Gold als Schmuck getragen oder sonst im Gebrauche vorfand'. *Lassen* I 237.

11ff. *τὰ δὲ δένδρεα*, Baumwollenbäume. Zwar wächst die Baumwolle auf einer Staude, die eine Culturpflanze ist; doch wird auch ein wildwachsender Baumwollenbaum genannt. (*Lassen* I 250). Vgl. c. 47 11. — *ἀρετῇ*: zu c. 88 18. — *ἐσθῆτι – ἀπὸ τούτων τῶν δενδρέων*, kurz statt *ἐσθῆτι πεποιημένῃ ἀπὸ τούτων τῶν δενδρέων* (oder *πεποιημένῃ εἰρίων τῶν ἀπὸ τ. τ. δ.*) S. c. 47 11. VII 65 die Inder im Heere des Xerxes *εἵματα ἐνδεδυκότες ἀπὸ ξύλων πεποιημένα*.

107. Den Südrand der Erd-

βίη τῶν οἰκεομενέων χωρέων ἐστί, ἐν δὲ ταύτῃ λιβανωτός τε ἐστὶ μούνῃ χωρέων πασέων φυόμενος καὶ σμύρνη καὶ κασίη καὶ κινάμωμον καὶ λήδανον. ταῦτα πάντα πλὴν τῆς σμύρνης δυσπετέως κτῶνται οἱ Ἀράβιοι. τὸν μέν γε λιβανωτὸν συλλέγουσι τὴν στύρακα θυμιῶντες, τὴν ἐς Ἕλληνας Φοίνικες ἐξάγουσι· ταύτην θυμιῶντες λαμβάνουσι· τὰ γὰρ δένδρεα τὰ λιβανωτοφόρα ὄφιες ὑπόπτεροι, σμικροὶ τὰ μεγάθεα, ποικίλοι τὰ εἴδεα, φυλάσσουσι πλήθεϊ πολλοὶ περὶ δένδρεον ἕκαστον, οὗτοι οἵπερ ἐπ' Αἴγυπτον ἐπιστρατεύονται. οὐδενὶ δὲ ἄλλῳ ἀπελαύνονται ἀπὸ τῶν δενδρέων ἢ τῆς στύρακος τῷ καπνῷ.

108 *λέγουσι δὲ καὶ τόδε Ἀράβιοι, ὡς πᾶσα ἂν γῆ ἐπίμπλατο τῶν ὀφίων τούτων, εἰ μὴ γίνεσθαι κατ' αὐτοὺς οἷόν τι κατὰ τὰς ἐχίδνας ἠπιστάμην γίνεσθαι. καί κως τοῦ θείου ἡ προνοίη, ὥσπερ καὶ οἰκός ἐστι, ἐοῦσα σοφή, ὅσα μέν γε ψυχήν τε δειλὰ καὶ ἐδώδιμα,*

scheibe bilden Arabien (c. 107–110) und Aethiopien (c. 114).

3f. Theophr. hist. pl. IX 4 2 *γίνεται μὲν οὖν ὁ λίβανος καὶ ἡ σμύρνα καὶ ἔτι τὸ κινάμωμον ἐν τῇ τῶν Ἀράβων χερρονήσῳ περί τε Σαβὰ καὶ Ἀδραμύτα καὶ Κιτίβαινα καὶ Μαμάλι* (im südlichen Arabien). — *μούνῃ*: doch findet sich der Weihrauchbaum auch in Indien, und Dioskorides de materia medica I 81 unterscheidet arabischen und indischen Weihrauch. Aehnliches gilt von den übrigen Aromata. Theophr. a. O. IX 4 1 *σχεδὸν τά γε πλεῖστα* (*τῶν εὐόσμων*) *ἀπὸ τῶν τόπων ἐστὶ τῶν τε πρὸς μεσημβρίαν καὶ ἀνατολήν.* Weil die Araber hauptsächlich diese Waaren in den abendländischen Handel brachten, hielt man ihr Land für die ausschliefsliche Heimath derselben.

6. *μέν γε*: zu I 145 7. — *λιβανωτόν*: der Baum hiefs *λίβανος* (IV 75 10). — *στύρακα*: das gleichnamige aus ihr gewonnene Gummi (Storax) verbreitet beim Verbrennen einen herben Geruch und diente zur Luftreinigung. Man findet die Staude besonders in Syrien und den angränzenden Ländern (Plin. XII 124 f.).

9. *μεγάθεα*: zu I 202 2.

11. S. II 75. — *ἐπιστρατεύονται*: zu IV 28 7.

108. 3. *ἠπιστάμην*, erg. 'als man mir das erzählte'.

4f. *κως*: zu c. 40 1. — Den Gedanken einer das Reich der Natur durchdringenden und leitenden göttlichen Vernunft hatte, so weit wir wissen, zuerst der eleatische Philosoph Xenophanes ausgesprochen: *ἀλλ' ἀπάνευθε πόνοιο νόου φρενὶ πάντα κραδαίνει* (*θεός*), und dann besonders Anaxagoras näher begründet und ausgeführt. Aber wir finden ihn hier zuerst zu der Annahme einer 'weisen göttlichen Vorsehung' erweitert, die sich auch in der zweck- und planmäfsigen Einrichtung und Erhaltung der natürlichen Dinge bekunde. Vgl. Einl. S. 36.

5. *ἐοῦσα σοφή*, an *οἰκός ἐστι* erklärend angeschlossen, 'da sie ja

ταῦτα μὲν πάντα πολύγονα πεποίηκε, ἵνα μὴ ἐπιλίπῃ κατεσθιόμενα, ὅσα δὲ σχέτλια καὶ ἀνιηρά, ὀλιγόγονα. τοῦτο μέν, ὅτι ὁ λαγὸς ὑπὸ παντὸς θηρεύεται θηρίου καὶ ὄρνιθος καὶ ἀνθρώπου, οὕτω δή τι πολύγονόν ἐστι· ἐπικυΐσκεται μοῦνον πάντων θηρίων, καὶ τὸ μὲν δασὺ τῶν τέκνων ἐν τῇ γαστρὶ τὸ δὲ ψιλόν, τὸ δὲ ἄρτι ἐν τῇσι μήτρῃσι πλάσσεται, τὸ δὲ ἐπαναιρέεται. τοῦτο μὲν δὴ τοιοῦτό ἐστι· ἡ δὲ δὴ λέαινα ἐὸν ἰσχυρότατον καὶ θρασύτατον ἅπαξ ἐν τῷ βίῳ τίκτει ἕν· τίκτουσα γὰρ συνεκβάλλει τῷ τέκνῳ τὰς μήτρας. τὸ δὲ αἴτιον τούτου τόδε ἐστί· ἐπεὰν ὁ σκύμνος ἐν τῇ μητρὶ ἐὼν ἄρχηται διακινεόμενος, ὁ δὲ ἔχων ὄνυχας θηρίων πολλὸν πάντων ὀξυτάτους ἀμύσσει τὰς μήτρας. αὐξόμενός τε δὴ πολλῷ μᾶλλον ἐπικνέεται καταγράφων· πέλας τε δὴ ὁ τόκος ἐστὶ καὶ τὸ παράπαν λείπεται αὐτέων ὑγιὲς οὐδέν. ὡς δὲ καὶ αἱ ἔχιδναί τε καὶ οἱ 109
ἐν Ἀραβίοισι ὑπόπτεροι ὄφιες εἰ ἐγίνοντο ὡς ἡ φύσις

weise ist'. Ueber ἐστι und ἐοῦσα nebeneinander s. zu VII 129 9. — μέν γε, wie oben c. 72 19. — ψυχήν: zu c. 14 5.

6. ταῦτα μέν: zu II 39 9.

7. ἀνιηρά: schrieb H. ἀτηρά?

8f. Nach τοῦτο μέν (13 erneuert) wird γάρ vermifst. S. jedoch zu V 98 13. — Das Folgende las Athenaeos 401 c besser: ὑπὸ πάντων θηρεύεται καὶ θηρίου καὶ ὄρνιθος καὶ ἀνθρώπου.

10. Ueber das Asyndeton nach οὕτω δή τι zu c. 12 8. — ἐπι-, zu der schon empfangenen Frucht.

12. ἐπαναιρέεται passiv = ἐπισυλλαμβάνεται, 'wird hinzu empfangen'. Das Simplex, aber medial, VI 69 21. — Zur Sache Arist. hist. an. VI 33 οἱ δὲ δασύποδες . . ὀχεύονται καὶ τίκτουσι πᾶσαν ὥραν, καὶ ἐπικυΐσκονται ὅταν κύωσι, καὶ τίκτουσι κατὰ μῆνα. τίκτουσι δ' οὐκ ἀθρόα, ἀλλὰ διαλείπουσιν ἡμέρας ὅσας ἂν τύχωσιν.

13f. ἐὸν ἰσχυρότατον: zu II 92 13. — τίκτει ἕν: richtiger doch schon Homer Il. σ 318 ὥς τε λῖς ἠυγένειος Ὧι ῥά θ' ὑπὸ σκύμνους ἐλαφηβόλος ἁρπάσῃ ἀνήρ. Arist. a. O. VI 31 ὀχεύει δὲ καὶ τίκτει (ὁ λέων) οὐ πᾶσαν ὥραν, καθ' ἕκαστον μέντοι ἐνιαυτόν . . ὁ δὲ λεχθεὶς μῦθος περὶ τοῦ ἐκβάλλειν τὰς ὑστέρας τίκτοντα ληρώδης ἐστί, συνετέθη δ' ἐκ τοῦ σπανίως εἶναι τοὺς λέοντας, ἀποροῦντος τὴν αἰτίαν τοῦ τὸν μῦθον συνθέντος.

17. ὁ δέ: zu I 112 9.

19. ἐπικνέεσθαι 'fassen, heimsuchen'; vgl. zu VII 35 2. — καταγράφων: Hesychios κατέγραψαν = κατέξυσαν.

20. Ueber die Parataxis zu II 93 25.

109. 2f. 'wenn sie ihrer Natur gemäfs erzeugt würden', nämlich aus Eiern, wie alle anderen Schlangen (12). Ihre zu grofse Vermehrung wird durch den mit jeder Zeugung verbundenen Untergang des

αὐτοῖσι ὑπάρχει, οὐκ ἂν ἦν βιώσιμα ἀνθρώποισι· νῦν δ' ἐπεὰν θορνύωνται κατὰ ζεύγεα καὶ ἐν αὐτῇ ᾖ ὁ ἔρσην τῇ ἐκποιήσι, ἀπιεμένου αὐτοῦ τὴν γονὴν ἡ θήλεα ἅπτεται τῆς δειρῆς, καὶ ἐμφῦσα οὐκ ἀνίει πρὶν ἂν διαφάγῃ. ὁ μὲν δὴ ἔρσην ἀποθνήσκει τρόπῳ τῷ εἰρημένῳ, ἡ δὲ θήλεα τίσιν τοιήνδε ἀποτίνει τῷ ἔρσενι· τῷ γονέι τιμωρέοντα ἔτι ἐν τῇ γαστρὶ ἐόντα τὰ τέκνα διεσθίει τὴν μητέρα, διαφαγόντα δὲ τὴν νηδὺν αὐτῆς οὕτω τὴν ἔκδυσιν ποιέεται. οἱ δὲ ἄλλοι ὄφιες ἐόντες ἀνθρώπων οὐ δηλήμονες τίκτουσί τε ᾠὰ καὶ ἐκλέπουσι πολλόν τι χρῆμα τῶν τέκνων. αἱ μέν νυν ἔχιδναι κατὰ πᾶσαν τὴν γῆν εἰσί, οἱ δέ, ὑπόπτεροι ἐόντες, ἀθρόοι εἰσὶ ἐν τῇ Ἀραβίῃ καὶ οὐδαμῇ ἄλλῃ· κατὰ τοῦτο δοκέουσι πολλοὶ εἶναι.

110 Τὸν μὲν δὴ λιβανωτὸν τοῦτον οὕτω κτῶνται Ἀράβιοι, τὴν δὲ κασίην ὧδε. ἐπεὰν καταδήσωνται βύρσῃσι καὶ δέρμασι ἄλλοισι πᾶν τὸ σῶμα καὶ τὸ πρόσωπον πλὴν αὐτῶν τῶν ὀφθαλμῶν, ἔρχονται ἐπὶ τὴν κασίην·

Elternpaares gehemmt. Legte das Weibchen Eier, so wäre dies wenigstens dem Untergange nicht ausgesetzt. — *βιώσιμα*: vgl. I 45 *οὐδέ οἱ εἴη βιώσιμον*. Vom Plural zu I 4 8.

6. *ἐμφῦσα* homerisch, Od. α 381 *ὀδὰξ ἐν χείλεσι φύντες*.

9f. *διεσθίει – διαφαγόντα δέ*: zu I 8 2.

13. *πολλόν τι χρῆμα*: zu I 36 2. Zum Artikel in *τῶν τέκνων* vgl. VII 188 19. IX 16 23. — Von den *ἔχιδναι* Arist. a. O. V 34 *τίκτει δὲ μικρὰ ἐχίδια ἐν ὑμέσιν, οἳ περιρρήγνυνται τριταῖαι· ἐνίοτε δὲ καὶ τὰ ἔσω διαφαγόντα αὐτὰ ἐξέρχεται.*

15. *κατὰ τοῦτο* 'aus diesem Grunde' (IV 48 4), dafs sie nämlich nur in Arabien vorkommen und in fliegenden Schaaren hin und herziehen.

110. 2ff. *κασίη* und *κινάμωμον* (c. 111) sind zimmtartige Rinden, nicht der echte Zimmt (*laurus Cinnamomum*), der nur im südwestlichen Theile der Insel Ceylon wächst und den Alten unbekannt geblieben zu sein scheint. Von beiden Theophr. hist. pl. IX 5 *θάμνους μὲν ἀμφότερα ταῦτ' εἶναι (λέγουσιν) οὐ μεγάλους ἀλλ' ἡλίκους ἄγνου* (Keuschlamm), *πολυκλάδους δὲ καὶ ξυλώδεις*. Von der *κασίη*, der weniger geschätzten Sorte, Dioskorides I 12 *κασσίας δέ ἐστι πλείονα εἴδη περὶ τὴν ἀρωματοφόρον Ἀραβίαν γεννώμενα. ἔχει δὲ ῥάβδον πολύφλοιον, φύλλα δὲ ὥσπερ πεπέρεως*. Ueber den Namen zu c. 111 7. — *βύρσῃ*, hier wohl vorzugsweise 'Rindshaut' als die gewöhnlichste; vgl. c. 9 11. — *πλὴν αὐτῶν τῶν ὀφθαλμῶν*, so dafs nur eben die Augen frei bleiben. — Einen ansprechenderen Grund für die Anwendung des Leders, als unten

ἡ δὲ ἐν λίμνῃ φύεται οὐ βαθέῃ, περὶ δὲ αὐτὴν καὶ
ἐν αὐτῇ αὐλίζεταί κου θηρία πτερωτά, τῇσι νυκτερίσι
προσείκελα μάλιστα, καὶ τέτριγε δεινόν, καὶ ἐς ἀλκὴν
ἄλκιμα· τὰ δεῖ ἀπαμυνομένους ἀπὸ τῶν ὀφθαλμῶν οὕ-
τω δρέπειν τὴν κασίην. τὸ δὲ δὴ κινάμωμον ἔτι τού- 111
των θωμαστότερον συλλέγουσι. ὅκου μὲν γὰρ γίνεται
καὶ ἥτις μιν γῆ ἡ τρέφουσά ἐστι, οὐκ ἔχουσι εἰπεῖν,
πλὴν ὅτι λόγῳ οὐκ οἰκότι χρεόμενοι ἐν τοισίδε χωρίοισι
φασί τινες αὐτὸ φύεσθαι ἐν τοῖσι ὁ Διόνυσος ἐτράφη·
ὄρνιθας δὲ λέγουσι μεγάλας φορέειν ταῦτα τὰ κάρφεα
τὰ ἡμεῖς ἀπὸ Φοινίκων μαθόντες κινάμωμον καλέο-
μεν, φορέειν δὲ τὰς ὄρνιθας ἐς νεοσσιὰς προσπεπλα-
σμένας ἐκ πηλοῦ πρὸς ἀποκρήμνοισι οὔρεσι, ἔνθα πρόσ-
βασιν ἀνθρώπῳ οὐδεμίαν εἶναι. πρὸς ὦν δὴ ταῦτα
τοὺς Ἀραβίους σοφίζεσθαι τάδε· βοῶν τε καὶ ὄνων τῶν
ἀπογινομένων καὶ τῶν ἄλλων ὑποζυγίων τὰ μέλεα δια-
ταμόντας ὡς μέγιστα κομίζειν ἐς ταῦτα τὰ χωρία, καὶ

H., erwähnt Theophrast. a. O. *ὅταν τέμνωσι τὰς ῥάβδους, (φασὶ) κατακόπτειν ὡς διδάκτυλα τὸ μῆκος ἢ μικρῷ μείζω, ταῦτα δ' εἰς νεόδορον βύρσαν καταῤῥάπτειν· εἶτ' ἐκ ταύτης καὶ τῶν ξύλων σηπομένων σκωλήκια γίνεσθαι, ἃ τὸ μὲν ξύλον κατεσθίει, τοῦ φλοιοῦ δ' οὐχ ἅπτεται διὰ τὴν πικρότητα καὶ δριμύτητα τῆς ὀσμῆς.*

5. *ἐν λίμνῃ φύεται*, wahrscheinlich die blafsgelbe Art, die den Namen *achû* (*ἄχυ*, 'Sumpfpflanze') führte und weniger geschätzt wurde als die dunkelrothe (Dioskorides a. O.).

6. Eine ähnliche Fabel vom *κινάμωμον* bei Theophr. a. O. *λέγεται δέ τις καὶ μῦθος ὑπὲρ αὐτοῦ· φύεσθαι μὲν γάρ φασιν ἐν φάραγξιν, ἐν ταύταις δ' ὄφεις εἶναι πολλοὺς δῆγμα θανάσιμον ἔχοντας, πρὸς οὓς φραξάμενοι τὰς χεῖρας καὶ τοὺς πόδας καταβαίνουσιν καὶ συλλέγουσιν.*

7. *τέτριγε*, von der Fledermaus auch IV 183 21. Od. ω 6 *νυκτερίδες . . τρίζουσαι ποτέονται.*

8 f. *ἄλκιμα*, erg. *ἐστί*, das bei solchen Beschreibungen häufig weggelassen wird; vgl. II 68 17. 73 7. 76 2. VII 5 17. 36 19. 65 2.

111. 2 ff. Die Alten setzen das Vaterland des *κινάμωμον* bald nach Indien, bald nach dem glücklichen Arabien, bald nach dem südöstlichen Aethiopien. Nach diesem verlegte die Sage die Jugendheimath des Dionysos (II 146. III 97).

6. *κάρφεα*, die getrockneten und zusammengerollten Streifen der Rinde, in welcher Form das Zimmt noch jetzt verführt wird.

7. Das Wort *κινάμωμον* ist semitischen Ursprungs (*kinnamón*, 2 Mos. 30 23), wie auch *κασίη* (*kiddáh* oder *kĕzîah*, 2 Mos. 30 24. Psalm 45 9), *λιβανωτός* (*lebónah*, 3 Mos. 2 1), *σμύρνη* (*mór*, 2 Mos. 30 23).

12. *ἀπογινομένων*: zu II 85 2.

*σφεα θέντας ἀγχοῦ τῶν νεοσσιέων ἀπαλλάσσεσθαι ἐκὰς
αὐτέων· τὰς δὲ ὄρνιθας καταπετομένας [αὐτῶν] τὰ μέ-
λεα τῶν ὑποζυγίων ἀναφορέειν ἐπὶ τὰς νεοσσιάς· τὰς
δὲ οὐ δυναμένας ἴσχειν καταρρήγνυσθαι ἐπὶ γῆν· τοὺς
δὲ ἐπιόντας συλλέγειν. οὕτω μὲν τὸ κινάμωμον συλλε-*
112 *γόμενον ἐκ τούτων ἀπικνέεσθαι ἐς τὰς ἄλλας χώρας. τὸ
δὲ δὴ λήδανον, τὸ Ἀράβιοι καλέουσι λάδανον, ἔτι τού-
του θωυμασιώτερον γίνεται· ἐν γὰρ δυσοδμοτάτῳ γινό-
μενον εὐωδέστατόν ἐστι· τῶν γὰρ αἰγῶν τῶν τράγων
ἐν τοῖσι πώγωσι εὑρίσκεται ἐγγινόμενον οἷον γλοιὸς ἀπὸ
τῆς ὕλης. χρήσιμον δ' ἐς πολλὰ τῶν μύρων ἐστί, θυ-
μιῶσί τε μάλιστα τοῦτο Ἀράβιοι.*
113 *Τοσαῦτα μὲν θυωμάτων πέρι εἰρήσθω, ἀπόζει δὲ
τῆς χώρης τῆς Ἀραβίης θεσπέσιον ὡς ἡδύ. δύο δὲ γέ-*

19. *ἐκ τούτων*, aus dem Lande dieser Araher. — Die wirkliche Zimmterndte beschreibt Theophr. hist. pl. IX 5 *ὅταν ἐκκόψωσιν ὅλον τὸ κινάμωμον, διαιρεῖν εἰς πέντε μέρη· τούτων δὲ τὸ πρῶτον πρὸς τοῖς βλαστοῖς βέλτιστον εἶναι, ὃ τέμνεται σπιθαμιαῖον ἢ μικρῷ μεῖζον· ἑπόμενον δὲ τὸ δεύτερον, ὃ καὶ τῇ τομῇ ἔλαττον· εἶτα τὸ τρίτον καὶ τέταρτον. ἔσχατον δὲ τὸ χείριστον τὸ πρὸς τῇ ῥίζῃ· φλοιὸν γὰρ ἐλάχιστον ἔχειν.*

112. 2ff. *λάδανον*, eig. *ladân* 'süfs von Geruch'. Der Strauch hiefs *λῆδος* od. *λῆδον*. Dafs sein wohlriechendes Harz wirklich in der von H. berichteten Weise gesammelt ward, bestätigt Dioskorides I 128 *τὰ φύλλα αὐτοῦ νεμόμεναι αἱ αἶγες καὶ οἱ τράγοι τὴν λιπαρίαν ἀναλαμβάνουσι τῷ πώγωνι γνωρίμως καὶ τοῖς μηροῖς προσπλαττομένην διὰ τὸ τυγχάνειν ἐξώδη, ἣν ἀφαιροῦντες ὑλίζουσι καὶ ἀποτίθενται ἀναπλάττοντες μαγίδας. ἔνιοι δὲ καὶ σχοινία ἐπισύρουσι τοῖς θάμνοις καὶ τὸ προσπλασθὲν αὐτοῖς λίπος ἀποξύσαντες ἀναπλάττουσιν.* Jetzt gewinnt man es, indem man die Zweige abpeitscht. Uebrigens bemerkt Dioskorides dafs die kyprische Sorte die geschätzteste, die arabische und libysche von geringerem Werthe sei. — *τῶν τράγων*, Zusatz zur Bestimmung der Species, 'der Ziegenböcke'; vgl. H. Il. *β* 480 *βοῦς – ταῦρος*, *ρ* 21 *συὸς κάπρου*, und zu c. 56 9.

6. *χρήσιμον*, als Beimischung. Diosk. a. O. *ἵστησι τὰς ῥεούσας τρίχας μιγὲν οἴνῳ καὶ σμύρνῃ καὶ μυρσίνῳ ἐλαίῳ κτλ.*

113. *ἀπόζει τῆς χώρης* = *ὄζει ἀπὸ τ. χ.* (c. 23 8). Dazu ist *ἡδύ* das Subject, 'ein wundersüfser Duft'. *θεσπέσιον ὡς*, nach Analogie von *θαυμάσιον ὡς* u. ä. IV 28 *ἀφόρητος οἷος*, 194 *ἄφθονοι ὅσοι*, I 185 19. II 175 4. — Die wunderbare Nachricht kehrt auch bei späteren Autoren wieder. Agatharchides bei Diodor III 46 *κατὰ τὴν ἐαρινὴν ὥραν, ὅταν ἄνεμος ἀπόγειος γένηται, συμβαίνει τὰς ἀπὸ τῶν σμυρνοφόρων δένδρων καὶ τῶν ἄλλων τῶν τοιούτων ἀποπνεομένας εὐωδίας διιχνεῖσθαι πρὸς τὰ πλησίον μέρη τῆς θαλάττης· . . . κομιζούσης γὰρ τῆς αὔρας τὴν*

νεα ὀίων σφι ἐστὶ θώματος ἄξια, τὰ οὐδαμόθι ἑτέρωθί ἐστι· τὸ μὲν αὐτέων ἕτερον ἔχει τὰς οὐρὰς μακράς, τριῶν πηχέων οὐκ ἐλάσσονας, τὰς εἴ τις ἐπείη σφι ἐπέλκειν, ἕλκεα ἂν ἔχοιεν ἀνατριβομενέων πρὸς τῇ γῇ τῶν οὐρέων· νῦν δ' ἅπας τις τῶν ποιμένων ἐπίσταται ξυλουργέειν ἐς τοσοῦτο· ἁμαξίδας γὰρ ποιεῦντες ὑποδέουσι αὐτὰς τῇσι οὐρῇσι, ἑνὸς ἑκάστου κτήνεος τὴν οὐρὴν ἐπὶ ἁμαξίδα ἑκάστην καταδέοντες. τὸ δὲ ἕτερον γένος τῶν ὀίων τὰς οὐρὰς πλατέας φορέουσι καὶ ἐπὶ πῆχυν πλάτος.

Ἀποκλινομένης δὲ μεσαμβρίης παρήκει πρὸς δύνοντα ἥλιον ἡ Αἰθιοπίη χώρη ἐσχάτη τῶν οἰκεομενέων· αὕτη δὲ χρυσόν τε φέρει πολλὸν καὶ ἐλέφαντας ἀμφιλαφέας καὶ δένδρεα πάντα ἄγρια καὶ ἔβενον καὶ ἄνδρας μεγίστους καὶ καλλίστους καὶ μακροβιωτάτους. 114

ἀπόρροιαν τῶν εὐωδεστάτων, προσπίπτει τοῖς προσπλέουσι τὴν παράλιον προσηνὲς καὶ πολὺ . . ἐκ τῶν ἀρίστων μῖγμα.

3. οὐδαμόθι ἑτέρωθι, eine durch neuere Kunde beseitigte Einschränkung.

6. ἐπέλκειν – ἕλκος, ein etymologisches Wortspiel, das schon Pindar gebraucht hat, Pyth. II 90 στάθμας δέ τινος ἑλκόμενοι περισσᾶς ἐνέπαξαν ἕλκος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ.

11. καί, vel (II 44 17). — ἐπί 'bis zu' (I 193 17).

114. πρὸς δύνοντα ἥλιον gehört sowohl zu ἀποκλινομένης als zu παρήκει. Vgl. zu I 137 4. — ἀποκλινομένη μεσαμβρίη, eigentlich die Zeit, wo die Sonne von der Mittagshöhe herabsteigt (c. 104 12), hier übertragen der Himmelsraum, durch welchen sie um diese Zeit zu wandeln scheint. Die ursprüngliche Bedeutung hat aber in der Construction nachgewirkt; eigentlich 'wann sich der Mittag zum Sonnenuntergange neigt', übertragen 'wo sich der Süden nach Westen wendet, im Südwesten'. Strenger und H.'s sonstiger Weise (vgl. IV 22) ähnlicher würde gewesen sein: ἀποκλίνοντι δὲ ἀπὸ μεσαμβρίης πρὸς δύνοντα ἥλιον. Vielleicht schwebten ihm hier die berühmten Verse Od. α 23 vor: Αἰθίοπας τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν, Οἱ μὲν δυσομένου Ὑπερίονος, οἱ δ' ἀνιόντος. In verwandter Weise findet die Vermischung von Raum- und Zeitbegriffen statt in dem homerischen Verse ἦμος δ' ἠέλιος μετενίσσετο βουλυτόνδε (Il. π 779), 'hin zur Zeit der Stierentjochung' d. i. 'nach dem Westen'. Mit Αἰθιοπίη χώρη ist übrigens das Land der μακρόβιοι Αἰθίοπες gemeint, über welches zu c. 17 3.

3. χρυσόν: vgl. c. 23 17. — ἀμφιλαφέας: vgl. IV 28 βρονταὶ ἀμφιλαφέες, 50 χιὼν ἀμφιλαφής, 172 φοίνικες ἀμφιλαφέες. — πάντα ἄγρια 'lauter wildwachsende', die ohne menschliches Zuthun ihre Früchte bringen, während die 'zahmen' (ἥμερα), wie der Oel- und der Feigenbaum, Anbau und Pflege fordern. Auch dies gilt als natürlicher

115 *Αὗται μὲν νυν ἔν τε τῇ Ἀσίῃ ἐσχατιαί εἰσι καὶ ἐν τῇ Λιβύῃ. περὶ δὲ τῶν ἐν τῇ Εὐρώπῃ τῶν πρὸς ἑσπέρην ἐσχατιέων ἔχω μὲν οὐκ ἀτρεκέως λέγειν· οὔτε γὰρ ἔγωγε ἐνδέκομαι Ἠριδανὸν καλέεσθαι πρὸς βαρβάρων ποταμὸν ἐκδιδόντα ἐς θάλασσαν τὴν πρὸς βορέην ἄνεμον, ἀπ' ὅτευ τὸ ἤλεκτρον φοιτᾶν λόγος ἐστί, οὔτε νήσους οἶδα Κασσιτερίδας ἐούσας, ἐκ τῶν ὁ κασσίτερος ἡμῖν φοιτᾷ. τοῦτο μὲν γὰρ ὁ Ἠριδανὸς αὐτὸ κατηγορέει τὸ οὔνομα ὡς ἔστι Ἑλληνικὸν καὶ οὐ βάρβαρον,*

Vorzug jenes Schlaraffenlandes (c. 18 23). Weil *δένδρεα ἄγρια* Fruchtbäume sind, kann es nicht auffallen dafs daneben die einzelne Species der *ἔβενος* als Nutzholz aufgeführt ist. Die Alten kannten übrigens auch Indien als Heimath des Baumes (Theophr. hist. pl. IV 4 6). Ueber die aethiopischen Menschen s. c. 20. 22.

115. 2. Mit *πρὸς ἑσπέρην* scheint H. nicht blofs den Westen, sondern auch die nordwestliche Hälfte Europas (zu c. 116 2) zu bezeichnen; daher auch der Plural *ἐσχατιέων*.

4. *Ἠριδανόν*: die älteste Erwähnung dieses fabelhaften Flusses findet sich Hes. Theog. 338 im Flufskataloge: *Τηθὺς δ' Ὠκεανῷ ποταμοὺς τέκε δινήεντας, Νεῖλόν τ' Ἀλφειόν τε καὶ Ἠριδανὸν βαθυδίνην.* In der altepischen Sage von der Sonnenfahrt des Phaëton fanden die Heliaden ihren verunglückten Bruder in dem Flusse und wurden vor Gram in Schwarzpappeln verwandelt, deren Thränen die untergehende Sonne in Bernstein verhärtete. — Schon der Logograph Pherekydes, H.'s Zeitgenosse, hatte ihn auf den Padus (Po) gedeutet, Andere auf den Rhodanus u. a., Neuere auf den Rhein oder die Weichsel oder gar deren Nebenflufs, die Radaune. Noch entschiedener als H. urtheilt Strab. 215 *τὸν Ἠριδανὸν τὸν μηδαμοῦ γῆς ὄντα.*

6. *ὅτευ*: zu IV 8 4. — *φοιτᾶν* von Handelsartikeln noch VII 23 25. 126 3. Der Bernstein kam durch die Phoeniken in den Handel; schon Od. ο 460 vom phoenikischen Schiffer *ἤλυθ' ἀνὴρ πολύιδρις ἐμοῦ πρὸς δώματα πατρὸς χρύσεον ὅρμον ἔχων, μετὰ δ' ἠλέκτροισιν ἔερτο.* Dafs sie ihn wirklich und selbst von seinen Fundstätten an der Ostsee holten, unterliegt keinem gegründeten Zweifel, ebenso wenig dafs sie, wenn sie in ihren Berichten einen grofsen Strom damit in Verbindung brachten, die Weichsel meinten.

7. *ἐούσας* 'als wirklich seiende' (II 23 4). Spätere Kunde widerlegte den Zweifel. Es waren die kleinen Skilly-inseln an der Südwestküste Britanniens, die von den Phoeniken aus Handelseifersucht lange verheimlicht, zu Caesar's Zeit von P. Licinius Crassus neu entdeckt wurden (Strab. 175 f.). Die Phoeniken holten übrigens das Metall auch aus Spanien und Britannien.

8 ff. *ὁ Ἠριδανός* ist Apposition zu *τὸ οὔνομα*, 'der Name E.' — *Ἑλληνικόν*: das Wort erinnert allerdings an Bildungen wie *ἠριγένεια, Ἠριγόνη, Ἠρικαπαῖος, ἠπεδανός, Ἠπιδανός* (Flufs in Thessalien VII 196), *μηκεδανός, οὐτιδανός, πευκεδανός, ῥιγιδανός, Ὠκεανός*, und erscheint auch seiner Silbenmessung nach für den Hexameter geschaffen. Ein Nebenbach

ὑπὸ ποιητέω δέ τινος ποιηθέν· τοῦτο δὲ οὐδενὸς αὐτόπτεω γενομένου δύναμαι ἀκοῦσαι, τοῦτο μελετέων, ὅκως θάλασσά ἐστι τὰ ἐπέκεινα Εὐρώπης. ἐξ ἐσχάτης δ' ὦν ὅ τε κασσίτερος ἡμῖν φοιτᾷ καὶ τὸ ἤλεκτρον. πρὸς δὲ 116
ἄρκτον τῆς Εὐρώπης πολλῷ τι πλεῖστος χρυσὸς φαίνεται ἐών· ὅκως μὲν γινόμενος, οὐκ ἔχω οὐδὲ τοῦτο ἀτρεκέως εἶπαι, λέγεται δὲ ὑπὲκ τῶν γρυπῶν ἁρπάζειν Ἀριμασποὺς ἄνδρας μουνοφθάλμους· πείθομαι δὲ οὐδὲ τοῦτο, ὅκως μουνόφθαλμοι ἄνδρες φύονται, φύσιν ἔχοντες τὴν ἄλλην ὁμοίην τοῖσι ἄλλοισι ἀνθρώποισι. αἱ δὴ ὦν ἐσχατιαὶ οἴκασι, περικληίουσαι τὴν ἄλλην χώρην καὶ ἐντὸς ἀπέργουσαι, τὰ κάλλιστα δοκέοντα ἡμῖν εἶναι καὶ σπανιώτατα ἔχειν αὐταί.

Ἔστι δὲ πεδίον ἐν τῇ Ἀσίῃ περικεκληιμένον οὔρεϊ 117
πάντοθεν, διασφάγες δὲ τοῦ οὔρεος εἰσὶ πέντε· τοῦτο τὸ πεδίον ἦν μέν κοτε Χορασμίων, ἐν οὔροισι ἐὸν Χο-

des attischen Ilissos führte denselben Namen. — Vgl. II 23.

11ff. *τοῦτο μελετέων* 'obgleich ich Mühe daranf verwandte'. Derselbe Ausdruck VI 105 3. Zur Sache vgl. IV 45. — *ὅκως* = *ὡς*; ebenso c. 116 6. Zu II 49 17. — *δ' ὦν*, wie es sich auch mit jenen Gegenden verhalten mag, genug . . . S. VII 35 4 u. s.

116. 2. *Εὐρώπης*, das nach H. die ganze nördliche Erdhälfte, also auch das nördliche Asien begriff (IV 42 4). — *φαίνεται ἐών*: welche Thatsachen dieser zuversichtlichen Behauptung zu Grunde liegen, wissen wir nicht.

3. *ὅκως γινόμενος* 'auf welche Weise gewonnen'; vgl. c. 106 9f.

4. *ὑπέκ*, homerisch. — Von den Greifen und Arimaspen zu IV 13 3.

8f. *ἐντὸς ἀπέργουσαι* 'nach innen abschliefsend', als peripherische Gränzen. Il. β 845 *ὅσσους Ἑλλήσποντος ἀγάρροος ἐντὸς ἐέργει*.

10. *ἔχειν αὐταί*, *ipsae habere, sibi habere*, in Gegensatz zu *ἡ ἄλλη χώρη*, als abgesonderten Besitz. Vgl. c. 106 *ἔλαχον τὰ κάλλιστα*. Ueberliefert ist *αὐτά* und *αὗται*. Jenes läfst sich nur behaupten, wenn man *δοκέει* ändert und *τά* relativisch nimmt; das andere könnte mit c. 14 4 u. ä. vertheidigt werden, wenn nicht die auffallende Stellung am Ende des Satzes st. *αὗται ἔχειν τὰ κάλλιστα* . ., es verdächtigte.

117. Das Capitel bildet eine Fortsetzung der Aufzählung der persischen Einkünfte (s. unten 29), ist aber durch die eingeschobene Digression über die *ἐσχατιαί* der Erde (c. 106–116) diesem Zusammenhange entrückt worden.

2. *διασφάγες* = *διεστῶσαι πέτραι* Schol., 'Felsspalten'; vgl. II 158 14. VII 199 7. 216 2.

3ff. Dies *πεδίον* geographisch so festzustellen, dafs es den gegebenen Bestimmungen entspreche, erscheint unmöglich. Denn die Chorasmier, zu deren Gebiet es gehören soll, safsen an den Ufern des untern Oxus, die Sarangen und Thamanaeer dagegen weit südlicher mitten im iranischen Hochlande, die

ρασμίων τε αὐτῶν καὶ Ὑρκανίων καὶ Πάρθων καὶ Σαραγγέων καὶ Θαμαναίων, ἐπείτε δὲ Πέρσαι ἔχουσι τὸ κράτος, ἔστι τοῦ βασιλέος. ἐκ δὴ ὦν τοῦ περικληίοντος οὔρεος τούτου ῥέει ποταμὸς μέγας, οὔνομα δέ οἱ ἐστὶ Ἄκης. οὗτος πρότερον μὲν ἄρδεσκε διαλελαμμένος πενταχοῦ τούτων τῶν εἰρημένων τὰς χώρας, διὰ διασφάγος ἀγόμενος ἑκάστης ἑκάστοισι, ἐπείτε δὲ ὑπὸ τῷ Πέρσῃ εἰσί, πεπόνθασι τοιόνδε· τὰς διασφάγας τῶν οὐρέων ἐνδείμας ὁ βασιλεὺς πύλας ἐπ' ἑκάστῃ διασφάγι ἔστησε, ἀποκεκληιμένου δὲ τοῦ ὕδατος τῆς διεξόδου τὸ πεδίον τὸ ἐντὸς τῶν οὐρέων πέλαγος γίνεται, ἐνδιδόντος μὲν τοῦ ποταμοῦ, ἔχοντος δὲ οὐδαμῇ ἐξήλυσιν. οὗτοι ὦν οἵ περ ἔμπροσθε ἐώθεσαν χρᾶσθαι

Parther und Hyrkanier aber ungefähr zwischen beiden am Nordrande des Plateaus (zu c. 93): und doch soll das Gebiet der Sarangen durch einen aus Chorasmien kommenden Flufsarm bewässert werden! Der Flufs soll sich aus dem Hochthale in fünf Armen nach mindestens drei Weltgegenden hin ergiefsen und darauf — dies folgt aus dem Zusammenhange — in den von ihm bewässerten Ebenen verlieren. Einen solchen Flufs kennt die Geographie jener Länder nicht; und obschon er nicht unbedeutend sein konnte, wird sein Name Ἄκης sonst nirgends genannt; nur die La. Ἄκις zweier Hss. erinnert an des Hesych. Ἄκις, ποταμὸς Ἀσίας (vgl. Eustath. ad Il. p. 1053). Wahrscheinlich sind in dem mährchenhaften Berichte, den H. von den mit der Macht ihres Königs prahlenden Persern erhalten haben wird, einzelne Züge und Thatsachen, die für verschiedene Landschaften und in kleinerem Mafsstabe auf Wahrheit beruhen mochten, ohne Kenntnifs und Berücksichtigung des Terrains zu einem grofsartigen Bilde vereinigt. Denn die Gebiete der aufgezählten Völker verdanken in der That ihre Ertragsfähigkeit grofsentheils den sie durchströmenden Flüssen, ohne welche sie Wüsten sein würden. So wird noch jetzt die einstige Heimath der Sarangen, die Wüste Sedschestan, blofs durch das Flufssystem des Hilmend und grofsartige Canalanlagen theilweise in üppigen Fruchtboden umgeschaffen; und Aehnliches gilt von den Thälern des Amu, Murghâb und Herirud.

5. ἐπείτε 'seitdem' (II 43 22).

8. ἄρδεσκε: das Iterativ steht bei *zeitlich* wiederholten Handlungen, hier aber bei *räumlicher* Wiederholung. Der Flufs bewässerte nämlich zwar immer und gleichzeitig, aber durch fünf Ausgänge strömend und fünf Länder. Vgl. das homerische ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον, 'wo nicht der einzelne die Rede wiederholt, sondern viele sagen sie dort und da' (Buttmann gr. Gr. I 383).

9. πενταχοῦ, correcter wäre πένταχα od. πενταχῇ; doch auch IV 120 7 διχοῦ διελόντες.

12. ἐνδείμας: dafs sich der Perserkönig so etwas zutraute, zeigt das Beispiel des Xerxes (VII 130).

15. ἐνδιδόναι, sonst ἐσδιδόναι od. ἐκδιδόναι; vgl. ἐμβάλλειν.

τῷ ὕδατι, οὐκ ἔχοντες αὐτῷ χρᾶσθαι συμφορῇ μεγάλῃ διαχρέονται· τὸν μὲν γὰρ χειμῶνα ὕει σφι ὁ θεὸς ὥσπερ καὶ τοῖσι ἄλλοισι ἀνθρώποισι, τοῦ δὲ θέρεος σπείροντες μελίνην καὶ σήσαμον χρηίσκονται τῷ ὕδατι. ἐπεὰν ὦν μηδέν σφι παραδιδῶται τοῦ ὕδατος, ἐλθόντες ἐς τοὺς Πέρσας αὐτοί τε καὶ γυναῖκες, στάντες κατὰ τὰς θύρας τοῦ βασιλέος βοῶσι ὠρυόμενοι, ὁ δὲ βασιλεὺς τοῖσι δεομένοισι αὐτῶν μάλιστα ἐντέλλεται ἀνοίγειν τὰς πύλας τὰς ἐς τοῦτο φερούσας. ἐπεὰν δὲ διάκορος ἡ γῆ σφεων γένηται πίνουσα τὸ ὕδωρ, αὗται μὲν αἱ πύλαι ἀποκληίονται, ἄλλας δ' ἐντέλλεται ἀνοίγειν ἄλλοισι τοῖσι δεομένοισι μάλιστα τῶν λοιπῶν. ὡς δ' ἐγὼ οἶδα ἀκούσας, χρήματα μεγάλα πρησσόμενος ἀνοίγει πάρεξ τοῦ φόρου.

Ταῦτα μὲν δὴ ἔχει οὕτω. τῶν δὲ τῷ Μάγῳ ἐπαναστάντων ἑπτὰ ἀνδρῶν, ἕνα αὐτῶν Ἰνταφρένεα κατέλαβε ὑβρίσαντα τάδε ἀποθανεῖν αὐτίκα μετὰ τὴν ἐπανάστασιν. ἤθελε ἐς τὰ βασιλήια ἐσελθὼν χρηματίσασθαι τῷ βασιλέι· καὶ γὰρ δὴ καὶ ὁ νόμος οὕτω εἶχε, τοῖσι ἐπαναστᾶσι τῷ Μάγῳ ἔσοδον εἶναι παρὰ βασιλέα ἄνευ ἀγγέλου, ἢν μὴ γυναικὶ τυγχάνῃ μισγόμενος βασιλεύς. οὔκων δὴ Ἰνταφρένης ἐδικαίευ οὐδένα οἱ ἐσαγγεῖλαι, ἀλλ' ὅτι ἦν τῶν ἑπτά, ἐσιέναι ἤθελε. ὁ δὲ πυλουρὸς καὶ ὁ ἀγγελιηφόρος οὐ περιώρεον, φάμενοι τὸν βασιλέα γυναικὶ μίσγεσθαι. ὁ δὲ Ἰνταφρένης δοκέων σφέας ψεύδεα λέγειν ποιέει τοιάδε· σπασάμενος τὸν 118

18f. Zu *τὸν μὲν χειμῶνα – τοῦ δὲ θέρεος* vgl. II 95 7.

20. Hirse und Sesam lieben feuchten Boden.

25. *ἐς τοῦτο*: zu c. 102 6. — *διάκορος*, sonst *διακορής*.

Geschichten von Intaphrenes, Oroetes und Polykrates. (c. 118–128).

118. Die Erzählung knüpft wieder an c. 88 an.

2. Zu dem abundanten *αὐτῶν* vgl. II 10 9. 175 2. — Ueber die Form *Ἰνταφρένεα* zu c. 70 7. — *κατέλαβε*: zu c. 65 4.

5. *ὁ νόμος*: s. c. 84.

7. *ἄγγελος*, sonst bestimmter *ἐσαγγελεύς* oder *ἀγγελιηφόρος*, wie gleich unten. Ebenso steht c. 34 *τὰς ἀγγελίας ἐφόρεε* st. *ἐσεφόρεε* oder *ἐσέφερε* (I 114 9. III 77 7).

8. *οἱ* 'für ihn'; näml. *ἐσαγγέλλειν* = *ἀγγελίην ἐσφέρειν*.

ἀκινάκεα ἀποτάμνει αὐτῶν τά τε ὦτα καὶ τὰς ῥίνας,
καὶ ἀνείρας περὶ τὸν χαλινὸν τοῦ ἵππου περὶ τοὺς αὐ-
119 χένας σφέων ἔδησε, καὶ ἀπῆκε. οἱ δὲ τῷ βασιλέι
δεικνύουσι ἑωυτοὺς καὶ τὴν αἰτίην εἶπον δι᾽ ἣν πεπον-
θότες εἴησαν. Δαρεῖος δὲ ἀρρωδήσας μὴ κοινῷ λόγῳ
οἱ ἓξ πεποιηκότες ἔωσι ταῦτα, μεταπεμπόμενος ἕνα
ἕκαστον ἀπεπειρᾶτο γνώμης, εἰ συνέπαινοί εἰσι τῷ πε-
ποιημένῳ. ἐπείτε δὲ ἐξέμαθε ὡς οὐ σὺν κείνοισι εἴη
ταῦτα πεποιηκώς, ἔλαβε αὐτόν τε τὸν Ἰνταφρένεα καὶ
τοὺς παῖδας αὐτοῦ καὶ τοὺς οἰκηίους πάντας, ἐλπίδας
πολλὰς ἔχων μετὰ τῶν συγγενέων μιν ἐπιβουλεύειν οἱ
ἐπανάστασιν, συλλαβὼν δέ σφεας ἔδησε τὴν ἐπὶ θα-
νάτῳ. ἡ δὲ γυνὴ τοῦ Ἰνταφρένεος φοιτέουσα ἐπὶ τὰς
θύρας τοῦ βασιλέος κλαίεσκε ἂν καὶ ὀδυρέσκετο· ποι-
εῦσα δὲ αἰεὶ τὠυτὸ τοῦτο τὸν Δαρεῖον ἔπεισε οἰκτεῖραί
μιν, πέμψας δὲ ἄγγελον ἔλεγε τάδε „ὦ γύναι, βασι-
λεύς τοι Δαρεῖος διδοῖ ἕνα τῶν δεδεμένων οἰκηίων ῥύ-
σασθαι, τὸν βούλεαι ἐκ πάντων.“ ἡ δὲ βουλευσαμένη
ὑπεκρίνετο τάδε. „εἰ μὲν δή μοι διδοῖ βασιλεὺς ἑνὸς
τὴν ψυχήν, αἱρέομαι ἐκ πάντων τὸν ἀδελφεόν.“ πυ-
θόμενος δὲ Δαρεῖος ταῦτα καὶ θωυμάσας τὸν λόγον,
πέμψας ἠγόρευε „ὦ γύναι, εἰρωτᾷ σε βασιλεύς, τίνα
ἔχουσα γνώμην, τὸν ἄνδρα τε καὶ τὰ τέκνα ἐγκαταλι-
ποῦσα, τὸν ἀδελφεὸν εἵλευ περιεῖναί τοι, ὃς καὶ ἀλλο-
τριώτερός τοι τῶν παίδων καὶ ἧσσον κεχαρισμένος τοῦ
ἀνδρός ἐστι.“ ἡ δ᾽ ἀμείβετο τοισίδε. „ὦ βασιλεῦ,

13. Vgl. zu c. 69 19. Vom *ἀκινάκης* zu c. 64 12.

14 f. Er reibte die ihnen abgehauenen Ohren und Nasen auf den Zügel seines Pferdes wie auf eine Schnur, band sie ihnen so um den Hals, und liefs sie gehen. Zu der nahen Wiederkehr desselben Wortes (*περί*) vgl. VI 30 7.

119. 5. *γνώμης*: zu c. 82 9.

6. *σὺν κείνοισι* 'im Einverständnisse mit jenen'. VI 50 *ἄνευ γάρ μιν Σπαρτιητέων τοῦ κοινοῦ ποιέειν ταῦτα.*

8 f. *ἐλπίδας πολλὰς ἔχων* = *πάγχυ ἐλπίζων* (c. 157 4), 'in der festen Meinung'. Ebenso V 30 29.

10. *ἔδησε τὴν ἐπὶ θανάτῳ*: dieselbe Redensart V 72 24; ohne *τήν* IX 37 7. Wie in den zu I 109 3 angeführten Fällen ist zu *τήν* aus dem Verbum das entsprechende Substantiv (*δέσιν*) zu ergänzen. 'Er liefs sie in das für Hinzurichtende bestimmte Gefängnifs werfen'.

12. *κλαίεσκε ἄν*: zu II 174 5.

ἀνὴρ μέν μοι ἂν ἄλλος γένοιτο, εἰ δαίμων ἐθέλοι, καὶ τέκνα ἄλλα, εἰ ταῦτα ἀποβάλοιμι· πατρὸς δὲ καί μητρὸς οὐκέτι μοι ζωόντων ἀδελφεὸς ἂν ἄλλος οὐδενὶ τρόπῳ γένοιτο. ταύτῃ τῇ γνώμῃ χρεομένη ἔλεξα ταῦτα.“ εὖ τε δὴ ἔδοξε τῷ Δαρείῳ εἰπεῖν ἡ γυνή, καί οἱ ἀπῆκε τοῦτόν τε τὸν παραιτέετο καὶ τῶν παίδων τὸν πρεσβύτατον, ἡσθεὶς αὐτῇ, τοὺς δὲ ἄλλους ἀπέκτεινε πάντας.

120 *Τῶν μὲν δὴ ἑπτὰ εἷς αὐτίκα τρόπῳ τῷ εἰρημένῳ ἀπολώλεε· κατὰ δέ κου μάλιστα τὴν Καμβύσεω νοῦσον ἐγίνετο τάδε. ὑπὸ Κύρου κατασταθεὶς ἦν Σαρδίων ὕπαρχος Ὀροίτης ἀνὴρ Πέρσης. οὗτος ἐπεθύμησε πρήγματος οὐκ ὁσίου· οὔτε γάρ τι παθὼν οὔτε ἀκούσας μάταιον ἔπος πρὸς Πολυκράτεος τοῦ Σαμίου, οὔτε ἰδὼν πρότερον, ἐπεθύμεε λαβὼν αὐτὸν ἀπολέσαι, ὡς μὲν οἱ πλεῦνες λέγουσι, διὰ τοιήνδε τινὰ αἰτίην. ἐπὶ τῶν βασιλέος θυρέων κατήμενον τόν τε Ὀροίτεα καὶ*

25 ff. Dieselben Gründe, mit welchen hier des Intaphrenes Gattin ihre auffallende Wahl rechtfertigt, sind Soph. Ant. 905 ff., ungewifs ob vom Dichter selbst oder von späterer Hand, der Antigone in den Mund gelegt, um zu motiviren, warum sie gegen das Verbot ihren Bruder bestattet: *πόσις μὲν ἄν μοι κατθανόντος ἄλλος ἦν, Καὶ παῖς ἀπ' ἄλλου φωτός, εἰ τοῦδ' ἤμπλακον, Μητρὸς δ' ἐν Ἅιδου καὶ πατρὸς κεκευθότοιν Οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.*

120. 3. *Σαρδίων*: so steht der Name häufig st. *Λυδίη* (I 7. V 25. 73. 123. VI 1. 30. 42. VII 1, auch Thuk. I 115 *Πισσούθνῃ ὃς εἶχε Σάρδεις τότε* 'die lydische Satrapie besafs'), wohl in Nachahmung des Gebrauches der Perser, die, da ihre Sprache des Consonanten *l* entbehrte (vgl. zu c. 92 1. 97 14), in diesem Falle die Hauptstadt an Stelle des Landes nannten. Auch ist dies in den Inschriften (zu c. 89 1) nicht unter seinem eigentlichen Namen aufgeführt, sondern als *Çparda* zwischen *Yauna* (Ionien) und *Katapatuka* (Kappadokien). (*Çparda* = *Σάρδις*; denn dafs die einheimische Form des Namens hinter dem Anlauter eine Labialis hatte, zeigt die Notiz bei Joannes Lydus de menss. III 14 *Σάρδιν γὰρ αὐτὴν καὶ Ξύαριν ὁ Ξάνθος καλεῖ*).

6. *μάταιον ἔπος* 'leichtfertige, beleidigende Rede'. Vgl. VII 10 η 3. 15 5 (*μάταια ἔπεα*, wofür 13 9 *ἀεικέστερα*), und zu II 173 6. — Doch berichtet Diodor Exc. Vat. p. 557 von einem vorgängigen Unrecht des Polykrates: *Λυδοί τινες φεύγοντες τὴν Ὀροίτου τοῦ σατράπου δυναστείαν κατέπλευσαν εἰς Σάμον μετὰ πολλῶν χρημάτων καὶ τοῦ Πολυκράτεος ἱκέται ἐγένοντο. ὁ δὲ τὸ μὲν πρῶτον αὐτοὺς φιλοφρόνως ὑπεδέξατο, μετ' ὀλίγον δὲ πάντας ἀποσφάξας τῶν χρημάτων ἐγκρατὴς ἐγένετο.*

ἄλλον Πέρσην τῷ οὔνομα εἶναι Μιτροβάτεα, νομοῦ ἄρχοντα τοῦ ἐν Δασκυλείῳ, τούτους ἐκ λόγων ἐς νείκεα συμπεσεῖν, κρινομένων δὲ περὶ ἀρετῆς εἰπεῖν τὸν Μιτροβάτεα τῷ Ὀροίτῃ προφέροντα „σὺ γὰρ ἐν ἀνδρῶν λόγῳ, ὃς βασιλέι νῆσον Σάμον πρὸς τῷ σῷ νομῷ προσκειμένην οὐ προσεκτήσαο, ὧδε δή τι ἐοῦσαν εὐπετέα χειρωθῆναι, τὴν τῶν τις ἐπιχωρίων πεντεκαίδεκα ὁπλίτῃσι ἐπαναστὰς ἔσχε καὶ νῦν αὐτῆς τυραννεύει.“ οἱ μὲν δή μιν φασὶ τοῦτο ἀκούσαντα καὶ ἀλγήσαντα τῷ ὀνείδεϊ, ἐπιθυμῆσαι οὐκ οὕτω τὸν εἴπαντα ταῦτα τίσασθαι ὡς Πολυκράτεα πάντως ἀπολέσαι, δι' ὅντινα
121 κακῶς ἤκουσε. οἱ δὲ ἐλάσσονες λέγουσι πέμψαι Ὀροίτεα ἐς Σάμον κήρυκα ὅτευ δὴ χρήματος δεησόμενον (οὐ γὰρ ὧν δὴ τοῦτό γε λέγεται), καὶ τὸν Πολυκράτεα τυχεῖν κατακείμενον ἐν ἀνδρεῶνι, παρεῖναι δέ οἱ καὶ Ἀνακρέοντα τὸν Τήιον· καί κως εἴτ' ἐκ προνοίης αὐτὸν κατηλογέοντα τὰ Ὀροίτεω πρήγματα, εἴτε καὶ συντυχίη τις τοιαύτη ἐπεγένετο· τόν τε γὰρ κήρυκα τὸν Ὀροίτεω παρελθόντα διαλέγεσθαι, καὶ τὸν Πολυκράτεα

11f. *ἐν* 'bei, um'. Daskyleion war die Hauptstadt der Satrapie (zu c. 90 8). — *τούτους*: zu c. 14 4. — *ἐς νείκεα συμπεσεῖν*: vollständiger IX 55 *ἐς νείκεα συμπεσόντες* ('an einander gerathen') *ἀπίκοντο*. — *κρίνεσθαι*, *certare*; davon *κρίσις*, *certamen* (V 5 3. VI 31 1. VII 26 8); vgl. *ἀνακρίνεσθαι* und *διακρίνεσθαι* (IX 56 2. 58 11).

13. *γάρ*: erg. aus *κρινομένων περὶ ἀρετῆς* etwa *οὐδέν σοὶ μέτεστι ἀρετῆς*. — Wegen der Bedeutung des Vorwurfs vgl. c. 134 4ff. 154 7.

16. *τήν*: das Relativ nach *ὧδε* (und *οὕτω*; dieses verbunden mit *δή τι* das gewöhnliche), wie I 87 18. IV 28 2. 52 8; vgl. I 202 8. Sonst folgt auch *ὡς* (*ὥστε*, I 163 10) oder ein Asyndeton (zu c. 12 8).

17. Vgl. zu c. 39 1.

121. 4 Der Dichter Anakreon lebte am samischen Hofe bis zum Tode des Polykrates.

5ff. Der von *λέγουσι* (1) abhängige Satz war eigentlich auf diesen Bau angelegt: *καί κως αὐτὸν εἴτ' ἐκ προνοίης κατηλογέοντα τὰ Ὀ. πρήγματα, εἴτε καὶ συντυχίη τις τοιαύτη ἐπεγένετο, ἐπείτε τὸν κήρυκα τὸν Ὀ. παρελθόντα διαλέγεσθαι* (zu I 24 30), *τυχεῖν γὰρ ἀπεστραμμένον πρὸς τὸν τοῖχον, οὔτε τι μεταστραφῆναι οὔτε ὑποκρίνασθαι*. Da aber bei dieser Satzfügung die Zugehörigkeit des Subjectsacc. *αὐτόν* zu *τυχεῖν* und den fgg. Infinitiven verdunkelt worden wäre, auch die beiden benachbarten Zwischensätze *ἐπείτε — διαλέγεσθαι* und *τυχεῖν γάρ — τοῖχον* belästigt haben würden, zog es der Vf. vor die Strenge des Satzbaues der Klarheit des Gedankens zu opfern, und liefs den mit *καί*

*(τυχεῖν γὰρ ἀπεστραμμένον πρὸς τὸν τοῖχον) οὔτε τι
μεταστραφῆναι οὔτε ὑποκρίνασθαι. αἰτίαι μὲν δὴ αὗ-* 122
*ται διφάσιαι λέγονται τοῦ θανάτου τοῦ Πολυκράτεος
γενέσθαι, πάρεστι δὲ πείθεσθαι ὁκοτέρῃ τις βούλεται
αὐτέων. ὁ δὲ ὦν Ὀροίτης ἱζόμενος ἐν Μαγνησίῃ τῇ
ὑπὲρ Μαιάνδρου ποταμοῦ οἰκημένῃ ἔπεμπε Μύρσον τὸν
Γύγεω ἄνδρα Λυδὸν ἐς Σάμον ἀγγελίην φέροντα, μα-
θὼν τοῦ Πολυκράτεος τὸν νόον. Πολυκράτης γάρ ἐστι
πρῶτος τῶν ἡμεῖς ἴδμεν Ἑλλήνων ὃς θαλασσοκρατέειν
ἐπενοήθη, πάρεξ Μίνω τε τοῦ Κνωσίου καὶ εἰ δή
τις ἄλλος πρότερος τούτου ἦρξε τῆς θαλάσσης· τῆς δὲ
ἀνθρωπηίης λεγομένης γενεῆς Πολυκράτης πρῶτος, ἐλ-
πίδας πολλὰς ἔχων Ἰωνίης τε καὶ νήσων ἄρξειν. μα-
θὼν ὦν ταῦτά μιν διανοεύμενον ὁ Ὀροίτης πέμψας
ἀγγελίην ἔλεγε τάδε. „Ὀροίτης Πολυκράτεϊ ὧδε λέγει.
πυνθάνομαι ἐπιβουλεύειν σε πρήγμασι μεγάλοισι, καὶ
χρήματά τοι οὐκ εἶναι κατὰ τὰ φρονήματα. σύ νυν
ὧδε ποιήσας ὀρθώσεις μὲν σεωυτόν, σώσεις δὲ καὶ ἐμέ·
ἐμοὶ γὰρ βασιλεὺς Καμβύσης ἐπιβουλεύει θάνατον, καὶ*

κως begonnenen Hauptsatz unvollendet, während er den ersten jener beiden Zwischensätze als erklärende Ausführung von *συντυχίη τις τοιαύτη* zu einem selbständigen Satze erhob, dem er dann den erneuerten Hauptsatz *τὸν Πολυκράτεα . .* parallel anschlofs. — *ἐκ προνοίης* 'mit Vorbedacht' (zu I 120 14) gehört zu den erst unten Z. 9 folgenden Verben. Den Grund dazu enthalten die Worte *κατηλογέοντα τὰ Ὀροίτεω πρήγματα* 'weil er die Macht des Oroetes geringschätzte'.

122. 4. *ἐν Μαγνησίῃ*, im *νομὸς Ἰωνικός* (c. 90 2), in dessen Besitz sich Oroetes damals schon gesetzt haben mufs (c. 127 9).

5. *Μύρσον τὸν Γύγεω*, noch einmal V 121 erwähnt. Dem Namen nach scheint er ein Nachkomme der früheren einheimischen Dynastie gewesen zu sein. Vgl. zu VII 27 1.

8. Vgl. zu c. 39 16.

9ff. *Μίνω*: s. I 171. — *τῆς θαλάσσης*, des hellenischen oder aegaeischen. Thuk. I 4 *Μίνως γὰρ παλαίτατος ὧν ἀκοῇ ἴσμεν ναυτικὸν ἐκτήσατο καὶ τῆς νῦν Ἑλληνικῆς θαλάσσης ἐπὶ πλεῖστον ἐκράτησε.* Arist. pol. II 10 *καὶ τὴν τῆς θαλάσσης ἀρχὴν κατέσχεν ὁ Μίνως καὶ τὰς νήσους τὰς μὲν ἐχειρώσατο τὰς δ' ᾤκισεν.* — *πρότερος τούτου*: das Alterthum kennt sonst keinen früheren. — *ἀνθρωπηίης*, Ggs. *ἡρωικῆς*, zu der Minos gehörte.

12. *νήσων*: Zu c. 96 3.

14. S. zu c. 40 5.

15f. *καὶ – οὐκ*, *nec tamen* (I 133 8. III 6 5. IV 36 6).

17. *ὧδε*: die Ausführung folgt 19 *σύ νυν . .* Vgl. zu c. 31 4. 34 2.

μοι τοῦτο ἐξαγγέλλεται σαφηνέως. σύ νυν ἐμὲ ἐκκομίσας αὐτὸν καὶ χρήματα, τὰ μὲν αὐτῶν αὐτὸς ἔχε, τὰ δὲ ἐμὲ ἔα ἔχειν· εἵνεκέν τε χρημάτων ἄρξεις ἁπάσης τῆς Ἑλλάδος. εἰ δέ μοι ἀπιστέεις τὰ περὶ τῶν χρημάτων, πέμψον ὅστις τοι πιστότατος τυγχάνει ἐών, τῷ

123 *ἐγὼ ἀποδέξω." ταῦτα ἀκούσας Πολυκράτης ἥσθη τε καὶ ἐβούλετο· καί κως ἱμείρετο γὰρ χρημάτων μεγάλως, ἀποπέμπει πρῶτα κατοψόμενον Μαιάνδριον Μαιανδρίου ἄνδρα τῶν ἀστῶν, ὅς οἱ ἦν γραμματιστής· ὃς χρόνῳ οὐ πολλῷ ὕστερον τούτων τὸν κόσμον τὸν ἐκ τοῦ ἀνδρεῶνος τοῦ Πολυκράτεος ἐόντα ἀξιοθέητον ἀνέθηκε πάντα ἐς τὸ Ἡραῖον. ὁ δὲ Ὀροίτης μαθὼν τὸν κατάσκοπον ἐόντα προσδόκιμον ἐποίεε τοιάδε· λάρνακας ὀκτὼ πληρώσας λίθων πλὴν κάρτα βραχέος τοῦ περὶ αὐτὰ τὰ χείλεα, ἐπιπολῆς τῶν λίθων χρυσὸν ἐπέβαλε, καταδήσας δὲ τὰς λάρνακας εἶχε ἑτοίμας. ἐλθὼν δὲ ὁ Μαιάνδριος καὶ θεησάμενος ἀπήγγελλε τῷ Πολυκράτεϊ.*

124 *ὁ δὲ πολλὰ μὲν τῶν μαντίων ἀπαγορευόντων πολλὰ δὲ τῶν φίλων ἐστέλλετο αὐτόσε, πρὸς δὲ καὶ ἰδούσης τῆς θυγατρὸς ὄψιν ἐνυπνίου τοιήνδε· ἐδόκεέ οἱ τὸν πατέρα ἐν τῷ ἠέρι μετέωρον ἐόντα λοῦσθαι μὲν ὑπὸ τοῦ Διός, χρίεσθαι δὲ ὑπὸ τοῦ ἡλίου. ταύτην ἰδοῦσα τὴν ὄψιν παντοίη ἐγίνετο μὴ ἀποδημῆσαι τὸν Πολυκράτεα παρὰ τὸν Ὀροίτεα, καὶ δὴ καὶ ἰόντος αὐτοῦ ἐπὶ τὴν πεντηκόντερον ἐπεφημίζετο. ὁ δέ οἱ ἠπεί-*

21. *εἵνεκεν χρημάτων* 'so weit es auf Geld ankommt'.

123. 2. *κως*: zu c. 40 1.

5. *ὕστερον τούτων*, als er dem Polykrates in der Tyrannis folgte (c. 142). — *κόσμον*: vgl. die Stelle des Alexis zu c. 39 1.

11. *καταδήσας*, nach alter (homerischer) Sitte mit kunstvollen Knoten.

124. *πολλά*: zu I 208 6.

6. *παντοίη ἐγίνετο* 'bot alle Mittel der Ueberredung auf'. Vollständiger VII 10γ *παντοῖοι ἐγένοντο Σκύθαι δεόμενοι Ἴωνων λῦσαι τὸν πόρον*, IX 109 *παντοῖος ἐγίνετο οὐ βουλόμενος δοῦναι*. Der Redensart scheint die Erinnerung an das Benehmen des Proteus (Od. δ 455 ff.) zu Grunde zu liegrn (vgl. δ 417 von demselben *πάντα δὲ γιγνόμενος πειρήσεται*).

8. *ἐπεφημίζετο*, *ominosis verbis prosequuta est*. Eust. Il. p. 28 *τὸ παρ' Ἡροδότῳ ἐπιφημίζεσθαι οὐ ταὐτόν ἐστι τῷ ἐπευφημεῖν, ἀλλὰ μαντικὴ λέξις ἐστί, δηλοῦσα*

λησε, ἢν σῶς ἀπονοστήσῃ, πολλόν μιν χρόνον παρθενεύεσθαι. ἡ δὲ ἠρήσατο ἐπιτελέα ταῦτα γενέσθαι· βούλεσθαι γὰρ παρθενεύεσθαι πλέω χρόνον ἢ τοῦ πατρὸς ἐστερῆσθαι.

125 Πολυκράτης δὲ πάσης συμβουλίης ἀλογήσας ἔπλεε παρὰ τὸν Ὀροίτεα, ἅμα ἀγόμενος ἄλλους τε πολλοὺς τῶν ἑταίρων, ἐν δὲ δὴ καὶ Δημοκήδεα τὸν Καλλιφῶντος Κροτωνιήτην ἄνδρα, ἰητρόν τε ἐόντα καὶ τὴν τέχνην ἀσκέοντα ἄριστα τῶν κατ' ἑωυτόν. ἀπικόμενος δὲ ἐς τὴν Μαγνησίην ὁ Πολυκράτης διεφθάρη κακῶς, οὔτε ἑωυτοῦ ἀξίως οὔτε τῶν ἑωυτοῦ φρονημάτων· ὅτι γὰρ μὴ οἱ Συρηκοσίων γενόμενοι τύραννοι, οὐδὲ εἷς τῶν ἄλλων Ἑλληνικῶν τυράννων ἄξιός ἐστι Πολυκράτεϊ μεγαλοπρεπείην συμβληθῆναι. ἀποκτείνας δέ μιν οὐκ ἀξίως ἀπηγήσιος Ὀροίτης ἀνεσταύρωσε· τῶν δέ οἱ ἑπομένων ὅσοι μὲν ἦσαν Σάμιοι, ἀπῆκε, κελεύων σφέας ἑωυτῷ χάριν εἰδέναι ἐόντας ἐλευθέρους, ὅσοι δὲ ἦσαν ξεῖνοί τε καὶ δοῦλοι τῶν ἑπομένων, ἐν ἀνδραπόδων λόγῳ ποιεύμενος εἶχε. Πολυκράτης δὲ ἀνακρεμάμενος ἐπετέλεε πᾶσαν τὴν ὄψιν τῆς θυγατρός· ἐλοῦτο μὲν γὰρ ὑπὸ τοῦ Διὸς ὅκως ὕοι, ἐχρίετο δὲ ὑπὸ τοῦ ἡλίου, ἀνιεὶς αὐτὸς ἐκ τοῦ σώματος ἰκμάδα.

προφοράν τινα μαντείας δι' ἀναμνήσεως ἐνυπνίου.

10f. Statt *μᾶλλον βούλεσθαι* (oder auch blofs *βούλεσθαι*, zu c. 40 8) *πολλὸν χρόνον*, 'sie wolle lieber lange Zeit (wie ihr der Vater gedroht) Jungfrau als (lange Zeit) Waise sein', ist die Comparation in eigenthümlich freier Weise zu *πολλὸν χρόνον* gezogen, 'sie wünsche längere Zeit Jungfrau als Waise zu sein', da doch ihre Wahl sich auf die beiden Zustände selbst, nicht auf deren Dauer bezieht. Vgl. VI 9 19. Od. α 164 *πάντες κ' ἀρησαίατ' ἐλαφρότεροι πόδας εἶναι* (st. *μᾶλλον εἶναι ἐλαφροὶ πόδας*) *ἢ ἀφνειότεροι.*

125. 3. *τε — ἐν δὲ δή*: zu c. 38 10.

8. *Συρηκοσίων γεν. τύραννοι*, Gelon und Hieron. Von ihnen VII 153 ff.

10. *μεγαλοπρεπείην*: vgl. II 10 *πλήθεος π έ ρ ι συμβληθῆναι*, IV 42 *εὔρεος π έ ρ ι συμβαλεῖν.*

11. Nach dem Beispiele bei Ktesias Exc. Pers. 59 (*Βαγαπάτης*) *τὸ δέρμα περιαιρεθεὶς ἀνεσταυρίσθη ὑπὸ Παρυσάτιος*, läfst sich der Sinn von *οὐκ ἀξίως ἀπηγήσιος* errathen.

13. *ἐόντας ἐλευθέρους* 'für ihre Freilassung'. IX 79 *χάριν ἴσθι ἐὼν ἀπαθής.*

17f. *ὕοι*, sc. *Ζεύς* (II 13 19). — Bad und Salbung sind zusammengehörig. Od. δ 252 *ὅτε δή μιν ἐγὼ λόεον καὶ χρῖον ἐλαίῳ.* — *ἀνιεὶς*

126 *Πολυκράτεος μὲν δὴ αἱ πολλαὶ εὐτυχίαι ἐς τοῦτο ἐτελεύτησαν[, τῇ οἱ Ἄμασις ὁ Αἰγύπτου βασιλεὺς προεμαντεύσατο]· χρόνῳ δὲ οὐ πολλῷ ὕστερον καὶ Ὀροίτεα Πολυκράτεος τίσιες μετῆλθον. μετὰ γὰρ τὸν Καμβύσεω θάνατον καὶ τῶν Μάγων τὴν βασιληίην μένων ἐν τῇσι Σάρδισι Ὀροίτης ὠφέλεε μὲν οὐδὲν Πέρσας ὑπὸ Μήδων ἀπαραιρημένους τὴν ἀρχήν· ὁ δὲ ἐν ταύτῃ τῇ ταραχῇ κατὰ μὲν ἔκτεινε Μιτροβάτεα τὸν ἐκ Δασκυλείου ὕπαρχον, ὅς οἱ ὠνείδισε τὰ ἐς Πολυκράτεα ἔχοντα, κατὰ δὲ τοῦ Μιτροβάτεω τὸν παῖδα Κρανάσπην, ἄνδρας ἐν Πέρσῃσι δοκίμους, ἄλλα τε ἐξύβρισε παντοῖα, καί τινα καὶ ἀγγελιηφόρον ἐλθόντα Δαρείου παρ' αὐτόν, ὡς οὐ πρὸς ἡδονήν οἱ ἦν τὰ ἀγγελλόμενα, κτείνει μιν ὀπίσω κομιζόμενον, ἄνδρας οἱ ὑπείσας κατ'*
127 *ὁδόν, ἀποκτείνας δέ μιν ἠφάνισε αὐτῷ ἵππῳ. Δαρεῖος δὲ ὡς ἔσχε τὴν ἀρχήν, ἐπεθύμεε τὸν Ὀροίτεα τίσα-*

'ausdünstend', in Folge der Sonnenhitze.

126. 2 f. Die abgesperrten Worte fehlen in der einen Hss.-Classe. Wenn man auch den ungenauen Bezug auf *ἐς τοῦτο* übersehen will, indem Amasis nicht gerade dieses Ende, sondern überhaupt einen schlimmen Ausgang befürchtet hatte (c. 40 43), so ist doch der Ausdruck *προεμαντεύσατο* hier ganz unpassend. Das Wort kommt bei H. nicht weiter vor, und hat erst bei Späteren die allgemeine Bedeutung 'ahnen, voraussehen, voraussagen'.

4 f. *τίσιες Πολυκράτεος*: s. zu VIII 106 25. Od. λ 280 (*ἄλγεα*) *ὅσσα τε μητρὸς ἐρίνυες ἐκτελέουσιν*. — *μετῆλθον*: vgl. VI 86 γ im Orakelspruche (*πάις ὅρκου*, die *ποινή*) *κραιπνὸς δὲ μετέρχεται, εἰς ὅ κε πᾶσαν συμμάρψας ὀλέσῃ γενεὴν καὶ οἶκον ἅπαντα*. VIII 106 *Πανιώνιον περιῆλθε ἡ τίσις*. — Valckenaer stiefs an *μετὰ* – *βασιληίην* an, weil die unten erzählten Ereignisse eben in die Zeit der Magerherrschaft fielen, und verlangte deshalb *κατὰ τῶν Μάγων τ. β.* Wir wissen jetzt aber, und es war auch dem Vf. nicht ganz unbekannt (vgl. c. 127 5), dafs auch die Zeit nach den Magern für die Perser voll Gefahren und Kämpfe um die Herrschaft war. S. zu c. 88 2.

7. *Μήδων*: zu c. 65 33. — *ὁ δέ*: zu I 17 9.

8 ff. *κατὰ μὲν ἔκτεινε* – *κατὰ δέ*: zu II 141 22. — *ἐκ Δασκυλείου*: zu c. 120 11.

11. *ἄλλα ἐξύβρισε*: zu c. 33 1.

12. *ἀγγελιηφόρον*: die Lа. zweier Hss. *ἀγγαρήιον* ist eine verfehlte Glosse aus VIII 98 14. Der königliche Postcourier hiefs (persisch) *ἄγγαρος*, das Institut *ἀγγαρήιον*.

13. *τὰ ἀγγελλόμενα*, näml. seine Zurückrufung; vgl. c. 127 17 *τοὺς ἀνακαλέοντας*.

14. Vom abundanten *μιν* s. zu VII 147 8. — *ἄνδρας ὑπείσας* 'einen Hinterhalt legend' (VI 103 15). Il. ζ 189 *εἷσε λόχον*.

127. 2. Es ist nicht wahrschein-

σθαι πάντων τε τῶν ἀδικημάτων εἵνεκεν καὶ μάλιστα Μιτροβάτεω καὶ τοῦ παιδός. ἐκ μὲν δὴ τῆς ἰθέης στρατὸν ἐπ' αὐτὸν οὐκ ἐδόκεε πέμπειν ἅτε οἰδεόντων ἔτι τῶν πρηγμάτων, καὶ νεωστὶ ἔχων τὴν ἀρχήν, καὶ τὸν Ὀροίτεα μεγάλην τὴν ἰσχὺν πυνθανόμενος ἔχειν, τὸν χίλιοι μὲν Περσέων ἐδορυφόρεον, εἶχε δὲ νομὸν τόν τε Φρύγιον καὶ Λύδιον καὶ Ἰωνικόν. πρὸς ταῦτα δὴ ὦν ὁ Δαρεῖος τάδε ἐμηχανήσατο. συγκαλέσας Περσέων τοὺς λογιμωτάτους ἔλεγέ σφι τάδε. „ὦ Πέρσαι, τίς ἄν μοι τοῦτο ὑμέων ὑποστὰς ἐπιτελέσειε σοφίῃ καὶ μὴ βίῃ τε καὶ ὁμίλῳ; ἔνθα γὰρ σοφίης δεῖ, βίης ἔργον οὐδέν· ὑμέων δὲ ὦν τίς μοι Ὀροίτεα ἢ ζώοντα ἀγάγοι ἢ ἀποκτείνειε; ὃς ὠφέλησε μέν κω Πέρσας οὐδέν, κακὰ δὲ μεγάλα ἔοργε. τοῦτο μὲν δύο ἡμέων ἠίστωσε, Μιτροβάτεά τε καὶ τὸν παῖδα αὐτοῦ, τοῦτο δὲ τοὺς ἀνακαλέοντας αὐτὸν καὶ πεμπομένους ὑπ' ἐμεῦ κτείνει, ὕβριν οὐκ ἀνάσχετον φαίνων. πρίν τι ὦν μέζον ἐξεργάσασθαί μιν Πέρσας κακόν, καταλαμπτέος ἐστὶ ἡμῖν θανάτῳ." Δαρεῖος μὲν ταῦτα ἐπειρώτα, τῷ δὲ ἄν- 128
δρες τριήκοντα ὑπέστησαν, αὐτὸς ἕκαστος ἐθέλων ποιέειν ταῦτα. ἐρίζοντας δὲ Δαρεῖος κατελάμβανε κε-

lich dafs Dareios gleich nach Erlangung der Herrschaft (*ὡς ἔσχε τὴν ἀρχήν*), inmitten zahlreicher Aufstände, sich auf ein so entferntes Unternehmen eingelassen habe. Auch zeigt die Sendung des Boten (c. 126 12) dafs er schon König war, ehe er die Bestrafung des Oroetes versuchte. Ueberhaupt unterliegt H.'s Darstellung der Ereignisse nach Dareios Regierungsantritt chronologischen Bedenken (zu c. 150 1).

4. *ἐκ τῆς ἰθέης*: zu II 161 17.

5f. *οἰδεόντων*: zu c. 76 8. Ueber die Unruhen zu c. 88 2. Von den ungleichartigen parallelen Participien *οἰδεόντων – ἔχων* zu c. 20 3.

12. Il. κ 303 *τίς κέν μοι τόδε ἔργον ὑποσχόμενος τελέσειεν*, Od. γ 99 *ἤ ἔπος ἠέ τι ἔργον ὑποστὰς ἐξετέλεσσεν*.

13. *ὁμίλῳ* 'mit Geräusch' (Hermann Vig. p. 945). *ὅμιλος = θόρυβος* Hesych. Vgl. c. 79 *βοῇ τε καὶ πατάγῳ* mit IX 59 *βοῇ τε καὶ ὁμίλῳ*. — *σοφίης*: zu c. 4 12. Der Ausspruch stimmt zur sonstigen Charakteristik des Königs; vgl. zu c. 72 17. — *ἔργον*: zu I 17 12.

14. *δὲ ὦν* nimmt, nach der eingeschalteten Bemerkung *ἔνθα – οὐδέν*, die Frage wieder auf, ähnlich wie IX 45 10. *ἄν* ist nicht wiederholt, wie II 135 8.

16. *ἠίστωσε*: zu c. 69 16.

20. *καταλαμπτέος*: zu c. 69 15 und I 46 7; *nece coërcendus est*.

λεύων πάλλεσθαι· παλλομένων δὲ λαγχάνει ἐκ πάντων Βαγαῖος ὁ Ἀρτόντεω. λαχὼν δὲ ὁ Βαγαῖος ποιέει τοιάδε. βιβλία γραψάμενος πολλὰ καὶ περὶ πολλῶν ἔχοντα πρηγμάτων σφρηγῖδά σφι ἐπέβαλε τὴν Δαρείου, μετὰ δὲ ἤιε ἔχων ταῦτα ἐς τὰς Σάρδις. ἀπικόμενος δὲ καὶ Ὀροίτεω ἐς ὄψιν ἐλθών, τῶν βιβλίων ἓν ἕκαστον περιαιρεόμενος ἐδίδου τῷ γραμματιστῇ τῷ βασιληίῳ ἐπιλέγεσθαι· γραμματιστὰς δὲ βασιληίους οἱ πάντες ὕπαρχοι ἔχουσι. ἀποπειρεόμενος δὲ τῶν δορυφόρων ἐδίδου τὰ βιβλία ὁ Βαγαῖος, εἰ οἱ ἐνδεξαίατο ἀπόστασιν ἀπὸ Ὀροίτεω. ὁρέων δέ σφεας τά τε βιβλία σεβομένους μεγάλως καὶ τὰ λεγόμενα ἐκ τῶν βιβλίων ἔτι μεζόνως, διδοῖ ἄλλο ἐν τῷ ἐνῆν ἔπεα τάδε. „ὦ Πέρσαι, βασιλεὺς Δαρεῖος ἀπαγορεύει ὑμῖν μὴ δορυφορέειν Ὀροίτεα.“ οἱ δὲ ἀκούσαντες τούτων μετῆκάν οἱ τὰς αἰχμάς.

128. 4. *παλλομένων*, sc. *πάλους, κλήρους*, = *κληρουμένων*. Il. ο 190 Poseidon *ἤτοι ἐγὼ ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ Παλλομένων*.

6. *περὶ πολλῶν ἔχοντα πρηγμάτων*, *circa multas res versantia*, 'vielfachen Inhaltes'. Vgl. die nicht seltene Redeweise *ἔχειν ἀμφί τι* 'sich mit etwas beschäftigen'. VI 26 *τὰ μὲν δὴ περὶ Ἑλλήσποντον ἔχοντα πρηγματα ἐπιτράπει Βισάλτῃ*, falls nicht dort *ἐόντα* zu lesen ist (wie I 78 15), was Haupt auch an hiesiger Stelle schreiben will.

7. Schol. Thuk. I 129 *ἡ σφραγὶς τοῦ Περσῶν βασιλέως εἶχε κατὰ μέν τινας τὴν βασιλέως εἰκόνα, κατὰ δέ τινας τὴν Κύρου τοῦ πρώτου βασιλέως αὐτῶν, κατὰ δέ τινας τὸν Δαρείου ἵππον, δι' ὃν χρεμετίσαντα ἐβασίλευσεν*. Esther 3 12 'Im Namen des Königs Ahasveros ward es geschrieben und untersiegelt mit dem Ringe des Königs', 8 12 'eine Schrift, welche im Namen des Königs geschrieben und mit dem Ringe des Königs untersiegelt worden, ist nicht zu widerrufen'.

10. *περιαιρεόμενος* kann keinen Bezug auf *σφρηγῖδα* haben, 'löste das Siegel ringsum ab', zumal die Siegellösung dem *γραμματιστής* des Oroetes zukam. Das Wort wird sonst von der Wegnahme umschliessender, verhüllender Gegenstände gebraucht (zu II 151 7), hier aber bezieht es sich, mit einer auch sonst üblichen Verwechslung, nicht auf die Kapseln, in denen die Schriftrollen stecken, sondern auf diese selbst, 'indem er die Schriftrollen einzeln aus der Kapsel heraus an sich nahm'.

13. *ἐνδεξαίατο* läſst sich sowohl auf *ἐνδέκεσθαι* (*num admissuri, probaturi essent*) als auf *ἐνδείκνυσθαι* (*num significaturi essent*) zurückführen; doch ist jenes probabeler. Der Aorist, an dem Madvig Anstoſs nahm, steht wie V 30 12. VI 52 17. VII 145 15. VIII 66. IX 14 5. — *ἀπόστασιν*: eigentlich *τὸν περὶ ἀποστάσιος λόγον*.

18. *ἀκούσαντες τούτων*: zu I 45 7. — *οἱ*, dem Bagaeos, in wel-

ἰδὼν δὲ τοῦτό σφεας ὁ Βαγαῖος πειθομένους τῷ βιβλίῳ, ἐνθαῦτα δὴ θαρσήσας τὸ τελευταῖον τῶν βιβλίων διδοῖ τῷ γραμματιστῇ, ἐν τῷ ἐγέγραπτο „βασιλεὺς Δαρεῖος Πέρσῃσι τοῖσι ἐν Σάρδισι ἐντέλλεται κτείνειν Ὀροίτεα.“ οἱ δὲ δορυφόροι ὡς ἤκουσαν ταῦτα, σπασάμενοι τοὺς ἀκινάκας κτείνουσι παραυτίκα μιν. οὕτω δὴ Ὀροίτεα τὸν Πέρσην Πολυκράτεος τοῦ Σαμίου τίσιες μετῆλθον.

129 Ἀπικομένων δὲ καὶ ἀνακομισθέντων τῶν Ὀροίτεω χρημάτων ἐς τὰ Σοῦσα, συνήνεικε χρόνῳ οὐ πολλῷ ὕστερον βασιλέα Δαρεῖον ἐν ἄγρῃ θηρῶν ἀποθρώσκοντα ἀπ' ἵππου στραφῆναι τὸν πόδα. καί κως ἰσχυροτέρως ἐστράφη· ὁ γάρ οἱ ἀστράγαλος ἐξεχώρησε ἐκ τῶν ἄρθρων. νομίζων δὲ καὶ πρότερον περὶ ἑωυτὸν ἔχειν Αἰγυπτίων τοὺς δοκέοντας εἶναι πρώτους τὴν ἰητρικήν, τούτοισι ἐχρᾶτο. οἱ δὲ στρεβλοῦντες καὶ βιώμενοι τὸν πόδα κακὸν μέζον ἐργάζοντο. ἐπ' ἑπτὰ μὲν δὴ ἡμέρας καὶ ἑπτὰ νύκτας ὑπὸ τοῦ παρεόντος κακοῦ ὁ Δαρεῖος ἀγρυπνίῃσι εἴχετο, τῇ δὲ δὴ ὀγδόῃ ἡμέρῃ ἔχοντί οἱ φλαύρως, οἷα δὴ παρακούσας τις πρότερον ἔτι ἐν Σάρδισι τοῦ Κροτωνιήτεω Δημοκήδεος τὴν τέχνην ἀγγέλλει τῷ Δαρείῳ· ὁ δὲ ἄγειν μιν τὴν ταχίστην παρ' ἑωυτὸν ἐκέλευσε. τὸν δὲ ὡς ἐξεῦρον ἐν τοῖσι Ὀροί-

chem sie, nach Absetzung des Oroetes, ihren neuen Herrn erkennen. Das Niedersenken der Speere scheint ein Zeichen besonderer Ehrfurcht gewesen zu sein. Die tausend erlesenen Speerträger, die in Xerxes' Heer dem Sonnenwagen voraufgingen, trugen die Spitzen erdwärts gesenkt (VII 40). In Rom sprachen die obersten Magistrate *summissis fascibus* zum Volke; Liv. II 7 *gratum id multitudini spectaculum fuit summissa sibi esse imperii insignia confessionemque factam populi quam consulis maiestatem vimque maiorem esse.*

19. *τοῦτο — πειθομένους*, *hoc credentes*. VIII 81 *οἱ γὰρ πλεῦνες τῶν στρατηγῶν οὐκ ἐπείθοντο τὰ ἐξαγγελθέντα.*

Geschichte des Arztes Demokedes (c. 129–138).

129. *Ἀπικομένων*, von den Sklaven; *ἀνακομισθέντων*, von den Sachen.

5. *οἱ*: zu I 34 16.

6. *νομίζων* 'pflegend'.

7. Von den aeg. Aerzten s. II 84.

9. *ἐπ'*, *per*.

11. Vom Plural *ἀγρυπνίῃσι* zu c. 52 8.

12. *οἷα δὴ παρακούσας τις*, *quidam ut qui forte audivisset.*

14. *τῷ Δαρείῳ*, nach *οἱ* (12) abundant. Aehnlich c. 153 10. VI 111

τεω ἀνδραπόδοισι ὅκου δή κοτε ἀπημελημένον, παρῆγον ἐς μέσον πέδας τε ἕλκοντα καὶ ῥάκεσι ἐσθημένον.

130 *σταθέντα δὲ ἐς μέσον εἰρώτα ὁ Δαρεῖος τὴν τέχνην εἰ ἐπίσταιτο· ὁ δὲ οὐκ ὑπεδέκετο, ἀρρωδέων μὴ ἑωυτὸν ἐκφήνας τὸ παράπαν τῆς Ἑλλάδος ᾖ ἀπεστερημένος. κατεφάνη δὲ τῷ Δαρείῳ τεχνάζειν ἐπιστάμενος, καὶ τοὺς ἀγαγόντας αὐτὸν ἐκέλευσε μάστιγάς τε καὶ κέντρα παραφέρειν ἐς τὸ μέσον. ὁ δὲ ἐνθαῦτα δὴ ὦν ἐκφαίνει, φὰς ἀτρεκέως μὲν οὐκ ἐπίστασθαι, ὁμιλήσας δὲ ἰητρῷ φλαύρως ἔχειν τὴν τέχνην. μετὰ δὲ ὥς οἱ ἐπέτρεψε, Ἑλληνικοῖσι ἰήμασι χρεόμενος καὶ ἤπια μετὰ τὰ ἰσχυρὰ προσάγων ὕπνου τέ μιν λαγχάνειν ἐποίεε καὶ ἐν χρόνῳ ὀλίγῳ ὑγιέα μιν ἐόντα ἀπέδεξε, οὐδαμὰ ἔτι ἐλπίζοντα ἀρτίπουν ἔσεσθαι. δωρέεται δή μιν μετὰ ταῦτα ὁ Δαρεῖος πεδέων χρυσέων δύο ζεύγεσι· ὁ δέ μιν ἐπείρετο εἴ οἱ διπλήσιον τὸ κακὸν ἐπίτηδες νέμει, ὅτι μιν ὑγιέα ἐποίησε. ἡσθεὶς δὲ τῷ ἔπεϊ ὁ Δαρεῖος ἀποπέμπει μιν παρὰ τὰς ἑωυτοῦ γυναῖκας. παράγοντες δὲ οἱ εὐνοῦχοι ἔλεγον πρὸς τὰς γυναῖκας ὡς βασιλέι οὗτος εἴη ὃς τὴν ψυχὴν ἀπέδωκε. ὑποτύπτουσα δὲ αὐτέων ἑκάστη φιάλῃ ἐς τοῦ χρυσοῦ τὴν θήκην ἐδωρέετο Δημοκήδεα οὕτω δή τι δαψιλέι δωρεῇ ὡς τοὺς ἀποπίπτοντας ἀπὸ τῶν φιαλέων στατῆρας ἑπόμενος ὁ οἰκέτης, τῷ οὔνομα ἦν Σκίτων, ἀνελέγετο καί οἱ χρῆμα πολλόν τι χρυσοῦ συνελέχθη.*

131 *Ὁ δὲ Δημοκήδης οὗτος ὧδε ἐκ Κρότωνος ἀπιγμένος Πολυκράτεϊ ὡμίλησε. πατρὶ συνείχετο ἐν Κρότωνι*

8. Der umgekehrte Fall, wie c. 126 14, ist häufiger.

130. 2. *οὐκ ὑπεδέκετο* 'gab es nicht zu, leugnete es' (VI 69 10). 4. *τεχνάζειν* 'Ausflüchte machen' (VI 1 8), Wortspiel mit *τέχνη* (1). — *ἐπιστάμενος*, sc. *τὴν τέχνην*, 'obwohl er sie verstände'. 8. *ἔχειν* 'verstehen', wie Hes. Theog. 770 *τέχνην δὲ κακὴν ἔχει*. — *ἐπέτρεψε*, erg. *τὸ πρῆγμα* oder *τὴν ἴησιν*; vgl. zu c. 81 3. 18. *ὑποτύπτουσα*: zu II 136 24. Die Frauen gebrauchten die flachen Trinkschalen als Schöpfkellen, mit denen sie eine jede aus ihrer Goldkiste (*τὴν θήκην*) dem Demokedes Goldmünzen reichten. *θήκη χρυσοῦ*, wie IX 83 2. 22. *χρῆμα – χρυσοῦ*: zu I 36 2. — *πολλόν τι* 'gar groſs'. Zu V 33 9.

131. 2. *συνέχεσθαί τινι* eig. vom Ringkampfe, = *συμπεπλέχθαι*, *συνεστάναι* (I 214 8 f.) V 23 *ἵνα μὴ οἰκηίῳ πολέμῳ συνέχῃ*. Hier übertragen 'in Zwist leben'.

ὀργὴν χαλεπῷ· τοῦτον ἐπείτε οὐκ ἐδύνατο φέρειν, ἀπο-
λιπὼν οἴχετο ἐς Αἴγιναν. καταστὰς δὲ ἐς ταύτην πρώ-
τῳ ἔτεϊ ὑπερεβάλετο τοὺς ἄλλους ἰητρούς, ἀσκευής
περ ἐὼν καὶ ἔχων οὐδὲν τῶν ὅσα περὶ τὴν τέχνην ἐστὶ
ἐργαλήια· καί μιν δευτέρῳ ἔτεϊ ταλάντου Αἰγινῆται
δημοσίῃ μισθεῦνται, τρίτῳ δὲ ἔτεϊ Ἀθηναῖοι ἑκατὸν
μνέων, τετάρτῳ δὲ ἔτεϊ Πολυκράτης δυῶν ταλάντων.
οὕτω μὲν ἀπίκετο ἐς τὴν Σάμον, καὶ ἀπὸ τούτου τοῦ
ἀνδρὸς οὐκ ἥκιστα Κροτωνιῆται ἰητροὶ εὐδοκίμησαν·
ἐγένετο γὰρ ὦν τοῦτο ὅτε πρῶτοι μὲν Κροτωνιῆται ἰη-
τροὶ ἐλέγοντο ἀνὰ τὴν Ἑλλάδα εἶναι, δεύτεροι δὲ Κυ-
ρηναῖοι. κατὰ τὸν αὐτὸν δὲ χρόνον καὶ Ἀργεῖοι ἤκουον
μουσικὴν εἶναι Ἑλλήνων πρῶτοι. τότε δὲ ὁ Δημο- 132
κήδης ἐν τοῖσι Σούσοισι ἐξιησάμενος Δαρεῖον οἶκόν τε
μέγιστον εἶχε καὶ ὁμοτράπεζος βασιλέι ἐγεγόνεε, πλήν τε
ἑνὸς τοῦ ἐς Ἕλληνας ἀπιέναι πάντα τἆλλά οἱ παρῆν.
καὶ τοῦτο μὲν τοὺς Αἰγυπτίους ἰητρούς, οἳ βασιλέα
πρότερον ἰῶντο, μέλλοντας ἀνασκολοπιεῖσθαι ὅτι ὑπὸ

3. *ὀργήν* 'an Charakter'.

6. *περ*, *quamvis* (VIII 11 4). — *τῶν ὅσα*: zu c. 23 11.

7. *ταλάντου*, sc. *ἀργυρίου* (II 180 9). Wahrscheinlich ist bei allen drei Summen das aeginaeische Talent verstanden, welches sich an Gewicht und Werth zu dem seit Solon in Athen eingeführten euboischen und seitdem als attisches bezeichneten Talente wie 11 zu 8 verhielt.

12–15 ist eine gelehrte chronologische Notiz, die, wenn sie überhaupt dem Vf. gehört, jedenfalls erst nach Vollendung des Ganzen eingefügt sein kann (s. zu IX 83 2). Dabei ist *ἐγένετο γὰρ ὦν τοῦτο* ohne klaren Bezug zum Vorhergehenden; denn bezieht man es auf *ἀπὸ τούτου – εὐδοκίμησαν*, so enthält das Folgende *ὅτε – εἶναι* eine unleidliche Tautologie, 'sie wurden berühmt zur Zeit als sie für die ersten galten'. Die Erwähnung der Argeier endlich geschieht hier ganz ohne Anlafs.

14. *Ἀργεῖοι*: 'Früher bekannt durch ihre Vorliebe für epischen Gesang, dann wegen Sakadas, Kydias und Lasos genannt, erlangten sie durch das Ansehen grofser Musiker einen Ruf im Flöten- und Kitharspiel. Was H. um die Zeit des Polykrates ihnen nachrühmt, gilt noch über ein Jahrhundert.' *Bernhardy* gr. Lit. I 305. — *ἤκουον* = *ἐλέγοντο*, 'standen in dem Rufe'.

132. 3. Als *ὁμοτράπεζος* gehörte er zur nächsten Umgebung des Königs. Vgl. V 24 22. Xen. An. I 8 25 *πάνυ ὀλίγοι ἀμφ' αὐτὸν (Κῦρον) κατελείφθησαν, σχεδὸν οἱ ὁμοτράπεζοι καλούμενοι.*

6. *ἀνασκολοπιεῖσθαι*, passiv. Vgl. VI 11 *ἐξανδραποδιεῦνται.*

Ἕλληνος ἰητροῦ ἐσσώθησαν, τούτους βασιλέα παραιτησάμενος ἐρρύσατο· τοῦτο δὲ μάντιν Ἠλεῖον Πολυκράτεϊ ἐπισπόμενον καὶ ἀπημελημένον ἐν τοῖσι ἀνδραπόδοισι ἐρρύσατο. ἦν δὲ μέγιστον πρῆγμα Δημοκήδης παρὰ βασιλέϊ.

133 Ἐν χρόνῳ δὲ ὀλίγῳ μετὰ ταῦτα τάδε ἄλλα συνήνεικε γενέσθαι. Ἀτόσσῃ τῇ Κύρου μὲν θυγατρὶ Δαρείου δὲ γυναικὶ ἐπὶ τοῦ μαστοῦ ἔφυ φῦμα, μετὰ δὲ ἐκραγὲν ἐνέμετο πρόσω. ὅσον μὲν δὴ χρόνον ἦν ἔλασσον, ἡ δὲ κρύπτουσα καὶ αἰσχυνομένη ἔφραζε οὐδενί· ἐπείτε δὲ ἐν κακῷ ἦν, μετεπέμψατο τὸν Δημοκήδεα καί οἱ ἐπέδεξε. ὁ δὲ φὰς ὑγιέα ποιήσειν ἐξορκοῖ μιν ἦ μέν οἱ ἀντυπουργήσειν ἐκείνην τοῦτο τὸ ἂν αὐτῆς δεηθῇ· δεήσεσθαι δὲ οὐδενὸς τῶν ὅσα ἐς αἰσχύνην ἐστὶ
134 φέροντα. ὡς δὲ ἄρα μιν μετὰ ταῦτα ἰώμενος ὑγιέα ἀπέδεξε, ἐνθαῦτα δὴ διδαχθεῖσα ὑπὸ τοῦ Δημοκήδεος ἡ Ἄτοσσα προσέφερε ἐν τῇ κοίτῃ Δαρείῳ λόγον τοιόνδε. „ὦ βασιλεῦ, ἔχων δύναμιν τοσαύτην κάτησαι, οὔτε τι ἔθνος προσκτώμενος οὔτε δύναμιν Πέρσῃσι. οἰκὸς δέ ἐστι ἄνδρα καὶ νέον καὶ χρημάτων μεγάλων δεσπότην φαίνεσθαί τι ἀποδεικνύμενον, ἵνα καὶ Πέρσαι ἐκμάθωσι ὅτι ὑπ᾽ ἀνδρὸς ἄρχονται. ἐπ᾽ ἀμφότερα δέ τοι

8. *μάντιν Ἠλεῖον*, vielleicht der V 44 f. erwähnte Kallias, der sich später in Demokedes' Vaterstadt Kroton niederliefs und dessen Nachkommen H. dort kennen lernte.

10. *μέγιστον πρῆγμα* ist eine volksthümlich derbe Bezeichnung. Der Komiker Antiphanes III p. 5 Mein. *ῥαγδαῖος, ἄμαχος, πρᾶγμα μεῖζον ἢ δοκεῖς.* Eubulos das. p. 260 *εἰ δ᾽ ἐγένετο Κακὴ γυνὴ Μήδεια, Πηνελόπεια δὲ Μέγα πρᾶγμα.* Demosth. g. Lakr. 15 *οὑτοσὶ δὲ Λάκριτος Φασηλίτης, μέγα πρᾶγμα, Ἰσοκράτους μαθητής.* Auch *χρῆμα* wird ähnlich gebraucht: Polybios XII 15 *ἀνάγκη μέγα τι γεγονέναι χρῆμα καὶ θαυμάσιον τὸν Ἀγαθοκλέα.* Vgl. zu c. 157 21.

133. 3. *φῦμα*, bösartiges Geschwür.

4. *ἐνέμετο πρόσω* 'frafs weiter um sich'; öfters vom Feuer (V 101 9).

5. *ἡ δέ*: zu II 39 9.

7. *ἐξορκοῖ* 'läfst schwören' (IV 154 13. VI 74 9).

9. *τῶν ὅσα*: zu c. 23 11. — *ἐς αἰσχύνην ἐστὶ φέροντα*: zu I 10 12. VI 42 2.

134. 4. *κάτησαι, desides*; zu I 46 1.

5. Vgl. VII 8 $^{\alpha}$ 13.

6. *νέον*: zu c. 70 11.

8. *ἐπ᾽ ἀμφότερα – συμφέρει*

συμφέρει ταῦτα ποιέειν, καὶ ἵνα σφέων Πέρσαι ἐπίστωνται ἄνδρα εἶναι τὸν προεστεῶτα, καὶ ἵνα τρίβωνται πολέμῳ μηδὲ σχολὴν ἄγοντες ἐπιβουλεύωσί τοι. νῦν γὰρ ἄν τι καὶ ἀποδέξαιο ἔργον, ἕως νέος εἶς ἡλικίην· αὐξομένῳ γὰρ τῷ σώματι συναύξονται καὶ αἱ φρένες, γηράσκοντι δὲ συγγηράσκουσι καὶ ἐς τὰ πρήγματα πάντα ἀπαμβλύνονται." ἡ μὲν δὴ ταῦτα ἐκ διδαχῆς ἔλεγε, ὁ δὲ ἀμείβετο τοισίδε. „ὦ γύναι, πάντα ὅσα περ αὐτὸς ἐπινοέω ποιήσειν εἴρηκας· ἐγὼ γὰρ βεβούλευμαι ζεύξας γέφυραν ἐκ τῆσδε τῆς ἠπείρου ἐς τὴν ἑτέρην ἤπειρον ἐπὶ Σκύθας στρατεύεσθαι· καὶ ταῦτα ὀλίγου χρόνου ἔσται τελεύμενα." λέγει Ἄτοσσα τάδε. „ὅρα νυν, ἐπὶ Σκύθας μὲν τὴν πρώτην ἰέναι ἔασον· οὗτοι γάρ, ἐπεὰν σὺ βούλῃ, ἔσονταί τοι· σὺ δέ μοι ἐπὶ τὴν Ἑλλάδα στρατεύεσθαι. ἐπιθυμέω γὰρ λόγῳ πυνθανομένη Λακαίνας τέ μοι γενέσθαι θεραπαίνας καὶ Ἀργείας καὶ Ἀττικὰς καὶ Κορινθίας. ἔχεις δὲ ἄνδρα ἐπιτηδεώτατον ἀνδρῶν πάντων δέξαι τε ἕκαστα τῆς Ἑλλάδος καὶ κατηγήσασθαι τοῦτον ὅς σευ τὸν πόδα ἐξιήσατο." ἀμείβεται Δαρεῖος „ὦ γύναι, ἐπεὶ τοίνυν τοι δοκέει τῆς Ἑλλάδος ἡμέας πρῶτα ἀποπειρᾶσθαι, κατασκόπους μοι δοκέει Περσέων πρῶτον ἄμεινον εἶναι ὁμοῦ τούτῳ τῷ σὺ λέγεις πέμψαι ἐς αὐτούς, οἳ μα-

'bringt doppelten Vortheil'. Vgl. zu VII 8^{α} 7.

13 ff. Die Ansicht des Demokedes (s. oben 2) und der alten Physiker überhaupt, dafs Wachsen und Abnehmen des Seelenlebens und der Geisteskraft vom Wachsen und Abnehmen des Leibes abhänge, ergab sich aus der Ueberzeugung, dafs die Seele entweder selber materieller Natur oder doch an Leibesorgane gebunden sei. Lucret. III 445 *gigni pariter cum corpore et una Crescere sentimus pariterque senescere mentem.*

21. Statt *ἰέναι* wünscht Bekker *εἶναι* (vgl. I 153 *τὴν πρώτην εἶναι*); dann müfste das auch sonst bedenkliche *ὅρα νυν* in *στρατηίην* od. *στρατεύεσθαι* geändert werden.

22 f. *σὺ δέ*: zu I 17 9. Dabei der imperativische Infinitiv parallel zu *ἔασον*, wie V 23 *παῦσον - ποιέειν*, VI 86^{α} *σῶζε - ἀποδοῦναι*, VII 159 *ἴσθι - βοηθέειν*. Vgl. zu c. 155 27. — *λόγῳ*: zu II 150 9. Zu *πυνθανομένη* erg. *περὶ αὐτέων* od. *ἀρίστας εἶναι* ud. dgl.

27. *κατηγήσασθαι*, sc. *τὴν ὁδόν* (IX 104 8), = *κατηγεμόνα εἶναι*; vgl. IV 125 9 u. 25. V 42 12.

θόντες καὶ ἰδόντες ἕκαστα αὐτῶν ἐξαγγελέουσι ἡμῖν·
135 καὶ ἔπειτα ἐξεπιστάμενος ἐπ' αὐτοὺς τρέψομαι.“ ταῦτα
εἶπε καὶ ἅμα ἔπος τε καὶ ἔργον ἐποίεε. ἐπείτε γὰρ τά-
χιστα ἡμέρη ἐπέλαμψε, καλέσας Περσέων ἄνδρας δοκί-
μους πεντεκαίδεκα ἐνετέλλετό σφι ἑπομένους Δημοκήδεϊ
διεξελθεῖν τὰ παραθαλάσσια τῆς Ἑλλάδος, ὅκως τε μὴ
διαδρήσεταί σφεας ὁ Δημοκήδης, ἀλλά μιν πάντως
ὀπίσω ἀπάξουσι. ἐντειλάμενος δὲ τούτοισι ταῦτα, δεύ-
τερα καλέσας αὐτὸν Δημοκήδεα ἐδέετο αὐτοῦ ὅκως ἐξη-
γησάμενος πᾶσαν καὶ ἐπιδέξας τὴν Ἑλλάδα τοῖσι Πέρ-
σῃσι ὀπίσω ἥξει· δῶρα δέ μιν τῷ πατρὶ καὶ τοῖσι
ἀδελφεοῖσι ἐκέλευε πάντα τὰ ἐκείνου ἔπιπλα λαβόντα
ἄγειν, φὰς ἄλλα οἱ πολλαπλήσια ἀντιδώσειν· πρὸς δὲ
ἐς τὰ δῶρα ὁλκάδα οἱ ἔφη συμβαλέεσθαι πλήσας ἀγα-
θῶν παντοίων, τὴν ἅμα οἱ πλεύσεσθαι. Δαρεῖος μὲν
δή, δοκέειν ἐμοί, ἀπ' οὐδενὸς δολεροῦ νόου ἐπηγγέλ-
λετό οἱ ταῦτα· Δημοκήδης δὲ δείσας μή οἱ ἐκπειρῷτο
Δαρεῖος, οὔτι ἐπιδραμὼν πάντα τὰ διδόμενα ἐδέκετο,
ἀλλὰ τὰ μὲν ἑωυτοῦ κατὰ χώρην ἔφη καταλείψειν, ἵνα
ὀπίσω σφέα ἀπελθὼν ἔχοι, τὴν μέντοι ὁλκάδα, τήν ὁ
Δαρεῖος ἐπηγγέλλετο ἐς τὴν δωρεὴν τοῖσι ἀδελφεοῖσι,
δέκεσθαι ἔφη. ἐντειλάμενος δὲ καὶ τούτῳ ταῦτα ὁ Δα-
136 ρεῖος ἀποστέλλει αὐτοὺς ἐπὶ θάλασσαν. καταβάντες δὲ

135. 2. *ἔπος τε καὶ ἔργον ἐποίεε*, ein Zeugma wie Pind. Pyth. IV 104 *οὔτε ἔργον οὔτ' ἔπος εὐτράπελον κείνοισιν εἰπών*. Umgekehrt I 90 *χρηστὰ ἔργα καὶ ἔπεα ποιέειν*. Zur ganzen Redeweise vgl. IX 92 *ταῦτα τε ἅμα ἠγόρευε καὶ τὸ ἔργον προσῆγε*, Il. τ 242 *αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην τετέλεστό τε ἔργον*, das sprüchwörtliche *ἅμ' ἔπος ἅμ' ἔργον* (*dictum factum*).

5. *ὅκως τε μὴ διαδρήσεται*, abhängig von *ἐνετέλλετο*, parallel zu *διεξελθεῖν*, 'und daſs er ihnen nicht entlaufe'.

7. *ὀπίσω ἀπάξουσι*: zu c. 16 4.

13. *συμβάλλεσθαι ἔς τι* 'zu etwas beitragen, beisteuern' (IV 50 6).

16. Nahm er seine ganze Habe mit, so konnte Dareios schlieſsen, er wolle nicht wiederkommen.

17 *ἐπιδραμών* 'zufahrend, hastig zugreifend'.

18. *κατὰ χώρην* = *αὐτοῦ* oder *αὐτοῦ ταύτῃ*, 'an Ort und Stelle, daselbst' (I 169 6. IV 135 16. VIII 73 3. 78 4. 108 1. IX 55 2).

20. *ἐς τὴν δωρεήν*, erg. *συμβαλέεσθαι* (13).

21. *ταῦτα*, das oben erwähnte: *διεξελθεῖν τὰ παραθαλάσσια*. Wegen *ταῦτα* st. *ἐκεῖνα* s. zu I 1 13.

οὗτοι ἐς Φοινίκην καὶ Φοινίκης ἐς Σιδῶνα πόλιν αὐτίκα μὲν τριήρεας δύο ἐπλήρωσαν, ἅμα δὲ αὐτῇσι καὶ γαῦλον μέγαν παντοίων ἀγαθῶν· παρεσκευασμένοι δὲ πάντα ἔπλεον ἐς τὴν Ἑλλάδα, προσίσχοντες δὲ αὐτῆς τὰ παραθαλάσσια ἐθηεῦντο καὶ ἀπεγράφοντο, ἐς ὃ τὰ πολλὰ αὐτῆς καὶ οὐνομαστὰ θεησάμενοι ἀπίκοντο τῆς Ἰταλίης ἐς Τάραντα. ἐνθαῦτα δὲ ἐκ ῥηστώνης τῆς Δημοκήδεος Ἀριστοφιλίδης τῶν Ταραντίνων ὁ βασιλεὺς τοῦτο μὲν τὰ πηδάλια παρέλυσε τῶν Μηδικέων νεῶν, τοῦτο δὲ αὐτοὺς τοὺς Πέρσας εἷρξε ὡς κατασκόπους δῆθεν ἐόντας. ἐν ᾧ δὲ οὗτοι ταῦτα ἔπασχον, ὁ Δημοκήδης ἐς τὴν Κρότωνα ἀπικνέεται. ἀπιγμένου δὲ ἤδη τούτου ἐς τὴν ἑωυτοῦ ὁ Ἀριστοφιλίδης ἔλυσε τοὺς Πέρσας, καὶ τὰ παρέλαβε τῶν νεῶν ἀπέδωκέ σφι. πλέον- **137**
τες δὲ ἐνθεῦτεν οἱ Πέρσαι καὶ διώκοντες Δημοκήδεα ἀπικνέονται ἐς τὴν Κρότωνα, εὑρόντες δέ μιν ἀγοράζοντα ἅπτοντο αὐτοῦ. τῶν δὲ Κροτωνιητέων οἱ μὲν καταρρωδέοντες τὰ Περσικὰ πρήγματα προϊέναι ἕτοιμοι ἦσαν, οἱ δὲ ἀντάπτοντό τε καὶ τοῖσι σκυτάλοισι ἔπαιον

136. 2. *καὶ Φοινίκης* 'und zwar', wie I 52 6. Ueber den Weg vgl. zu c. 64 19.

4. *γαῦλος· πλοῖον Φοινικικόν* Schol., eine *ὁλκάς* (c. 135 13). Vgl. VI 17 6. VIII 97 7. Auch das Wort ist semitischen Ursprunges und bezeichnet eigentlich ein rundlich bauchiges Gefäſs (Movers Phoen. II 3 158 ff.). Festus erklärt *gaulus, genus navigii paene rotundum*, was auf die hochragenden ausgebogenen Vorder- und Hintertheile zu beziehen ist, wodurch das Schiff in seinem Längendurchschnitt sich fast einem Halbkreise näherte. Aus demselben Grunde heiſsen überhaupt die Kauffahrer *στρογγύλαι*. Von dem verwandten Worte *γαυλός* 'Waane, Schöpfeimer' (VI 119 14) unterschied man das Schiff durch anderen Accent. — *ἀγαθῶν*, nämlich *ἐπλήρωσαν*, 'füllten an' (aber 3 'bemannten').

8. *ἐκ ῥηστώνης, facilitatis ergo* 'aus Gefälligkeit gegen D.' (?). So nur eine sonst unbrauchbare Hss. aus Emendation; die anderen *ἐκ Κρηστώνης* oder als Besserung *ἐκ Κρότωνος*. Die ionische Formation erfordert *ῥηϊστώνης*. Sinngemäſser aber wäre *ἐκ χρησμοσύνης* 'in Folge einer Bitte'. Das Wort *χρησμοσύνη* noch IX 33 22.

9. *Ἀριστοφιλίδης*, wahrscheinlich ein Phalanthiade, aus dem herrschenden Geschlechte des Stifters Phalanthus.

10. *νεῶν*, von *παρέλυσε* abhängig.

15. *παρέλαβε*, *ademerat*. Vgl. zu c. 7 3.

137. 6. *ἀντάπτοντο*, sc. *αὐτοῦ*. — *τοῖσι σκυτάλοισι*, die sie nach ererbter lakonischer Sitte trugen.

τοὺς Πέρσας προϊσχομένους ἔπεα τάδε. „ἄνδρες Κροτωνιῆται, ὁρᾶτε τὰ ποιέετε. ἄνδρα βασιλέος δρηπέτην γενόμενον ἐξαιρέεσθε. κῶς ταῦτα βασιλέϊ Δαρείῳ ἐκχρήσει περιυβρίσθαι; κῶς δὲ ὑμῖν τὰ ποιεύμενα ἕξει καλῶς, ἢν ἀπέλησθε ἡμέας; ἐπὶ τίνα δὲ τῆσδε προτέρην στρατευσόμεθα πόλιν; τίνα δὲ προτέρην ἀνδραποδίζεσθαι πειρησόμεθα;“ ταῦτα λέγοντες τοὺς Κροτωνιήτας οὔκων ἔπειθον, ἀλλ' ἐξαιρεθέντες τε τὸν Δημοκήδεα καὶ τὸν γαῦλον τὸν ἅμα ἤγοντο ἀπαιρεθέντες, ἀπέπλεον ὀπίσω ἐς τὴν Ἀσίην, οὐδ' ἔτι ἐζήτησαν τὸ προσωτέρω τῆς Ἑλλάδος ἀπικόμενοι ἐκμαθεῖν, ἐστερημένοι τοῦ ἡγεμόνος. τοσόνδε μέντοι ἐνετείλατό σφι Δημοκήδης ἀναγομένοισι, κελεύων εἰπεῖν σφεας Δαρείῳ ὅτι ἅρμοσται τὴν Μίλωνος θυγατέρα Δημοκήδης γυναῖκα. τοῦ γὰρ δὴ παλαιστέω Μίλωνος ἦν οὔνομα πολλὸν παρὰ βασιλέϊ· κατὰ δὲ τοῦτό μοι δοκέει σπεῦσαι τὸν γάμον τοῦτον τελέσας χρήματα μεγάλα Δημοκήδης, ἵνα φανῇ πρὸς

138 Δαρείου ἐὼν καὶ ἐν τῇ ἑωυτοῦ δόκιμος. ἀναχθέντες δὲ ἐκ τῆς Κρότωνος οἱ Πέρσαι ἐκπίπτουσι τῇσι νηυσὶ ἐς Ἰηπυγίην, καί σφεας δουλεύοντας ἐνθαῦτα Γίλλος ἀνὴρ Ταραντῖνος φυγὰς ῥυσάμενος ἀπήγαγε παρὰ βασιλέα Δαρεῖον. ὁ δὲ ἀντὶ τούτων ἑτοῖμος ἦν διδόναι

9. Eig 'wie wird es dem Könige Dareios genügen diese Beleidigung erlitten zu haben', erg. 'ohne sich zu rächen', d. i. 'wie wird sich Dareios diese Beleidigung gefallen lassen'. Vgl. zu IV 118 16.

11. *τῆσδε* = *ἢ ἐπὶ τήνδε*; vgl. I 133 3.

13. *οὔκων*, *non tamen*. S. zu I 11 17. — Athenaeos 522[c] fügt noch die Notiz hinzu: *ἐκδύσαντες τὴν στολὴν τοῦ Πέρσου ἐνέδυσαν τὸν ὑπηρέτην τοῦ πρυτανεύοντος· ἐξ οὗ δὴ Περσικὴν ἔχων στολὴν* (vgl. zu c. 84 5) *περιέρχεται ταῖς ἑβδόμαις τοὺς βωμοὺς μετὰ τοῦ πρυτάνεως, οὐ τρυφῆς χάριν οὐδ' ὕβρεως ἀλλ' ἐπηρείας τῆς εἰς τοὺς Πέρσας τοῦτο πράττοντες.*

19. *ἁρμόζεσθαι* 'sich verloben mit' (V 32 11. 47 2. VI 65 6).

21. *πολλόν*: zu I 75 10. Milon's Ruhm war auf seine zahlreichen Siege in den hellenischen Nationalspielen gegründet (Paus. VI 14 5).

22. *κατὰ τοῦτο* 'aus diesem Grunde' (IV 48 3).

23. *πρός* 'von Seiten, in den Augen'. Aehnlich *παρά* c. *dat.* I 32 48. Vgl. I 120 28. IV 144 3. VII 139 2.

138. 2. *ἐκπίπτουσι* = *ἐκβάλλονται* (II 113 4), *ἀποφέρονται* (IV 179 7), 'werden verschlagen'.

τοῦτο ὅ τι βούλοιτο αὐτός. Γίλλος δὲ αἱρέεται κάτοδόν οἱ ἐς Τάραντα γενέσθαι, προαπηγησάμενος τὴν συμφορήν· ἵνα δὲ μὴ συνταράξῃ τὴν Ἑλλάδα, ἤν δι᾽ αὐτὸν στόλος μέγας πλέῃ ἐπὶ τὴν Ἰταλίην, Κνιδίους μούνους ἀποχρᾶν οἱ ἔφη τοὺς κατάγοντας γίνεσθαι, δοκέων ἀπὸ τούτων ἐόντων τοῖσι Ταραντίνοισι φίλων μάλιστα δὴ τὴν κάτοδόν οἱ ἔσεσθαι. Δαρεῖος δὲ ὑποδεξάμενος ἐπετέλεε· πέμψας γὰρ ἄγγελον ἐς Κνίδον κατάγειν σφέας ἐκέλευε Γίλλον ἐς Τάραντα. πειθόμενοι δὲ Δαρείῳ Κνίδιοι Ταραντίνους οὔκων ἔπειθον, βίην δὲ ἀδύνατοι ἦσαν προσφέρειν. ταῦτα μέν νυν οὕτω ἐπρήχθη. οὗτοι δὲ πρῶτοι ἐκ τῆς Ἀσίης ἐς τὴν Ἑλλάδα ἀπίκοντο Πέρσαι, καὶ οὗτοι διὰ τοιόνδε πρῆγμα κατάσκοποι ἐγένοντο.

Μετὰ δὲ ταῦτα Σάμον βασιλεὺς Δαρεῖος αἱρέει, **139** πολίων πασέων πρώτην Ἑλληνίδων καὶ βαρβάρων, διὰ τοιήνδε τινὰ αἰτίην. Καμβύσεω τοῦ Κύρου στρατευομένου ἐπ᾽ Αἴγυπτον ἄλλοι τε συχνοὶ ἐς τὴν Αἴγυπτον ἀπίκοντο Ἑλλήνων, οἱ μέν, ὡς οἰκός, κατ᾽ ἐμπορίην, οἱ δὲ στρατευόμενοι, οἱ δέ τινες καὶ αὐτῆς τῆς χώρης

8. *τὴν συμφορήν*, 'sein Unglück', die Geschichte seiner Verbannung. — *Ἑλλάδα*: dazu gehörte alles von Hellenen bewohnte Land, also auch das hellenische Unteritalien; vgl. I 92 3. II 182 1. VII 157 12.

10. *κατάγοντας*: zu I 60 25.

11 f. Tarent und Knidos waren beide lakedaemonische Colonien (I 174). — *μάλιστα δή* 'am allerhöchsten'. Von den übrigen dem Könige unterthanen Städten stand keine den Tarentinern so nahe. *δή*, zur Steigerung des Superlativs, wie oben c. 10 10. V 28 6. VI 127 2 u. 13. VII 170 18.

14 f. *πειθόμενοι — ἔπειθον*: vgl. I 8 *καί σεο δέομαι μὴ δέεσθαι ἀνόμων*. — *οὔκων ἔπειθον*, wie oben c. 137 13.

16. *ταῦτα μέν*, entspr. c. 139 1 *μετὰ δὲ ταῦτα*.

17 ff. Diese Bemerkung soll die Episode vom Demokedes, als dem Thema des Werkes nicht fremd, entschuldigen. — *τοιόνδε*: zu I 137 2.

Syloson. Perser auf Samos (c. 139–149).

139. 2. *πρώτην*: vgl. VI 109 17. Dies gilt natürlich nur für die Zeit des Ereignisses. Vgl. übrigens c. 60 und Einl. S. 10. — *πολίων*, *civitatum*. Von Inseln noch VIII 66 15.

4. *ἐς τὴν Αἴγυπτον*, nach Mittel- und Oberaegypten; das Delta stand den Hellenen schon seit Psammetichos offen.

6. *στρατευόμενοι*, im Contingente der Ioner und Aeoler (c. 1).

θεηταί· τῶν ἦν καὶ Συλοσῶν ὁ Αἰάκεος, Πολυκράτεός τε ἐὼν ἀδελφεὸς καὶ φεύγων ἐκ Σάμου. τοῦτον τὸν Συλοσῶντα κατέλαβε εὐτυχίη τις τοιήδε. λαβὼν χλανίδα καὶ περιβαλλόμενος πυρρὴν ἠγόραζε ἐν τῇ Μέμφι· ἰδὼν δὲ αὐτὸν Δαρεῖος, δορυφόρος τε ἐὼν Καμβύσεω καὶ λόγου οὐδενός κω μεγάλου, ἐπεθύμησε τῆς χλανίδος καὶ αὐτὴν προσελθὼν ὠνέετο. ὁ δὲ Συλοσῶν ὁρέων τὸν Δαρεῖον μεγάλως ἐπιθυμέοντα τῆς χλανίδος, θείῃ τύχῃ χρεόμενος λέγει „ἐγὼ ταύτην πωλέω μὲν οὐδενὸς χρήματος, δίδωμι δὲ ἄλλως, εἴ περ οὕτω δεῖ γενέσθαι πάντως τοι.“ αἰνέσας ταῦτα ὁ Δαρεῖος παραλαμβάνει τὸ

140 εἷμα. ὁ μὲν δὴ Συλοσῶν ἠπίστατό οἱ τοῦτο ἀπολωλέναι δι' εὐηθείην· ὡς δὲ τοῦ χρόνου προβαίνοντος Καμβύσης τε ἀπέθανε καὶ τῷ Μάγῳ ἐπανέστησαν οἱ ἑπτὰ καὶ ἐκ τῶν ἑπτὰ Δαρεῖος τὴν βασιληίην ἔσχε, πυνθάνεται ὁ Συλοσῶν ὡς ἡ βασιληίη περιεληλύθοι ἐς τοῦτον τὸν ἄνδρα τῷ κοτε αὐτὸς ἔδωκε ἐν Αἰγύπτῳ δεηθέντι τὸ εἷμα. ἀναβὰς δὲ ἐς τὰ Σοῦσα ἵζετο ἐς τὰ πρόθυρα τῶν βασιλέος οἰκίων καὶ ἔφη Δαρείου εὐεργέτης εἶναι. ἀγγέλλει ταῦτα ἀκούσας ὁ πυλουρὸς τῷ βασιλέϊ· ὁ δὲ θωυμάσας λέγει πρὸς αὐτόν „καὶ τίς ἐστι Ἑλλήνων εὐεργέτης, τῷ ἐγὼ προαιδεῦμαι, νεωστὶ μὲν

7. Statt *τῶν ἦν καὶ Σ.* sollte, wegen *ἄλλοι τε συχνοί* (4), eigentlich *καὶ δὴ καὶ Σ.* folgen; die relativische Fügung empfahl sich aber, da S., als zu einer der drei Classen gehörig, nicht füglich abgesondert und in Gegensatz zu ihnen genannt werden konnte.

8. *φεύγων* 'verbannt'; s. c. 39 6.

9. *κατέλαβε εὐτυχίη*: zu VIII 6 9.

10. *πυρρήν*: vgl. zu I 152 4. Von übermäfsigem Kleiderprunk sagte man fortan sprüchwörtlich *ἡ Συλοσῶντος χλαμύς*.

11f. S. jedoch zu c. 70 10.

13. *ὠνέετο* 'wollte kaufen': vgl. I 68 26. 69 16.

14. *θείῃ τύχῃ χρ.*, nicht aus freiem Antriebe und mit klarem Bewufstsein, sondern *divino quodam instinctu*. S. zu I 62 15.

16f. Verb. *οὕτω πάντως* (vgl. VII 46 12), 'wenn sie dir denn so durchaus zu Theil werden mufs'. Zu der resignirenden Redeformel vgl. IV 127 *εἰ δὲ δεῖ πάντως ἐς τοῦτο κατὰ τάχος ἀπικνέεσθαι*, VII 10 η *εἰ δὴ δεῖ γε πάντως ἐπὶ τοὺς ἄνδρας τούτους στρατεύεσθαι.* — *αἰνέσας ταῦτα* 'auf den Vorschlag eingehend', wie IX 34 14.

140. *ἠπίστατο* 'glaubte' (I 3 4).

5. *περιεληλύθοι*: zu I 7 2.

8. *εὐεργέτης*: zu VIII 85 13.

11. *προαιδεῦμαι*: zu I 61 17. —

τὴν ἀρχὴν ἔχων, ἀναβέβηκε δ' ἤ τις ἢ οὐδείς κω παρ'
ἡμέας αὐτῶν, ἔχω δὲ χρέος ὡς εἰπεῖν οὐδὲν ἀνδρὸς Ἕλλη-
νος. ὅμως δὲ αὐτὸν παράγετε ἔσω, ἵνα εἰδέω τί θέλων
λέγει ταῦτα.“ παρῆγε ὁ πυλουρὸς τὸν Συλοσῶντα, στάν-
τα δὲ ἐς μέσον εἰρώτευν οἱ ἑρμηνέες τίς τε εἴη καὶ τί
ποιήσας εὐεργέτης φησὶ εἶναι βασιλέος. εἶπε ὦν ὁ Συ-
λοσῶν πάντα τὰ περὶ τὴν χλανίδα γενόμενα, καὶ ὡς
αὐτὸς εἴη κεῖνος ὁ δούς. ἀμείβεται πρὸς ταῦτα Δαρεῖος
„ὦ γενναιότατε ἀνδρῶν, σὺ κεῖνος εἶς ὃς ἐμοὶ οὐδεμίαν
ἔχοντί κω δύναμιν ἔδωκας, εἰ καὶ σμικρά, ἀλλ' ὦν
ἴση γε ἡ χάρις ὁμοίως ὡς εἰ νῦν κοθέν τι μέγα λά-
βοιμι. ἀντ' ὧν τοι χρυσὸν καὶ ἄργυρον ἄπλετον δίδωμι,
ὡς μή κοτέ τοι μεταμελήσῃ Δαρεῖον τὸν Ὑστάσπεος
εὖ ποιήσαντι.“ λέγει πρὸς ταῦτα ὁ Συλοσῶν „ἐμοὶ μή-
τε χρυσόν, ὦ βασιλεῦ, μήτε ἄργυρον δίδου, ἀλλ' ἀνα-
σωσάμενός μοι δὸς τὴν πατρίδα Σάμον, τὴν νῦν ἀδελ-
φεοῦ τοῦ ἐμοῦ Πολυκράτεος ἀποθανόντος ὑπὸ Ὀροίτεω
ἔχει δοῦλος ἡμέτερος, ταύτην μοι δὸς ἄνευ τε φόνου καὶ
ἐξανδραποδίσιος.“ ταῦτα ἀκούσας Δαρεῖος ἀπέστελλε **141**
στρατιήν τε καὶ στρατηγὸν Ὀτάνεα ἀνδρῶν τῶν ἑπτὰ
γενόμενον, ἐντειλάμενος, ὅσων ἐδεήθη ὁ Συλοσῶν, ταῦτά
οἱ ποιέειν ἐπιτελέα. καταβὰς δὲ ἐπὶ τὴν θάλασσαν
ὁ Ὀτάνης ἔστελλε τὴν στρατιήν. τῆς δὲ Σάμου Μαι- **142**
άνδριος ὁ Μαιανδρίου εἶχε τὸ κράτος, ἐπιτροπαίην
παρὰ Πολυκράτεος λαβὼν τὴν ἀρχήν· τῷ δικαιοτάτῳ
ἀνδρῶν βουλομένῳ γενέσθαι οὐκ ἐξεγένετο. ἐπειδὴ γάρ

νεωστὶ – ἔχων = ἐπεί γε νεωστὶ – ἔχω

12. *ἤ τις ἢ οὐδείς*, Formel, 'so gut wie keiner'. Freilich lebten um die Zeit schon der Arzt Demokedes und ein Eleier (c. 132) an seinem Hofe.

13. *ὡς εἰπεῖν οὐδέν*: zu II 21 2. Der König denkt an die Heilung, die er dem Demokedes schuldet.

16f. *εἴη – φησί*: s. zu V 13 7.

22. *χάρις*, *beneficium*. *ὁμοίως ὡς*, *haud secus ac*.

24. *τοῦ Ὑστάσπεος*, mit Emphase zugefügt. Vgl. c. 69 20.

29. *δοῦλος*, der Schreiber des Polykrates, Maeandrios, den Syloson mit verächtlicher Beziehung auf seinen früheren Dienst so nennt, der aber in der That ein samischer Bürger (c. 123 4), wenn auch niederer Herkunft war (c. 142 24).

141. 2. *Ὀτάνης*: zu c. 68 3.

5. *ἔστελλε*, setzte für die Ueberfahrt in Bereitschaft.

οἱ ἐξηγγέλθη ὁ Πολυκράτεος θάνατος, ἐποίεε τοιάδε· πρῶτα μὲν Διὸς ἐλευθερίου βωμὸν ἱδρύσατο, καὶ τέμενος περὶ αὐτὸν οὔρισε τοῦτο τὸ νῦν ἐν τῷ προαστείῳ ἐστί· μετὰ δὲ ὥς οἱ ἐπεποίητο, ἐκκλησίην συναγείρας πάντων τῶν ἀστῶν ἔλεξε τάδε. „ἐμοί, ὡς ἴστε καὶ ὑμεῖς, σκῆπτρον καὶ δύναμις πᾶσα ἡ Πολυκράτεος ἐπιτέτραπται, καί μοι παρέχει νῦν ὑμέων ἄρχειν. ἐγὼ δὲ τὰ τῷ πέλας ἐπιπλήσσω, αὐτὸς κατὰ δύναμιν οὐ ποιήσω· οὔτε γάρ μοι Πολυκράτης ἤρεσκε δεσπόζων ἀνδρῶν ὁμοίων ἑωυτῷ, οὔτε ἄλλος ὅστις τοιαῦτα ποιέει. Πολυκράτης μέν νυν ἐξέπλησε μοῖραν τὴν ἑωυτοῦ, ἐγὼ δὲ ἐς μέσον τὴν ἀρχὴν τιθεὶς ἰσονομίην ὑμῖν προαγορεύω. τοσάδε μέντοι δικαιῶ γέρεα ἐμεωυτῷ γενέσθαι, ἐκ μέν γε τῶν Πολυκράτεος χρημάτων ἐξαίρετα ἓξ τάλαντά μοι γενέσθαι, ἱρωσύνην δὲ πρὸς τούτοισι αἱρεῦμαι αὐτῷ τέ μοι καὶ τοῖσι ἀπ' ἐμεῦ αἰεὶ γινομένοισι τοῦ Διὸς τοῦ ἐλευθερίου, τῷ αὐτός τε ἱρὸν ἱδρυσάμην καὶ τὴν ἐλευθερίην ὑμῖν περιτίθημι.“ ὁ μὲν δὴ ταῦτα

142. 6. *ἐλευθερίου*, als Zeugen und Beschützers der hergestellten Freiheit. Vgl. zu I 44 5. — *βωμὸν — καὶ τέμενος* zusammen, wie Il. Θ 48 *ἔνθα δέ οἱ τέμενος βωμός τε θυήεις*.

7. *προαστείῳ*: zu c. 54 2.

9. *τῶν ἀστῶν*, der Vollbürger (vgl. 24).

10. Soph. O. C. 425 *ὃς νῦν σκῆπτρα καὶ θρόνους ἔχει*. Vgl VII 52 13.

12. Dasselbe Motiv VII 136 14.

16. *ἐς μέσον — τιθείς*: zu c. 80 5.

18. *μέν γε*, bei der Aufzählung wie I 145 7. — *ἐξαίρετα* 'vorab'. Der Rest sollte in die Staatskasse fliessen.

19. *ἱρωσύνην*: vgl. IV 161 14. VII 153 16.

20 *μοι*; die Hss. haben *ἐμοί*. Die enklitische Form hat Bekker hergestellt, dem homerischen Gebrauche gemäss, den H. in dieser Verbindung von *αὐτός* mit nachfolgendem personalen Pronomen nachahmt (z. B. Il. ε 459 *αὐτὰρ ἔπειτ' αὐτῷ μοι ἐπέσσυτο δαίμονι ἶσος*). S. noch IV 134 13. VII 28 11 und I 24 12. II 100 16. III 72 26. 145 17. V 49 10. 91 12. 98 13.

21. *τῷ* 'denn diesem'. — 'Ein analoger Fall kommt in einer Inschrift aus Gythium in Lakonien vor, bei Lebas Revue archéol. II p. 207. Ein verfallener Tempel des Apollon war von einem gewissen Philemon aus eigenen Mitteln wiederhergestellt, und deswegen wird das Priesterthum darin ihm und seinen Nachkommen durch Volksbeschluss erblich übergeben'. Schoemann gr. Alterth. II 402.

22. *περιτίθημι*: zu I 129 12. Simonides im Epigramm auf die Dreihundert: *Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίην περιθεῖναι*

τοῖσι Σαμίοισι ἐπηγγέλλετο· τῶν δέ τις ἐξαναστὰς εἶπε
„ἀλλ' οὐδ' ἄξιος εἶς σύ γε ἡμέων ἄρχειν, γεγονώς τε
κακῶς καὶ ἐὼν ὄλεθρος· ἀλλὰ μᾶλλον ὅκως λόγον δώ-
σεις τῶν μετεχείρισας χρημάτων.“ ταῦτα εἶπε ἐὼν ἐν 143
τοῖσι ἀστοῖσι δόκιμος, τῷ οὔνομα ἦν Τελέσαρχος.
Μαιάνδριος δὲ νόῳ λαβὼν ὡς, εἰ μετήσει τὴν ἀρχήν,
ἄλλος τις ἀντ' αὐτοῦ τύραννος καταστήσεται, οὐ δή τι
ἐν νόῳ εἶχε μετιέναι αὐτήν, ἀλλ' ὡς ἀνεχώρησε ἐς τὴν
ἀκρόπολιν, μεταπεμπόμενος ἕνα ἕκαστον ὡς δὴ λόγον
τῶν χρημάτων δώσων, συνέλαβέ σφεας καὶ κατέδησε.
οἱ μὲν δὴ ἐδεδέατο, Μαιάνδριον δὲ μετὰ ταῦτα κατέ-
λαβε νοῦσος. ἐλπίζων δέ μιν ἀποθανέεσθαι ὁ ἀδελφεός,
τῷ οὔνομα ἦν Λυκάρητος, ἵνα εὐπετεστέρως κατάσχῃ
τὰ ἐν τῇ Σάμῳ πρήγματα, κατακτείνει τοὺς δεσμώτας
πάντας· οὐ γὰρ δή, ὡς οἴκασι, ἐβούλοντο εἶναι ἐλεύ-
θεροι. ἐπειδὴ ὦν ἀπίκοντο ἐς τὴν Σάμον οἱ Πέρσαι 144
κατάγοντες Συλοσῶντα, οὔτε τίς σφι χεῖρας ἀνταείρε-
ται, ὑπόσπονδοί τε ἔφασαν εἶναι ἑτοῖμοι οἵ τε τοῦ Μαι-
ανδρίου στασιῶται καὶ αὐτὸς Μαιάνδριος ἐκχωρῆσαι ἐκ
τῆς νήσου. καταινέσαντος δὲ ἐπὶ τούτοισι Ὀτάνεω καὶ
σπεισαμένου, τῶν Περσέων οἱ πλείστου ἄξιοι θρόνους
θέμενοι κατεναντίον τῆς ἀκροπόλιος κατέατο. Μαιαν- 145
δρίῳ δὲ τῷ τυράννῳ ἦν ἀδελφεὸς ὑπομαργότερος, τῷ
οὔνομα ἦν Χαρίλεως· οὗτος ὁτιδὴ ἐξαμαρτὼν ἐν γορ-

Κείμεθ' ἀγηράντῳ χρώμενοι εὐλογίῃ.

24f. *γεγονὼς κακῶς*, ein ἀνὴρ δημότης. Vgl. zu c. 69 4. 140 29. — *ὄλεθρος*, ein Schimpfwort, = ὀλέθρου ἄξιος καὶ ἀπωλείας (Bekker. Anecd. 401). Menander (IV 229 Mein.) gebraucht es als extremes Gegentheil von εὐγενής ('Lump'), und ebenso Demosth g. Philipp. III 31 Φιλίππου – οὐ μόνον οὐχ Ἕλληνος ὄντος οὐδὲ προσήκοντος οὐδὲν τοῖς Ἕλλησιν, ἀλλ' οὐδὲ βαρβάρου ἐντεῦθεν ὅθεν καλὸν εἰπεῖν ἀλλ' ὀλέθρου Μακεδόνος. Vgl. auch *βλάβη, ζημία, pernicies, pestis*. — *ἀλλὰ μᾶλλον*, erg. ὅρα (c. 36 7).

143. 4. *οὐ δή τι, haud sane.*

6. *ἀκρόπολιν*: zu c. 54 2. — *ὡς δή = ὡς δῆθεν, scilicet tanquam* (c. 156 2. VII 17 8. IX 59 3).

10. *Λυκάρητος*, erhielt später von den Persern die Herrschaft über die Insel Lemnos (V 27).

12. *ὡς οἴκασι*, ironisch, *videlicet.*

144. 2f. *οὔτε – τε*: zu I 59 32.

7. *κατέατο*: zu c. 146 18.

145. 2. *ὑπομαργότερος*: zu c. 29 2.

3. *γοργύρη* (von *γοργός, hor-*

γύρῃ ἐδέδετο· καὶ δὴ τότε ἐπακούσας τε τὰ πρησσόμενα καὶ διακύψας διὰ τῆς γοργύρης, ὡς εἶδε τοὺς Πέρσας εἰρηναίως κατημένους, ἐβόα τε καὶ ἔφη λέγων Μαιανδρίῳ θέλειν ἐλθεῖν ἐς λόγους. ἐπακούσας δὲ ὁ Μαιάνδριος λύσαντας αὐτὸν ἐκέλευε ἄγειν παρ' ἑωυτόν. ὡς δὲ ἤχθη τάχιστα, λοιδορέων τε καὶ κακίζων μιν ἀνέπειθε ἐπιθέσθαι τοῖσι Πέρσῃσι, λέγων τοιάδε. „ἐμὲ μέν, ὦ κάκιστε ἀνδρῶν, ἐόντα σεωυτοῦ ἀδελφεὸν καὶ ἀδικήσαντα οὐδὲν ἄξιον δεσμοῦ δήσας γοργύρης ἠξίωσας· ὁρέων δὲ τοὺς Πέρσας ἐκβάλλοντάς τέ σε καὶ ἄνοικον ποιεῦντας οὐ τολμᾷς τίσασθαι, οὕτω δή τι ἐόντας εὐπετέας χειρωθῆναι; ἀλλ' εἴ τοι σύ σφεας καταρρώδηκας, ἐμοὶ δὸς τοὺς ἐπικούρους, καί σφεας ἐγὼ τιμωρήσομαι τῆς ἐνθάδε ἀπίξιος· αὐτὸν δέ σε ἐκπέμψαι

146 ἐκ τῆς νήσου ἑτοῖμός εἰμι.“ ταῦτα ἔλεξε ὁ Χαρίλεως· Μαιάνδριος δὲ ὑπέλαβε τὸν λόγον, ὡς μὲν ἐγὼ δοκέω, οὐκ ἐς τοῦτο ἀφροσύνης ἀπικόμενος ὡς δόξαι τὴν ἑωυτοῦ δύναμιν περιέσεσθαι τῆς βασιλέος, ἀλλὰ φθονήσας μᾶλλον Συλοσῶντι, εἰ ἀπονητὶ ἔμελλε ἀπολάμψεσθαι ἀκέραιον τὴν πόλιν. ἐρεθίσας ὦν τοὺς Πέρσας ἤθελε ὡς ἀσθενέστατα ποιῆσαι τὰ Σάμια πρήγματα καὶ οὕτω παραδιδόναι, εὖ ἐξεπιστάμενος ὡς παθόντες οἱ Πέρσαι κακῶς προσεμπικρανέεσθαι ἔμελλον τοῖσι Σαμίοισι, εἰδώς τε ἑωυτῷ ἀσφαλέα ἔκδυσιν ἐοῦσαν ἐκ τῆς νήσου τότε ἐπεὰν αὐτὸς βούληται· ἐπεποίητο γάρ οἱ κρυπτὴ διῶρυξ ἐκ τῆς ἀκροπόλιος φέρουσα ἐπὶ θάλασσαν. αὐτὸς μὲν δὴ ὁ Μαιάνδριος ἐκπλέει ἐκ τῆς Σάμου· τοὺς δ' ἐπικούρους πάντας ὁπλίσας ὁ Χαρίλεως καὶ ἀναπετάσας τὰς πύλας, ἐξῆκε ἐπὶ τοὺς Πέρσας οὔτε προσ-

rendus)· *δησμωτήριον ὑπόγαιον* Schol. Da das Wort auch *ὑπόνομος δι' οὗ ὕδατα ὑπεξήει* (Bekk. Anecd. p 233 u s.) erklärt wird, darf man vermuthen, der oben c 60 beschriebene, am Fuſse der Akropolis mündende Tunnel habe zugleich als Gefängniſs gedient.

6. *ἔφη λέγων*: zu I 118 7.
14. *οὕτω δή τι*: zu I 163 10.
15. *εἴ τοι*, wie V 39 8.
16. *τοὺς ἐπικούρους*: s c. 45 15.
146. 2. *μέν*, ohne entsprechendes *δέ*. S. zu I 131 4.
15. *τὰς πύλας*, sc. *τῆς ἀκροπόλιος*.

δεκομένους τοιοῦτο οὐδὲν δοκέοντάς τε δὴ πάντα συμβε-
βάναι. ἐμπεσόντες δὲ οἱ ἐπίκουροι τῶν Περσέων τοὺς
διφροφορευμένους τε καὶ λόγου πλείστου ἐόντας ἔκτει-
νον. καὶ οὗτοι μὲν ταῦτα ἐποίευν, ἡ δὲ ἄλλη στρατιὴ
ἡ Περσικὴ ἐπεβοήθεε· πιεζεύμενοι δὲ οἱ ἐπίκουροι ὀπί-
σω κατειλήθησαν ἐς τὴν ἀκρόπολιν. Ὀτάνης δὲ ὁ στρα- 147
τηγὸς ἰδὼν πάθος μέγα Πέρσας πεπονθότας, ἐντολὰς
μὲν τὰς Δαρεῖός οἱ ἀποστέλλων ἐνετέλλετο, μήτε κτεί-
νειν μηδένα Σαμίων μήτε ἀνδραποδίζεσθαι ἀπαθέα τε
κακῶν ἀποδοῦναι τὴν νῆσον Συλοσῶντι, τουτέων μὲν τῶν
ἐντολέων μεμνημένος ἐπελανθάνετο, ὁ δὲ παρήγγειλε τῇ
στρατιῇ πάντα τὸν ἂν λάβωσι, καὶ ἄνδρα καὶ παῖδα,
ὁμοίως κτείνειν. ἐνθαῦτα τῆς στρατιῆς οἱ μὲν τὴν ἀκρό-
πολιν ἐπολιόρκεον, οἱ δὲ ἔκτεινον πάντα τὸν ἐμποδὼν
γινόμενον, ὁμοίως ἔν τε ἱρῷ καὶ ἔξω ἱροῦ. Μαιάν- 148
δριος δὲ ἀποδρὰς ἐκ τῆς Σάμου ἐκπλέει ἐς Λακεδαί-
μονα· ἀπικόμενος δὲ ἐς αὐτὴν καὶ ἀνενεικάμενος τὰ
ἔχων ἐξεχώρησε, ἐποίεε τοιάδε· ὅκως ποτήρια ἀργύρεά
τε καὶ χρύσεα προθέοιτο, οἱ μὲν θεράποντες αὐτοῦ ἐξέ-
σμων αὐτά, ὁ δ' ἂν τὸν χρόνον τοῦτον τῷ Κλεομένεϊ
τῷ Ἀναξανδρίδεω ἐν λόγοισι ἐών, βασιλεύοντι Σπάρτης,
προῆγέ μιν ἐς τὰ οἰκία· ὅκως δὲ ἴδοιτο Κλεομένης τὰ
ποτήρια, ἀπεθώμαζέ τε καὶ ἐξεπλήσσετο· ὁ δὲ ἂν ἐκέ-

16. *πάντα συμβεβάναι*, *convenisse omnia*, 'sie hätten alles vereinbart'.

18. *διφροφορευμένους· φορείοις φερομένους* Schol. Ein nach Analogie von *δορυφορεῖσθαι* gebildetes Wort, welches nicht sowohl den augenblicklichen Zustand des Sitzens bezeichnet als das Recht und die Gewohnheit sich von 'Stuhlträgern' (*διφροφόροι*) begleiten zu lassen. Also etwa 'Stuhlofficiere', wie die heutigen 'Stabsofficiere'. Der Zusatz *καὶ λόγου πλείστου ἐόντας* (vgl. c. 144 6) deutet an, daſs dies Vorrecht und Sitte der höheren Officiere war.

147. 2. *ἐντολάς*, st. *ἐντολέων* (6), ist dem Relativ assimilirt, wie II 106 1. Zur Sache s. c. 140 29ff.

4f. *μήτε – τε*: zu I 63 8. — *ἀπαθέα κακῶν*: zu I 32 37.

6. *μεμνημένος*, *sciens*, 'absichtlich'. I 51 *ἐπιστάμενος τὸ οὔνομα οὐκ ἐπιμνήσομαι*, IV 43 *ἑκὼν ἐπιλήσομαι*. — *ὁ δέ*: zu I 17 9.

8. *ὁμοίως* 'ohne Unterschied'.

148. 3. *ἀνενεικάμενος*, von der Küste nach Sparta.

4f. *ὅκως – προθέοιτο*: zu I 17 10.

6. *Κλεομένεϊ*: s. V 39ff.

9. *ἀπεθώμαζε*, besonders wegen der kunstvollen Arbeit. Es wa-

λευε αὐτὸν ἀποφέρεσθαι αὐτῶν ὅσα βούλοιτο. τοῦτο καὶ δὶς καὶ τρὶς εἴπαντος Μαιανδρίου ὁ Κλεομένης δικαιότατος ἀνδρῶν γίνεται, ὃς λαβεῖν μὲν διδόμενα οὐκ ἐδικαίευ, μαθὼν δὲ ὡς ἄλλοισι διδοὺς τῶν ἀστῶν εὑρήσεται τιμωρίην, βὰς ἐπὶ τοὺς ἐφόρους ἄμεινον εἶναι ἔφη τῇ Σπάρτῃ τὸν ξεῖνον τὸν Σάμιον ἀπαλλάσσεσθαι ἐκ τῆς Πελοποννήσου, ἵνα μὴ ἀναπείσῃ ἢ αὐτὸν ἢ ἄλλον τινὰ Σπαρτιητέων κακὸν γενέσθαι. οἱ δ' ὑπακούσαντες ἐξεκήρυξαν Μαιάνδριον.

149 τὴν δὲ Σάμον [σαγηνεύσαντες] οἱ Πέρσαι παρέδοσαν Συλοσῶντι ἐρῆμον ἐοῦσαν ἀνδρῶν, ὑστέρῳ μέντοι χρόνῳ καὶ συγκατοίκισε αὐτὴν ὁ στρατηγὸς Ὀτάνης ἔκ τε ὄψιος ὀνείρου καὶ νούσου ἥ μιν κατέλαβε νοσῆσαι τὰ αἰδοῖα.

150 Ἐπὶ δὲ Σάμον στρατεύματος ναυτικοῦ οἰχομένου Βαβυλώνιοι ἀπέστησαν, κάρτα εὖ παρεσκευασμένοι· ἐν ὅσῳ γὰρ ὅ τε Μάγος ἦρχε καὶ οἱ ἑπτὰ ἐπανέστησαν,

ren wohl Werke der samischen Schule; vgl. I 51 11. III 41 6.

12. διδόμενα 'Angebotenes'. S. zu VIII 114 4.

14. τιμωρίην 'Hilfe', gegen die Perser.

149. σαγηνεύσαντες stimmt nicht recht zu c. 147 6 ff. Es bezeichnet in figürlicher Weise eine den Persern eigenthümliche Weise des Menschenfanges, die dem Fischfange mit dem Zugnetze (σαγήνη) ähnelte. Aber in dieser Bedeutung war es so wenig gemeinverständlich, daſs Her. VI 31 eine besondere Erklärung für nöthig hält. Und aus jener Stelle scheint es eingeschoben zu sein. Ueber eine ähnliche Interpolation zu c. 126 12.

2. Die Entvölkerung der Insel schrieben Andere dem Syloson selber zu; Strab. 638 πικρῶς δ' ἦρξεν, ὥστε καὶ ἐλειπάνδρησεν ἡ πόλις· κἀκεῖθεν ἐκπεσεῖν συνέβη τὴν παροιμίαν 'ἕκητι Συλοσῶντος εὐρυχωρίη' (iambischer Trimeter).

3. συγκατοίκισε 'half bevölkern', dadurch nämlich daſs er Hellenen aus den Städten seiner Satrapie hinsandte. Die Bürgerschaft suchte sich später durch Aufnahme von Sklaven zu ergänzen. Photios lex. v. Σαμίων. καταπονηθέντες ὑπὸ τῶν τυράννων, σπάνει τῶν πολιτευομένων, ἐπέγραψαν τοῖς δούλοις ἐκ πέντε στατήρων τὴν ἰσοπολιτείαν, ὡς Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ.

5. νοσῆσαι, ist lose an κατέλαβε angeschlossen; vgl. zu c. 65 4.

Empörung und Eroberung Babylon's. Aufopferung des Zopyros (c. 150–160).

150. Nach H.'s Darstellung stehen die Bestrafung des Oroetes (c. 128), die Heilung des Dareios durch Demokedes (c. 129 f.), die Sendung der Kundschafter (c. 133 ff.), die Eroberung von Samos (c. 139 ff.) und der babylonische Aufstand in chronologischer Aufeinanderfolge. Dieser letztere müſste demnach eine geraume Zeit nach des Königs

ἐν τούτῳ παντὶ τῷ χρόνῳ καὶ τῇ ταραχῇ ἐς τὴν πολιορκίην παρεσκευάζοντο. καί κως ταῦτα ποιεῦντες ἐλάνθανον. ἐπείτε δὲ ἐκ τοῦ ἐμφανέος ἀπέστησαν, ἐποίησαν τοιόνδε· τὰς μητέρας ἐξελόντες, γυναῖκα ἕκαστος μίαν προσεξαιρέετο τὴν ἐβούλετο ἐκ τῶν ἑωυτοῦ οἰκίων, τὰς δὲ λοιπὰς ἁπάσας συναγαγόντες ἀπέπνιξαν· τὴν δὲ μίαν ἕκαστος σιτοποιὸν ἐξαιρέετο· ἀπέπνιξαν δὲ αὐτάς, ἵνα μή σφεων τὸν σῖτον ἀναισιμώσωσι. πυθόμε- 151
νος δὲ ταῦτα ὁ Δαρεῖος καὶ συλλέξας πᾶσαν τὴν ἑωυτοῦ δύναμιν ἐστρατεύετο ἐπ᾽ αὐτούς, ἐπελάσας δὲ ἐπὶ τὴν Βαβυλῶνα ἐπολιόρκεε φροντίζοντας οὐδὲν τῆς πο-

Thronbesteigung (521 v. Chr.) erfolgt sein. Dem widerspricht aher der Bericht des Dareios (zu c. 151 2), der ihn gleich in den Anfang seiner Regierung setzt. Somit wird auch die Reihenfolge der übrigen Ereignisse keine streng chronologische sein; vgl. zu c. 127 2.

151. 2ff. Dareios in der Inschrift von Behistân erzählt Col. I Z. 16ff. 'Als ich Gaumâta den Mager getödtet hatte, da war ein Mann, *Atrina* mit Namen, ein Sohn des Upadarma; der lehnte sich auf in Susiana. Er sagte so zu den Leuten: ich bin König in Susiana. Darauf waren die Bewohner Susianas aufrührerisch, sie gingen zu jenem Âtrina über; er war König in Susiana. Ferner war ein Mann, ein Babylonier, Namens *Naditabira*, Sohn des Aina . . . der lehnte sich in Babylon auf. Also belog er die Leute: ich bin Nabukudracara, der Sohn des Nabunita (vgl. zu I 188 4). Dann ging das babylonische Volk ganz zu jenem Naditabira: Babylon wurde aufrührerisch; er ergriff die Herrschaft in Babylon. Darauf schickte ich (ein Heer) nach Susiana; dieser Âtrina wurde gebunden zu mir hergeführt; ich tödtete ihn. Darauf zog ich nach Babylon gegen jenen Naditabira, der sich Nabukudracara nannte. Das Heer des N. hielt den Tigris; dort stellte es sich auf und war auf Schiffen. Darauf warf ich mein Heer auf . . Ich machte einen Theil von . . getragen und brachte . . eines Theiles; Auramazda brachte mir Beistand; durch die Gnade des Aur. setzte ich über den Tigris. Dort schlug ich das Heer des N. sehr. Am 27. des Monates Âtriyâdiya, da war es, da lieferten wir die Schlacht. Darauf zog ich nach Babylon. Als ich gegen Babylon herankam, da ist eine Stadt mit Namen Zâzâna am Euphrat; dorthin war dieser N., welcher sich Nabukudracara nannte, mit seinem Heere gegangen, um gegen mich eine Schlacht zu liefern. Darauf lieferten wir eine Schlacht; Auramazda gab mir Beistand, durch die Gnade des Aur. schlug ich das Heer des N. sehr. Der Feind wurde in das Wasser getrieben, das Wasser rifs ihn fort. Am 2. Tage des Monates Anâmaka, da war es, da lieferten wir die Schlacht. Darauf ging N. mit seinen getreuen Soldaten nach Babylon, dann ging ich nach Babylon, durch die Gnade des Auramazda nahm ich B. ein und jenen Naditabira gefangen, hierauf tödtete ich jenen N. in B.'

4. *φροντίζοντας οὐδέν*: zu I 68

λιορκίης. ἀναβαίνοντες γὰρ ἐπὶ τοὺς προμαχεῶνας τοῦ τείχεος οἱ Βαβυλώνιοι κατωρχέοντο καὶ κατέσκωπτον Δαρεῖον καὶ τὴν στρατιὴν αὐτοῦ, καί τις αὐτῶν εἶπε τοῦτο τὸ ἔπος. „τί κάτησθε, ὦ Πέρσαι, ἐνθαῦτα, ἀλλ' οὐκ ἀπαλλάσσεσθε; τότε γὰρ αἱρήσετε ἡμέας, ἐπεὰν ἡμίονοι τέκωσι.“ τοῦτο εἶπε τῶν τις Βαβυλω-

152 νίων οὐδαμὰ ἐλπίζων ἂν ἡμίονον τεκεῖν. ἑπτὰ δὲ μηνῶν καὶ ἐνιαυτοῦ διεληλυθότος ἤδη ὁ Δαρεῖός τε ἤσχαλλε καὶ ἡ στρατιὴ πᾶσα οὐ δυνατὴ ἐοῦσα ἑλεῖν τοὺς Βαβυλωνίους. καίτοι πάντα σοφίσματα καὶ πάσας μηχανὰς ἐπεποιήκεε ἐς αὐτοὺς Δαρεῖος· ἀλλ' οὐδ' ὣς ἐδύνατο ἑλεῖν σφεας, ἄλλοισί τε σοφίσμασι πειρησάμενος, καὶ δὴ καὶ τῷ Κῦρος εἷλέ σφεας, καὶ τούτῳ ἐπειρήθη· ἀλλὰ γὰρ δεινῶς ἦσαν ἐν φυλακῇσι οἱ Βαβυλώ-

153 νιοι, οὐδέ σφεας οἷός τε ἦν ἑλεῖν. ἐνθαῦτα εἰκοστῷ μηνὶ Ζωπύρῳ τῷ Μεγαβύζου τούτου ὃς τῶν ἑπτὰ ἀνδρῶν ἐγένετο τῶν τὸν Μάγον κατελόντων, τούτου τοῦ Μεγαβύζου παιδὶ Ζωπύρῳ ἐγένετο τέρας τόδε· τῶν οἱ σιτοφόρων ἡμιόνων μία ἔτεκε. ὡς δέ οἱ ἐξηγγέλθη καὶ ὑπὸ ἀπιστίης αὐτὸς ὁ Ζώπυρος εἶδε τὸ βρέφος, ἀπείπας τοῖσι δούλοισι μηδενὶ φράζειν τὸ γεγονὸς ἐβουλεύε-

26. Soph. Ant. 433 *θηρώμεθ' εὐθὺς οὐδὲν ἐκπεπληγμένην.*

6. *κατωρχέοντο καὶ κατέσκωπτον* 'verhöhnten mit Geberden und Worten'.

8. *κάτησθε*: zu I 46 1.

10. Arist. de gen. an. II 8 *τὸ τῶν ἡμιόνων γένος ὅλον ἄγονόν ἐστι ... γεννᾷ δ' ὁ ἄρρην ἑπταέτης ὢν μόνος, ὥς φασιν. ἀλλ' ἡ θήλεια ἄγονος ὅλως, καὶ αὕτη τῷ μὴ ἐκτρέφειν εἰς τέλος, ἐπεὶ ἤδη κύημα ἔσχεν ἡμίονος.* hist. an. VI 24 *αἱ δὲ ἐν τῇ Συρίᾳ τῇ ὑπὲρ Φοινίκης ἡμίονοι καὶ ὀχεύονται καὶ τίκτουσιν.* Vgl. VII 57 8.

152. 4. H. schrieb wohl *πάντα τε.* S. zu V 2 6.

6 f. *πειρησάμενος – ἐπειρήθη*: zu I 85 5.

7. S. I 191.

9. Zu *οὐδέ* vgl. V 39 15.

153. 2. Ktesias Exc. Pers. 22, der den Aufstand unter Xerxes setzt, nennt statt des Zopyros dessen Sohn Megabyzos (s. c. 160 12), beschreibt übrigens die Belagerung und Einnahme, das Wunder ausgenommen, ähnlich wie H., fügt aber noch hinzu dafs des Megabyzos Vater als Satrap von Babylon von den Empörern ermordet worden sei.

4. *οἱ*: zu I 34 19.

6. Bekker. Anecd. 84 *βρέφος. ἐπ' ἀλόγου ζῴου. Ἡρόδοτος τρίτῳ. ὁ ποιητής· βρέφος ἡμίονον κυέουσαν* (Il. ψ 266). Vgl. *τέκνον* c. 109 13.

το. καί οἱ πρὸς τὰ τοῦ Βαβυλωνίου ῥήματα, ὅς κατ'
ἀρχὰς ἔφησε, ἐπεάν περ ἡμίονοι τέκωσι, τότε τὸ τεῖ-
χος ἁλώσεσθαι, πρὸς ταύτην τὴν φήμην Ζωπύρῳ ἐδό-
κεε εἶναι ἁλώσιμος ἡ Βαβυλών· σὺν γὰρ θεῷ ἐκεῖνόν
τε εἰπεῖν καὶ ἑωυτῷ τεκεῖν τὴν ἡμίονον. ὡς δέ οἱ 154
ἐδόκεε μόρσιμον εἶναι ἤδη τῇ Βαβυλῶνι ἁλίσκεσθαι,
προσελθὼν Δαρείου ἀπεπυνθάνετο εἰ περὶ πολλοῦ κάρ-
τα ποιέεται τὴν Βαβυλῶνα ἑλεῖν. πυθόμενος δὲ ὡς πολ-
λοῦ τιμῷτο, ἄλλο ἐβουλεύετο, ὅκως αὐτός τε ἔσται ὁ
ἑλὼν αὐτὴν καὶ ἑωυτοῦ τὸ ἔργον ἔσται· κάρτα γὰρ ἐν
τοῖσι Πέρσῃσι αἱ ἀγαθοεργίαι ἐς τὸ πρόσω μεγάθεος
τιμέονται. ἄλλῳ μέν νυν οὐκ ἐφράζετο ἔργῳ δυνατὸς εἶ-
ναί μιν ὑποχειρίην ποιῆσαι, εἰ δ' ἑωυτὸν λωβησάμενος
αὐτομολήσειε ἐς αὐτούς. ἐνθαῦτα ἐν ἐλαφρῷ ποιησάμε-
νος ἑωυτὸν λωβᾶται λώβην ἀνήκεστον· ἀποταμὼν γὰρ
ἑωυτοῦ τὴν ῥῖνα καὶ τὰ ὦτα καὶ τὴν κόμην κακῶς
περικείρας καὶ μαστιγώσας ἦλθε παρὰ Δαρεῖον. Δα- 155
ρεῖος δὲ κάρτα βαρέως ἤνεικε ἰδὼν ἄνδρα δοκιμώτατον
λελωβημένον· ἔκ τε τοῦ θρόνου ἀναπηδήσας ἀνέβωσέ
τε καὶ εἴρετό μιν ὅστις εἴη ὁ λωβησάμενος καὶ ὅ τι
ποιήσαντα. ὁ δὲ εἶπε „οὐκ ἔστι οὗτος ἀνὴρ ὅτι μὴ σύ,
τῷ ἐστὶ δύναμις τοσαύτη ἐμὲ δὴ ὧδε διαθεῖναι· οὐδέ

8. *πρός* 'mit Rücksicht auf'.

10. *πρὸς ταύτην τὴν φήμην* erneuert *πρὸς τὰ – ῥήματα*. Zu *Ζωπύρῳ* nach *οἱ* (8) vgl. c. 129 14.

11. *σὺν θεῷ* 'auf göttliche Eingebung', *divinitus*. S. zu I 62 15.

154. 6f. *κάρτα* gehört zu *τιμέονται*. Von dieser Sperrung s. zu I 27 2. — *ἀγαθοεργίαι* 'Grofsthaten, Verdienste' (c. 160 1, vgl. VIII 85 12). — *ἐς τὸ πρόσω μεγάθεος*, *ad augendam dignitatem*, bezeichnet Richtung und Wirkung des *τιμέονται*, 'werden durch Erhöhung des Ansehens und des Standes belohnt'. S. c. 160 8ff. Zum Ausdruck I 5 *τὸ πρόσω τοῦ λόγου* 'Fortsetzung der Darstellung', III 56 *τὸ πρόσω τῶν πρηγμάτων* 'Fortgang der Unternehmung'.

10. *ἐν ἐλαφρῷ ποιησάμενος*: zu I 118 9; erg. *ἑωυτὸν λωβᾶσθαι*.

12. Vgl. zu c. 69 19. — *κακῶς*: vgl. II 121 δ 29, und VI 19 14.

13. Zu *μαστιγώσας* ergänzt sich *ἑωυτόν* aus *ἑωυτοῦ*.

155. 5. *ἀνήρ* appositiv zu *οὗτος*, 'nicht existirt der als Sterblicher, unter den Sterblichen'; nach Od. ζ 201 *οὐκ ἔσθ' οὗτος ἀνὴρ διερὸς βροτὸς οὐδὲ γένηται Ὅς κεν Φαιήκων ἀνδρῶν ἐς γαῖαν ἵκηται Δηιοτῆτα φέρων*, π 437 *οὐκ ἔσθ' οὗτος ἀνὴρ — Ὅς κεν Τηλεμάχῳ σῷ υἱέι χεῖρας ἐποίσει.*

τις ἀλλοτρίων, ὦ βασιλεῦ, τάδε ἔργασται, ἀλλ' αὐτὸς ἐγὼ ἐμεωυτόν, δεινόν τι ποιεύμενος Ἀσσυρίους Πέρσῃσι καταγελᾶν." ὁ δ' ἀμείβετο „ὦ σχετλιώτατε ἀνδρῶν, ἔργῳ τῷ αἰσχίστῳ οὔνομα τὸ κάλλιστον ἔθευ, φὰς διὰ τοὺς πολιορκεομένους σεωυτὸν ἀνηκέστως διαθεῖναι. τί δ', ὦ μάταιε, λελωβημένου σεῦ θᾶσσον οἱ πολέμιοι παραστήσονται; κῶς οὐκ ἐξέπλωσας τῶν φρενῶν σεωυτὸν διαφθείρας;" ὁ δὲ εἶπε „εἰ μέν τοι ὑπερετίθεα τὰ ἔμελλον ποιήσειν, οὐκ ἄν με περιεῖδες· νῦν δ' ἐπ' ἐμεωυτοῦ βαλόμενος ἔπρηξα. ἤδη ὦν ἢν μὴ τῶν σῶν δεήσῃ, αἱρέομεν Βαβυλῶνα. ἐγὼ μὲν γὰρ ὡς ἔχω αὐτομολήσω ἐς τὸ τεῖχος καὶ φήσω πρὸς αὐτοὺς ὡς ὑπὸ σεῦ τάδε πέπονθα· καὶ δοκέω, πείσας σφέας ταῦτα ἔχειν οὕτω, τεύξεσθαι στρατιῆς. σὺ δέ, ἀπ' ἧς ἂν ἡμέρης ἐγὼ ἐσέλθω ἐς τὸ τεῖχος, ἀπὸ ταύτης ἐς δεκάτην ἡμέρην τῆς σεωυτοῦ στρατιῆς, τῆς οὐδεμία ἔσται ὤρη ἀπολλυμένης, ταύτης χιλίους τάξον κατὰ τὰς Σε-

8f. *δεινόν τι π.*: zu I 127 2. V 33 9. — *Ἀσσυρίους*: zu I 178 2. — *Πέρσῃσι καταγελᾶν*: zu c. 37 5.

13. *παραστήσονται*: zu c. 45 14. — *κῶς - φρενῶν* erklärt sich aus VI 12 *παραφρονήσαντες καὶ ἐκπλώσαντες ἐκ τοῦ νόου*. Der Ausdruck scheint einem Tragiker entlehnt. Vgl. Eur. Bakch. 850 *πρῶτα δ' ἔκστησον φρενῶν, Ἐνεὶς ἐλαφρὰν λύσσαν· ὡς φρονῶν μὲν εὖ Οὐ μὴ θελήσει θῆλυν ἐνδῦναι στολήν, Ἔξω δ' ἐλαύνων τοῦ φρονεῖν ἐνδύσεται*. Der Prosa ist *ἐξίστασθαι τοῦ φρονεῖν* geläufig.

14. *διαφθείρας* 'verstümmelnd' (I 34 6). — *ὑπερετίθεα*: vgl. zu I 8 6.

15ff. *ἐπ' ἐμεωυτοῦ βαλόμενος*: zu c. 71 19. — *ἢν μὴ τῶν σῶν δεήσῃ*: der Zusammenhang erfordert den Sinn 'wenn es an dir nicht fehlen wird', *nisi quid tuarum defuerit partium*. Aber der Wortlaut nöthigt zu der Erklärung, *nisi opus fuerit tuis partibus* oder *tua opera*. Wahrscheinlich schrieb H.: *τῶν σῶν τι ἐνδεήσῃ*, wie VII 18 *ποίεε δὲ οὕτω ὅκως τοῦ θεοῦ παραδιδόντος τῶν σῶν ἐνδεήσει μηδέν*. Zur ganzen Wendung vgl. auch VIII 140$^{\alpha}$ *ἢν μὴ τὸ ὑμέτερον αἴτιον γένηται*. — *αἱρέομεν* kann auch das Futur sein; s. zu V 43 6. *ὡς ἔχω* 'ohne Weiteres' (I 24 23).

20. *στρατιῆς*, der Führung eines Heeres; vgl. IX 109 17.

21ff. *ἐς δεκάτην* 'am zehnten', wie I 77 *ἐς πέμπτον μῆνα συλλέγεσθαι*, 126 *ἐς τὴν ὑστεραίην παρεῖναι*, VI 86$^{\beta}$ *ταῦτα ὑμῖν ἀναβάλλομαι κυρώσειν ἐς τέταρτον μῆνα ἀπὸ τοῦδε*, IX 52 *ἐούσης τῆς ὥρης ἐς τὴν συνεκέετό σφι ἀπαλλάσσεσθαι*, V 49 50. VI 88 9. 90 1. 126 10. 128 2. VII 8$^{\delta}$ 3. IX 46 4. Ursprünglich und in der Regel steht *ἐς* in dieser Weise, wenn bestimmte Termine und Fristen an-

μιράμιος καλεομένας πύλας· μετὰ δὲ αὖτις ἀπὸ τῆς δε-
κάτης ἐς ἑβδόμην ἄλλους μοι τάξον δισχιλίους κατὰ
τὰς Νινίων καλεομένας πύλας· ἀπὸ δὲ τῆς ἑβδόμης
διαλείπειν εἴκοσι ἡμέρας, καὶ ἔπειτα ἄλλους κάτισον ἀγα-
γὼν κατὰ τὰς Χαλδαίων καλεομένας πύλας, τετρακισ-
χιλίους. ἐχόντων δὲ μήτε οἱ πρότεροι μηδὲν τῶν ἀμυ-
νεύντων μήτε οὗτοι, πλὴν ἐγχειριδίων· τοῦτο δὲ ἐᾶν
ἔχειν. μετὰ δὲ τὴν εἰκοστὴν ἡμέρην ἰθέως τὴν μὲν ἄλ-
λην στρατιὴν κελεύειν πέριξ προσβάλλειν πρὸς τὸ τεῖ-
χος, Πέρσας δέ μοι τάξον κατά τε τὰς Βηλίδας κα-
λεομένας καὶ Κισσίας πύλας· ὡς γὰρ ἐγὼ δοκέω, ἐμέο
μεγάλα ἔργα ἀποδεξαμένου τά τε ἄλλα ἐπιτρέψονται
ἐμοὶ Βαβυλώνιοι καὶ δὴ καὶ τῶν πυλέων τὰς βαλανά-
γρας· τὸ δὲ ἐνθεῦτεν ἐμοί τε καὶ Πέρσῃσι μελήσει
τὰ δεῖ ποιέειν.“ ταῦτα ἐντειλάμενος ἤιε ἐπὶ τὰς πύ- **156**
λας, ἐπιστρεφόμενος ὡς δὴ ἀληθέως αὐτόμολος. ὁρέον-
τες δὲ ἀπὸ τῶν πύργων οἱ κατὰ τοῦτο τεταγμένοι κα-
τέτρεχον κάτω καὶ ὀλίγον τι παρακλίναντες τὴν ἑτέ-

gegeben werden, bis zu denen es geschehen soll oder wird. — Mit *τῆς σεωυτοῦ στρατιῆς*, 'von derjenigen deiner Heeresabtheilungen', deutet Zopyros auf die Nicht-Perser, wie er unten 31 ff. *τὴν μὲν ἄλλην στρατιήν* und *Πέρσας δέ* unterscheidet. — *οὐδεμία*: eigentlich *μηδεμία*. Vgl. VII 149 15. 172 16. — *ὥρη*: zu I 4 7.

24. Die Stadt hatte überhaupt hundert Thore (I 179 13). Von den fünf, die H. hier namhaft macht, scheint das der *Semiramis* in dem westlichen älteren Theile der Stadt, das der *Niniviten* (*Νινίων*) nach Ninive zu im Norden, das der *Chaldaeer* im Süden, das *Belos-thor* im Südwesten in der Nähe des Belostempels, das *kissische* endlich im Osten an der Strafse nach Susa gestanden zu haben.

27. *διαλείπειν - κάτισον*, wie 32 f. *κελεύειν - τάξον*. IV 126 *μάχεσθαι - ἐλθέ*. Vgl. zu c. 134 23.

29. *ἀμυνεύντων*, sc. *ὅπλων*, = *ἀμυντηρίων*.

33 f. Ist die zu Z. 24 aufgestellte Vertheilung der genannten Thore richtig, so lagen das kissische und das Belos-thor in entgegengesetzter Richtung, jenes in der Oststadt, dieses in der Weststadt. Zopyros gedachte dann diese beiden Hälften der Stadt, deren jede ein abgesondertes Ganze bildete (I 180. 185 f.), zugleich zu überrumpeln.

36. *βαλανάγρα· ἡ κλεῖς ἐκλήθη οὕτως ἀπὸ τοῦ τὰς βαλάνους ἀγρεύειν.* Bekk. Anecd. p. 220.

156. 2. *ἐπιστρεφόμενος*, um zu sehen, ob er verfolgt würde. — *ὡς δή*: zu c. 143 6.

3. *κατὰ τοῦτο* 'an dieser Stelle' (I 84 9. II 73 16. III 102 6. VII 176 8. 217 6).

ρην πύλην εἰρώτεον τίς τε εἴη καὶ ὅτευ δεόμενος ἥκοι. ὁ δέ σφι ἠγόρευε ὡς εἴη τε Ζώπυρος καὶ αὐτομολέοι ἐς ἐκείνους. ἦγον δή μιν οἱ πυλουροί, ταῦτα ὡς ἤκουσαν, ἐπὶ τὰ κοινὰ τῶν Βαβυλωνίων· καταστὰς δὲ ἐπ' αὐτὰ κατοικτίζετο φὰς ὑπὸ Δαρείου πεπονθέναι τὰ ἐπεπόνθεε ὑπ' ἑωυτοῦ, παθεῖν δὲ ταῦτα διότι συμβουλεῦσαί οἱ ἀπανιστάναι τὴν στρατιήν, ἐπείτε δὴ οὐδεὶς πόρος ἐφαίνετο τῆς ἁλώσιος. „νῦν τε“ ἔφη λέγων „ἐγὼ ὑμῖν, ὦ Βαβυλώνιοι, ἥκω μέγιστον ἀγαθόν, Δαρείῳ δὲ καὶ τῇ στρατιῇ [καὶ Πέρσῃσι] μέγιστον κακόν· οὐ γὰρ δὴ ἐμέ γε ὧδε λωβησάμενος καταπροΐξεται· ἐπίσταμαι δ'
157 αὐτοῦ πάσας τὰς διεξόδους τῶν βουλευμάτων.“ τοιαῦτα ἔλεγε. οἱ δὲ Βαβυλώνιοι ὁρέοντες ἄνδρα τὸν ἐν Πέρσῃσι δοκιμώτατον ῥινός τε καὶ ὤτων ἐστερημένον καὶ μάστιξί τε καὶ αἵματι ἀναπεφυρμένον, πάγχυ ἐλπίσαντες λέγειν μιν ἀληθέα καί σφι ἥκειν σύμμαχον, ἐπιτράπεσθαι ἑτοῖμοι ἦσαν τῶν ἐδέετό σφεων· ἐδέετο δὲ στρατιῆς. ὁ δὲ ἐπείτε αὐτῶν τοῦτο παρέλαβε, ἐποίεε τά περ τῷ Δαρείῳ συνεθήκατο· ἐξαγαγὼν γὰρ τῇ δεκάτῃ ἡμέρῃ τὴν στρατιὴν τῶν Βαβυλωνίων καὶ κυκλωσάμενος τοὺς χιλίους, τοὺς πρώτους ἐνετείλατο Δαρείῳ τάξαι, τούτους κατεφόνευσε. μαθόντες δέ μιν οἱ Βαβυλώνιοι τοῖσι ἔπεσι τὰ ἔργα παρεχόμενον ὅμοια, πάγχυ περιχαρέες ἐόντες πᾶν δὴ ἑτοῖμοι ἦσαν ὑπηρετέειν. ὁ δὲ διαλιπὼν ἡμέρας τὰς συγκειμένας, αὖτις ἐπιλεξάμενος τῶν Βαβυλωνίων ἐξήγαγε καὶ κατεφόνευσε τῶν Δαρείου στρατιωτέων τοὺς δισχιλίους. ἰδόντες δὲ καὶ τοῦτο τὸ ἔργον

5. *τίς – καὶ ὅτευ*: zu I 35 9.

8. *τὰ κοινά = τὴν ἐκκλησίην*, wie *τὸ κοινόν* c. 80 30 u. s. Dafs ein König in der Stadt war (zu c. 151 2), wufste H. wohl nicht. — *καταστάς*: zu c. 46 2.

10. *διότι συμβουλεῦσαι*: zu I 24 30.

11. *ἐπείτε*, *quoniam*, *quando*; zu I 39 9.

12. *ἔφη λέγων*: zu I 118 7.

15. *καταπροΐξεται*: zu c. 36 33.

16. *πάσας – βουλευμάτων* 'alle Gänge und Schliche seiner Pläne' d. i.: 'seine Pläne nach allen Seiten'. Noch einmal VII 234 15, dafür IX 2 10 blofs *βουλεύματα*. Die Fülle des Ausdrucks (vgl. zu I 95 7) erinnert an den tragischen Stil.

157. 3f. Zu *τε καὶ – καὶ – τε καὶ* vgl. I 144 14. 153 18f.

6. *στρατιῆς*: zu c. 155 20.

*οἱ Βαβυλώνιοι πάντες Ζώπυρον εἶχον ἐν στόμασι αἰ-
νέοντες. ὁ δὲ αὖτις διαλιπὼν τὰς συγκειμένας ἡμέρας
ἐξήγαγε ἐς τὸ προειρημένον καὶ κυκλωσάμενος κατεφό-
νευσε τοὺς τετρακισχιλίους. ὡς δὲ καὶ τοῦτο κατέργα-
στο, πάντα δὴ ἦν ἐν τοῖσι Βαβυλωνίοισι Ζώπυρος, καὶ
στρατάρχης τε οὗτός σφι καὶ τειχοφύλαξ ἀπεδέδεκτο.
προσβολὴν δὲ Δαρείου κατὰ τὰ συγκείμενα ποιευμένου* 158
*πέριξ τὸ τεῖχος, ἐνθαῦτα δὴ πάντα τὸν δόλον ὁ Ζώ-
πυρος ἐξέφαινε. οἱ μὲν γὰρ Βαβυλώνιοι ἀναβάντες ἐπὶ
τὸ τεῖχος ἠμύνοντο τὴν Δαρείου στρατιὴν προσβάλλου-
σαν, ὁ δὲ Ζώπυρος τάς τε Κισσίας καὶ Βηλίδας κα-
λεομένας πύλας ἀναπετάσας ἐσῆκε τοὺς Πέρσας ἐς τὸ
τεῖχος. τῶν δὲ Βαβυλωνίων οἳ μὲν εἶδον τὸ ποιηθέν,
οὗτοι μὲν ἔφευγον ἐς τοῦ Διὸς τοῦ Βήλου τὸ ἱρόν· οἳ δὲ
οὐκ εἶδον, ἔμενον ἐν τῇ ἑωυτοῦ τάξι ἕκαστος, ἐς ὃ δὴ
καὶ οὗτοι ἔμαθον προδεδομένοι.*

Βαβυλὼν μέν νυν οὕτω τὸ δεύτερον αἱρέθη. Δα- 159
ρεῖος δὲ ἐπείτε ἐκράτησε τῶν Βαβυλωνίων, τοῦτο μέν

17. *εἶχον ἐν στόμασι* allein konnte auch übeln Sinn haben (s. VI 136 2), daher der Zusatz *αἰνέοντες*.

21. *πάντα ἦν* 'galt alles', *omnium instar fuit* (VII 156 4). Demosth. de cor. 43 *οἱ μὲν κατάπτυστοι Θετταλοὶ καὶ ἀναίσθητοι Θηβαῖοι φίλον, εὐεργέτην, σωτῆρα τὸν Φίλιππον ἡγοῦντο· πάντ' ἐκεῖνος ἦν αὐτοῖς*. Theokrit. XIV 47 *λύκος νῦν πάντα*. Liv. XL 11 *Demetrius iis unus omnia est, eum iam regem vivo patre adpellant*. Vgl. *τὰ πρῶτα εἶναι* (VI 100 13), und zu I 122 12.

22. *τειχοφύλαξ*, Befehlshaber der Befestigungen.

158. 8. *οὗτοι μέν*: zu II 39 9. — *τοῦ Βήλου*: s. I 181.

159. *τὸ δεύτερον*: das erste Mal von Kyros (I 191). Die Stadt fiel bald darauf noch einmal ab. Dareios Behist. III 13: 'Während ich in Persien und Medien war (vgl. zu I 130 7), da wurden die Babylonier zum zweiten Male von mir abtrünnig. Ein Mann *Arakha* mit Namen, ein Armenier, Sohn des Handita, der lehnte sich auf. Es ist eine Gegend in Babylon mit Namen Duhâna; von dort aus lehnte er sich auf. Also log er: ich bin *Nabukudracara*, Sohn des Nabunita. Darauf wurden die Babylonier von mir abtrünnig und gingen zu diesem Arakha über; er nahm Babylon; er war König in B. Darauf schickte ich ein Heer nach B.; Viñdafrâ mit Namen, ein Meder, mein Diener, den machte ich zum Obersten. Also sprach ich zu ihnen: Ziehet hin, schlaget das Heer in Babylon, welches sich nicht mein nennt. Darauf zog Viñdafrâ mit dem Heere nach B. Auramazda brachte mir Beistand: durch die Gnade des Aur. nahm Viñdafrâ Babylon ein'.

σφεων τὸ τεῖχος περιεῖλε καὶ τὰς πύλας πάσας ἀπέσπασε (τὸ γὰρ πρότερον ἑλὼν Κῦρος τὴν Βαβυλῶνα ἐποίησε τούτων οὐδέτερον), τοῦτο δὲ ὁ Δαρεῖος τῶν ἀνδρῶν τοὺς κορυφαίους μάλιστα ἐς τρισχιλίους ἀνεσκολόπισε, τοῖσι δὲ λοιποῖσι Βαβυλωνίοισι ἀπέδωκε τὴν πόλιν οἰκέειν. ὡς δ' ἕξουσι γυναῖκας οἱ Βαβυλώνιοι, ἵνα σφι γενεὴ ὑπογίνηται, τάδε Δαρεῖος προϊδὼν ἐποίησε· τὰς γὰρ ἑωυτῶν, ὡς καὶ κατ' ἀρχὰς δεδήλωται, ἀπέπνιξαν οἱ Βαβυλώνιοι τοῦ σίτου προορέοντες· ἐπέταξε τοῖσι περιοίκοισι ἔθνεσι γυναῖκας ἐς Βαβυλῶνα κατιστάναι, ὁσασδὴ ἑκάστοισι ἐπιτάσσων, ὥστε πέντε μυριάδων τὸ κεφαλαίωμα τῶν γυναικῶν συνῆλθε. ἐκ τουτέων δὲ τῶν γυναικῶν οἱ νῦν Βαβυλώνιοι γεγόνασι.

160 Ζωπύρου δὲ οὐδεὶς ἀγαθοεργίην Περσέων ὑπερεβάλετο παρὰ Δαρείῳ κριτῇ, οὔτε τῶν ὕστερον γενομένων οὔτε τῶν πρότερον, ὅτι μὴ Κῦρος μοῦνος· τούτῳ γὰρ οὐδεὶς Περσέων ἠξίωσέ κω ἑωυτὸν συμβαλεῖν. πολλά-

3. *τὸ τεῖχος*, gewifs nur theilweise, da H. selber die Mauern noch wie aus eigener Anschauung beschrieben hat (I 179. 181). Es genügte sie streckenweise einzureifsen, die Thürme und Brustwehren zu demoliren und den Thorverschlufs zu beseitigen. Dies letztere geschah durch Ausheben der (erzenen, I 179 14) Thorflügel. Zu *ἀπέσπασε* vgl. I 17 *οἰκήματα – οὔτε κατέβαλλε οὔτε ἐνεπίμπρη οὔτε θύρας ἀπέσπα*. — *περιεῖλε*: zu II 151 7.

4. Der Chaldaeer Berosos schrieb die Schleifung eben dem Kyros zu, bei Joseph. c. Apion. I 20 *Κῦρος Βαβυλῶνα καταλαβόμενος, καὶ συντάξας τὰ ἔξω τῆς πόλεως τείχη* (vgl. Her. I 181 2) *κατασκάψαι διὰ τὸ λίαν αὐτῷ πραγματικὴν καὶ δυσάλωτον φανῆναι τὴν πόλιν, κτλ.*

8f. *ὡς δ' ἕξουσι* abhängig von *προϊδών*.

10. *γάρ*: zu c. 31 4.

13f. *ὁσασδή*: zu I 157 5. — *κεφαλαίωμα* 'Gesammtzahl'. Dabei der Genitiv *πέντε μυριάδων*, st. *πέντε μυριάδες* (vgl. VII 60 4. 184 6 u. 26. VIII 48 7. IX 29 12). Caes. b. g. II 33 *capitum numerus ad eum relatus est milium quinquaginta trium*.

160. *ἀγαθοεργίην*: zu c. 154 7.

2. *παρὰ Δαρείῳ κριτῇ*: zu I 32 48.

3f. Kyros galt den Persern nicht blofs als der Gründer ihrer Nationalgröfse, sondern auch als Ideal menschlicher und fürstlicher Vollkommenheit; vgl. I 95. 122. III 75. 89. Xen. Kyr. I 2 *φῦναι δὲ ὁ Κῦρος λέγεται καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος καὶ φιλομαθέστατος καὶ φιλοτιμότατος, ὥστε πάντα μὲν πόνον ἀνατλῆναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι τοῦ ἐπαινεῖσθαι εἵνεκα.*

κις δὲ Δαρεῖον λέγεται γνώμην τήνδε ἀποδέξασθαι, ὡς βούλοιτο ἂν Ζώπυρον εἶναι ἀπαθέα τῆς ἀεικείης μᾶλλον ἢ Βαβυλῶνάς οἱ εἴκοσι πρὸς τῇ ἐούσῃ προσγενέσθαι. ἐτίμησε δέ μιν μεγάλως· καὶ γὰρ δῶρά οἱ ἀνὰ πᾶν ἔτος ἐδίδου ταῦτα τὰ Πέρσῃσι ἐστὶ τιμιώτατα, καὶ τὴν Βαβυλῶνά οἱ ἔδωκε ἀτελέα νέμεσθαι μέχρι τῆς ἐκείνου ζόης, καὶ ἄλλα πολλὰ ἐπέδωκε. Ζωπύρου δὲ τούτου γίνεται Μεγάβυζος, ὃς ἐν Αἰγύπτῳ ἀντία Ἀθηναίων καὶ τῶν συμμάχων ἐστρατήγησε· Μεγαβύζου δὲ τούτου γίνεται Ζώπυρος, ὃς ἐς Ἀθήνας αὐτομόλησε ἐκ Περσέων.

5. *γνώμην τήνδε*: zu c. 81 2. Ein ähnliches Wort des Dareios s. IV 143.

9. *τιμιώτατα*: zu c. 84 5.

10 f. *ἀτελέα*: der Satrap brauchte in diesem Falle von den Einkünften, die er aus der Provinz zog, die auf sie fallende Steuerquote — in Babylon 1000 Talente, c. 92 2 — an den königlichen Fiscus nicht abzuführen, sondern behielt sie für sich. Babylon war überdies schon die reichste Satrapie (I 192). — *μέχρι — ζόης* = *μέχρι οὗ ἂν ζώῃ*. — *ἐκείνου*, auf das nahe *οἱ* bezogen. S. zu II 136 15.

12. *γίνεται*: das Praesens wie IV 78 4 u. 6. 149 5. 160 1. V 92β 4. VI 71 2 u. 8. 126 5. 131 3. VII 61 14. Ebenso oft bei *τελευτᾷ* (V 27 5), *τίκτει* (V 41 3), *ἴσχει* u. *γαμέει* (V 92β 6). Wohl ein Nachklang aus der Sprache der Chroniken und Genealogien der Epiker und Logographen. — *ἐν Αἰγύπτῳ*: zu c. 15 11.

14. Ktesias Exc. Pers. 43 *Ζώπυρος δὲ ὁ Μεγαβύζου καὶ Ἀμύτιος* (Tochter des Xerxes und der Amestris) *παῖς, ἐπεὶ αὐτῷ ὅ τε πατὴρ καὶ ἡ μήτηρ ἐτελεύτησαν, ἀπέστη βασιλέως καὶ εἰς Ἀθήνας ἀφίκετο, κατὰ τὴν τῆς μητρὸς εἰς αὐτοὺς εὐεργεσίαν. εἰς Καῦνον δὲ ἅμ' αὐτῶν ἑπομένων εἰσέπλευσε καὶ ἐκέλευσε παραδιδόναι τὴν πόλιν. Καύνιοι δὲ αὐτῷ μὲν παραδιδόναι τὴν πόλιν ἔφασκον, Ἀθηναίοις δὲ τοῖς συνεπομένοις οὐκέτι. εἰσιόντι δὲ τῷ Ζωπύρῳ εἰς τὸ τεῖχος λίθον Ἀλκίδης Καύνιος ἐμβάλλει εἰς τὴν κεφαλήν. καὶ οὕτω Ζώπυρος ἀποθνήσκει. Ἄμηστρις δὲ ἡ μάμμη τὸν Καύνιον ἀνεσταύρωσεν.* Vgl. auch IV 43 6.

Δ.

Μετὰ δὲ τὴν Βαβυλῶνος αἵρεσιν ἐγένετο ἐπὶ Σκύθας αὐτοῦ Δαρείου ἔλασις. ἀνθεύσης γὰρ τῆς Ἀσίης ἀνδράσι καὶ χρημάτων μεγάλων συνιόντων, ἐπεθύμησε ὁ Δαρεῖος τίσασθαι Σκύθας, ὅτι ἐκεῖνοι πρότεροι ἐσβαλόντες ἐς τὴν Μηδικὴν καὶ νικήσαντες μάχῃ τοὺς ἀντιουμένους ὑπῆρξαν ἀδικίης. τῆς γὰρ ἄνω Ἀσίης ἦρξαν, ὡς καὶ πρότερόν μοι εἴρηται, Σκύθαι ἔτεα δυῶν δέοντα τριήκοντα. Κιμμερίους γὰρ ἐπιδιώκοντες ἐσέβαλον ἐς τὴν Ἀσίην καταπαύσαντες τῆς ἀρχῆς Μήδους· οὗτοι γὰρ πρὶν ἢ Σκύθας ἀπικέσθαι ἦρχον τῆς Ἀσίης. τοὺς δὲ Σκύθας ἀποδημήσαντας ὀκτὼ καὶ εἴκοσι ἔτεα καὶ διὰ χρόνου τοσούτου κατιόντας ἐς τὴν σφετέρην ἐξεδέξατο οὐκ ἐλάσσων πόνος τοῦ Μηδικοῦ· εὗρον γὰρ ἀντιουμένην σφίσι στρατιὴν οὐκ ὀλίγην· αἱ γὰρ τῶν Σκυθέων γυναῖκες, ὡς σφι οἱ ἄνδρες ἀπῆσαν χρόνον πολ-
2 *λόν, ἐφοίτεον παρὰ τοὺς δούλους. τοὺς δὲ δούλους οἱ*

Des Dareios Zug gegen die Skythen (1–4. 83–144). Der Grund dazu (c. 1–4).

1. 2. *αὐτοῦ Δαρείου*: VII 107 *Ἕλληνας γὰρ διαβάλλων ἐπαείρεις αὐτὸν βασιλέα στρατεύεσθαι.* Aber auch die zuletzt erzählte Unternehmung gegen Babylon hatte Dareios persönlich geleitet. Schrieb H. *αὐτίκα*? — *Δαρείου ἔλασις*, bereits III 134 angekündigt.

3. Ueber die Einkünfte vgl. III 89 ff.

4 ff. Verb. *πρότεροι ὑπῆρξαν*, wie I 4 3. 5 13 u. a. Das Motiv ist natürlich nicht historisch; denn Dareios konnte sich nicht wohl als Erben der dem medischen Könige widerfahrenen Beleidigung betrachten. Auch waren die pontischen Skythen, denen der Zug galt, durchaus verschieden von denjenigen, die einst in Medien eingefallen waren (zu I 104 7. IV 11 3).

7. *πρότερον*: s. I 106 1.

8. Dafs die Flucht der Kimmerier eine Folge der skythischen Einwanderung gewesen, ist eine unhaltbare Annahme, die der Vf. c. 11 ff. zu begründen sucht.

12 f. *διὰ χρόνου τοσούτου*, *tanto temporis intervallo*. — *κατιόντας*: vgl. jedoch I 106. — *ἐξεδέξατο*: Hesiod. Theog. 800 *ἄλλος δ' ἐξ ἄλλου δέχεται χαλεπώτερος ἆθλος.* — *τοῦ Μηδικοῦ*, der Tödtung und Vertreibung durch die Meder.

16. *φοιτᾶν*, häufig von geschlechtlichem Umgang. Vgl. zu II 64 9. — *τοὺς δούλους*, *ad custodiam pecoris relictos* (Justin. II 5). — Die Erzählung setzt voraus, dafs die Skythen im Pontos-lande schon heimisch geworden seien, ehe sie nach Asien zogen, während I 103. IV 12 dieser Zug sich gleich an die Verfolgung der Kimmerier anschliefst.

2. Das sowohl seinem Inhalte nach sehr problematische als in den

Σκύθαι πάντας τυφλοῦσι τοῦ γάλακτος εἵνεκεν, τοῦ πίνουσι ποιεῦντες ὧδε. ἐπεὰν φυσητῆρας λάβωσι ὀστεΐνους αὐλοῖσι προσεμφερεστάτους, τούτους ἐσθέντες ἐς τῶν θηλέων ἵππων τὰ ἄρθρα φυσέουσι τοῖσι στόμασι, ἄλλοι δὲ ἄλλων φυσεόντων ἀμέλγουσι. φασὶ δὲ τοῦδε εἵνεκα τοῦτο ποιέειν· τὰς φλέβας τε πίμπλασθαι φυσεομένας τῆς ἵππου καὶ τὸ οὖθαρ κατίεσθαι. ἐπεὰν δὲ ἀμέλξωσι τὸ γάλα, ἐσχέαντες ἐς ξύλινα ἀγγήια κοῖλα

Zusammenhang schlecht passende Capitel scheint erst nachträglich vom Vf. eingesetzt zu sein. S. zu IX 83 2.

2. *πάντας τυφλοῦσι*: blinde Sklaven sind für Viehwirthschaft, zumal als Hirten (vgl. c. 130 7), noch unbrauchbarer als für Ackerwirthschaft. Wahrscheinlich liegt ein sprachliches Mifsverständnifs zu Grunde. Die Skythen mochten ihre Sklaven, oder auch die ihnen botmäfsigen Stämme (zu c. 20 4), mit einem Namen bezeichnen, den die Hellenen fälschlich *οἱ τυφλοί* (vgl. unten 10 u. c. 20 6) übersetzten und entsprechend erklärten. Vgl. die übrigens verwirrte Notiz des Scholiasten zu Arist. Ritt. 963 *μολγὸν ἀντὶ τοῦ τυφλόν. Ἡρόδοτος* (?) *δὲ ἱστορεῖ τοὺς Μολγοὺς τούτους ἐπάνω τῆς Σκυθίας εἶναι.* — *τοῦ γάλακτος εἵνεκεν*, nicht eigentlich der Milch wegen, sondern des daraus zu bereitenden Getränkes, bei Späteren genauer *ὀξύγαλα*, saure Stutenmilch, ein kühles etwas moussirendes Getränk von angenehmer Weinsäure und schwach berauschender Kraft, bei den Kalmücken noch heute unter dem Namen 'Kumyfs' beliebt.

5. *ἵππων*, wenn sie die Milch zurückhalten, was bei Stuten noch häufiger als bei Kühen vorkommt. Den Hellenen erschien das Nahrungsmittel so eigenthümlich, dafs schon Homer dieser nördlichen Stämme als *Ἱππημολγῶν γλακτοφάγων* gedenkt (Il. *ν* 5). — *τὰ ἄρθρα*: zu III 87 3. — 'Einige Kühe, welche so hartnäckig sind, dafs sie durchaus keine Milch geben wollen, sollen die Kalmücken damit zwingen, dafs sie ihnen einen rund und glatt gespitzten hölzernen Propf mit Gewalt von hinten eintreiben, da dann durch das Drängen und Bemühen der Kühe, den Propfen loszuwerden, ihnen auch die Milch entfährt'. *Pallas* Nachrichten über mongolische Völkerschaften I 119.

7. *πίμπλασθαι*, mit Luft.

8. *κατίεσθαι, demitti.* So lange das Thier die Milch zurückhält, spannt es die Eutermuskeln an.

9 ff. Diese Art von Milchbehandlung kennt schon Solon, der daraus ein Bild entlehnt, um das Treiben des selbstsüchtigen Volksmannes zu schildern (Fr. 36 20): *οὐκ ἂν κατέσχε δῆμον οὐδ' ἐπαύσατο Πρὶν ἂν ταράξας πῖαρ ἐξέλῃ γάλα.* Genauer beschreibt sie Hippokrates de morbis p. 67 Foes. *ὥσπερ οἱ Σκύθαι ποιέουσι ἐκ τοῦ ἱππείου γάλακτος. ἐγχέοντες γὰρ τὸ γάλα ἐς ξύλα κοῖλα σείουσι. τὸ δὲ ταρασσόμενον ἀφρέει καὶ διακρίνεται, καὶ τὸ μὲν πῖον, ὃ βούτυρον καλέουσι, ἐπιπολῆς διίσταται ἐλαφρὸν ἐόν. τὸ δὲ βαρὺ καὶ παχὺ κάτω ἵσταται, ὃ καὶ ἀποκρίνοντες ξηραίνουσι· ἐπεὰν δὲ παγῇ καὶ ξηρανθῇ, ἱππάκην μιν καλέουσι. ὁ δὲ ὀρρὸς τοῦ γάλακτος ἐν μέσῳ ἐστί.*

καὶ περιστίξαντες κατὰ τὰ ἀγγήια τοὺς τυφλοὺς δονέουσι τὸ γάλα, καὶ τὸ μὲν αὐτοῦ ἐπιστάμενον ἀπαρύσαντες ἡγεῦνται εἶναι τιμιώτερον, τὸ δ' ὑπιστάμενον ἧσσον τοῦ ἑτέρου. τούτων μὲν εἵνεκα ἅπαντα τὸν ἂν λάβωσι οἱ Σκύθαι ἐκτυφλοῦσι· οὐ γὰρ ἀρόται εἰσὶ ἀλλὰ
3 *νομάδες. ἐκ τούτων δὴ ὦν σφι τῶν δούλων καὶ τῶν γυναικῶν ἐπετράφη νεότης· οἳ ἐπείτε ἔμαθον τὴν σφετέρην γένεσιν, ἠντιοῦντο αὐτοῖσι κατιοῦσι ἐκ τῶν Μήδων. καὶ πρῶτα μὲν τὴν χώρην ἀπετάμοντο, τάφρον ὀρυξάμενοι εὐρέαν κατατείνουσαν ἐκ τῶν Ταυρικῶν οὐρέων ἐς τὴν Μαιῆτιν λίμνην, τῇ περ ἐστὶ μεγίστη· μετὰ*

10. *περιστίξαντες* 'der Reihe nach herumstellend', von dem ungebräuchlichen *στίχειν* (vgl. *στίχος, στιχᾶν*). Hesychios *περιστίξαι· περικυκλῶσαι, περιελθεῖν, περιελάσαι· ἀπὸ τοῦ στίχειν.* Anders c. 202 4. — *κατά, circum*; s. zu I 30 6. — *δονέουσι* 'lassen schütteln'.

11. *τὸ ἐπιστάμενον*, die fetten Milchtheile, die Butter, wovon freilich die Stutenmilch weniger als andere enthält. 'Von der Butter erscheinen in dem grofsen, einige Eimer haltenden Schlauche nach heftigem Schlagen und Schütteln nur einzeln schwimmende Krumen, die nach eingeführter Sitte (der Kalmücken) der Hausfrau als Leckerbissen (vgl. *τιμιώτερον*) zufallen und von derselben gesammelt werden'. *Dahl* über den Kumyfs (bei *Neumann* Hellenen im Skythenlande I 281). — *τὸ δ' ὑπιστάμενον*, die käsigen Theile. Vgl. Hippokrates oben zu 9 und *περὶ ἀέρων* 18 *αὐτοὶ δ' ἐσθίουσι κρέα ἑφθὰ καὶ πίνουσι γάλα ἵππων καὶ ἱππάκην τρώγουσι· τοῦτο δ' ἐστὶ τυρὸς ἵππων.* Aeschyl. Fr. 192 *ἀλλ' ἱππάκης βρωτῆρες εὔνομοι Σκύθαι.*

13. *ἧσσον, vilius.* — *τούτων μὲν εἵνεκα*: der Zweck ist nicht deutlich bezeichnet. Etwa damit die Sklaven die Butter nicht wegnaschten? Aber während des Umschüttelns setzt sich keine Butter ab, und das grausame und kostspielige Mittel, welches überdies das Naschen nicht ganz verhindern konnte, stände zu dem Zwecke in gar keinem Verhältnisse.

14. *γάρ*: der Zusammenhang leuchtet nicht ein. Die Existenz der Nomaden konnte nicht von den Sklaven bedroht sein, und blinde Sklaven waren für sie ebenso unnütz als für Ackerbauern. Besser hätte sich der Satz oben an 3 *πίνουσι ποιεῦντες ὧδε* angeschlossen.

3. 2. *ἐπετράφη, succrevit*; zu II 121$^{\alpha}$ 3.

5f. Ueber Zweck und Richtung dieses Grabens sind H.'s Angaben nicht bestimmt genug. Die Skythen konnten auf dem Heimzuge von Asien entweder über den kimmerischen Bosporus oder weiter nördlich über den Don anrücken. Jener Weg war für die Nomaden nur zuweilen im Winter passirbar (c. 28), konnte dann aber auch durch einen die östliche Hälfte der taurischen Halbinsel abschneidenden Graben nicht gesperrt werden. Kamen aber die Skythen über den Don, so hatte der Graben nur Sinn, wenn sich die Sklaven hinter ihm auf jener Ost-

δὲ πειρεομένοισι ἐσβάλλειν τοῖσι Σκύθῃσι ἀντικατιζόμενοι ἐμάχοντο. γινομένης δὲ μάχης πολλάκις καὶ οὐ δυναμένων οὐδὲν πλέον ἔχειν τῶν Σκυθέων τῇ μάχῃ, εἷς αὐτῶν ἔλεξε τάδε. “οἷα ποιεῦμεν, ἄνδρες Σκύθαι· δούλοισι τοῖσι ἡμετέροισι μαχόμενοι αὐτοί τε κτεινόμενοι ἐλάσσονες γινόμεθα καὶ ἐκείνους κτείνοντες ἐλασσόνων τὸ λοιπὸν ἄρξομεν. νῦν ὦν μοι δοκέει αἰχμὰς μὲν καὶ τόξα μετεῖναι, λαβόντα δὲ ἕκαστον τοῦ ἵππου τὴν μάστιγα ἰέναι ἄσσον αὐτῶν. μέχρι μὲν γὰρ ὥρεον ἡμέας ὅπλα ἔχοντας, οἱ δὲ ἐνόμιζον ὁμοῖοί τε καὶ ἐξ ὁμοίων ἡμῖν εἶναι· ἐπεὰν δὲ ἴδωνται μάστιγας ἀντὶ ὅπλων ἔχοντας, μαθόντες ὡς εἰσὶ ἡμέτεροι δοῦλοι καὶ συγγνόντες τοῦτο, οὐκ ὑπομενέουσι.” ταῦτα ἀκούσαντες οἱ Σκύ- 4
θαι ἐποίευν ἐπιτελέα· οἱ δ' ἐκπλαγέντες τῷ γινομένῳ τῆς μάχης τε ἐπελάθοντο καὶ ἔφευγον. οὕτω οἱ Σκύθαι τῆς τε Ἀσίης ἦρξαν, καὶ ἐξελασθέντες αὖτις ὑπὸ Μήδων κατῆλθον τρόπῳ τοιούτῳ ἐς τὴν σφετέρην. τῶνδε εἵνεκα ὁ Δαρεῖος τίσασθαι βουλόμενος συνήγειρε ἐπ' αὐτοὺς στράτευμα.

Ὡς δὲ Σκύθαι λέγουσι, νεώτατον ἁπάντων ἐθνέων 5

hälfte vertheidigen wollten. Bei dem Kampfe selber kommt er jedoch nicht weiter in Betracht. Nach c. 20 6. 28 6 denkt ihn H. von Süd nach Nord laufend und die Südostgrenze der 'königlichen' Skythen bildend. Daraus wird es wahrscheinlich, dafs der 'Graben' eine einheimische Bezeichnung des 'faulen Meeres' (Siwasch) war, von dem als solchem H. nichts weifs, und dessen Ursprung jene Sage zu erklären suchte. — *ἐκ τῶν Ταυρικῶν οὐρέων*, von ihren östlichen Ausläufern aus. — *Μαιῆτιν λίμνην*: vgl. zu c. 86 15. — *τῇ περ ἐστὶ μεγίστη* 'wo sie am gröfsten ist', d. h. wo die Landzunge von Arabat sich dem Festlande nähert und der Siwasch in das asowsche Meer mündet, an der Strafse von Genitschi. Hier hat die Maeotis ihre gröfste Breite.

9. *πλέον ἔχειν*, *superiorem esse* (IX 70 8), Ggs. *ἔλασσον ἔχειν* (IX 102 8).

10. *οἷα*, exclamativ, *qualia!* d. i. *quam stulta!* (V 23 10. VII 103 2).

13. *αἰχμάς*: c. 70 6 genauer *ἀκόντιον*. Die *αἰχμή* war für *ἱπποτοξόται* (c. 46 13) wenig geeignet.

16. *οἱ δέ*: zu I 112 9. II 39 9. — *ὁμοῖοί τε καὶ ἐξ ὁμοίων*, persönlich und der Abstammung nach von gleichem Stande.

Die vier Traditionen von den Ursprüngen der Skythen (c. 5–15). I. Die Tradition der Skythen (c. 5–7).

5. *νεώτατον*, näml. erst tausend Jahre alt (c. 7 5). Es gab auch eine entgegengesetzte Ueberlieferung;

εἶναι τὸ σφέτερον, τοῦτο δὲ γενέσθαι ὧδε. ἄνδρα γενέσθαι πρῶτον ἐν τῇ γῇ ταύτῃ ἐούσῃ ἐρήμῳ τῷ οὔνομα εἶναι Ταργίταον· τοῦ δὲ Ταργιτάου τούτου τοὺς τοκέας λέγουσι εἶναι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, λέγουσι δ' ὦν, Δία τε καὶ Βορυσθένεος τοῦ ποταμοῦ θυγατέρα. γένεος μὲν τοιούτου δή τινος γενέσθαι τὸν Ταργίταον, τούτου δὲ γενέσθαι παῖδας τρεῖς, Λιπόξαϊν καὶ Ἀρπόξαϊν καὶ νεώτατον Κολάξαϊν. ἐπὶ τούτων [ἀρχόντων] ἐκ τοῦ οὐρανοῦ φερόμενα χρύσεα ποιήματα, ἄροτρόν τε καὶ ζυγὸν καὶ σάγαριν καὶ φιάλην, πεσεῖν ἐς τὴν Σκυθικήν· καὶ τῶν ἰδόντα πρῶτον τὸν πρεσβύτατον ἆσσον ἰέναι βουλόμενον αὐτὰ λαβεῖν, τὸν δὲ χρυσὸν ἐπιόντος καίεσθαι. ἀπαλλαχθέντος δὲ τούτου προσιέναι τὸν δεύτερον, καὶ τὸν αὖτις ταὐτὰ ποιέειν. τοὺς μὲν δὴ καιόμενον τὸν χρυσὸν ἀπώσασθαι, τρίτῳ δὲ τῷ νεωτάτῳ ἐπελθόντι κατασβῆναι, καί μιν ἐκεῖνον κομίσαι ἐς ἑωυτοῦ· καὶ τοὺς πρεσβυτέρους ἀδελφεοὺς πρὸς ταῦτα συγγνόντας τὴν βασιληίην πᾶσαν παραδοῦναι τῷ νεωτάτῳ.

6 ἀπὸ μὲν δὴ Λιποξάιος γεγονέναι τούτους τῶν Σκυθέων οἳ Αὐχάται γένος καλέονται, ἀπὸ δὲ τοῦ μέσου Ἀρποξάϊος οἳ Κατίαροί τε καὶ Τράπιες καλέονται, ἀπὸ δὲ

Justin. II 1 *Scytharum gens antiquissima semper habita, quamquam inter Scythas et Aegyptios* (vgl. Her. II 2) *diu contentio de generis vetustate fuerit.* Die skythische Ansicht von ihrem jungen Ursprunge ging wohl auf die Geschlechterlisten ihrer Könige zurück; vgl. zu c. 7 5.

2. *εἶναι*: zu I 65 20.

9. *ἀρχόντων* würde mit *ἄνδρα γενέσθαι πρῶτον ἐν τῇ γῇ ταύτῃ ἐρήμῳ ἐούσῃ* (3) in Widerspruch stehen.

10. *ποιήματα* 'Machwerke, Geräthe' (VII 84 5).

15. *καὶ τόν*, sc. *τὸν χρυσόν* (Subjectsaccusativ), von dem wie von einer Person gesprochen wird.

16. *ἀπώσασθαι*, dadurch dafs es in Gluth gerieth (*καιόμενον*). — *τῷ νεωτάτῳ*: auch in der Tradition der pontischen Hellenen ist es der jüngste der drei Brüder, der den Preis davon trägt (c. 10 14). Vgl. die makedonische Königssage VIII 137 ff.

6. 2f. *Αὐχάται γένος* 'Auchaten-stamm'. Zwar erwähnt sie Plinius nat. hist. IV 88 *a Taphris per continentem introrsus tenent Auchetae apud quos Hypanis oritur*, d. i. vom Isthmos von Perekop über den Dnjepr den Bug hinauf, ein Gebiet, das bei H. *Σκύθαι γεωργοί*, *Καλλιπίδαι*, *Ἀλαζῶνες* und *Σκύθαι ἀροτῆρες* innehaben (c. 17 ff.). Aufserdem kennt er VI 22 im Kaukasos *Scythas Auchetas* als eingewandertes Volk. Da aber im ponti-

τοῦ νεωτάτου αὐτῶν τοῦ βασιλέος οἳ καλέονται Πα-
ραλάται· σύμπασι δὲ εἶναι οὔνομα Σκολότους, τοῦ βα-
σιλέος ἐπωνυμίην· Σκύθας δὲ Ἕλληνες οὐνόμασαν. γε- 7
γονέναι μέν νυν σφέας ὧδε λέγουσι οἱ Σκύθαι, ἔτεα δὲ
σφίσι, ἐπείτε γεγόνασι, τὰ σύμπαντα λέγουσι εἶναι ἀπὸ
τοῦ πρώτου βασιλέος [Ταργιτάου] ἐς τὴν Δαρείου διά-

schen Skythien sonst keine Spur von ihnen erscheint, fragt es sich, ob nicht mit dem Namen ein in den asiatischen Ursitzen zurückgebliebener Stamm bezeichnet sei, dessen Gedächtnifs in der Tradition des ausgewanderten Bruderstammes noch fortlebte. Denn auch die *Κατίαροι* und *Τράπιες* (andere La. *Τράπιοι* und *Τράσπιες*) werden nur hier genannt und hatten keine nachweisbaren Sitze am Pontos. Da nun Plinius VI 50 unter den Nomadenstämmen im Norden des Iaxartes neben einander *Euchatae* und *Cotieri*, deren Namen den *Αὐχάται* und *Κατίαροι* so nahe stehen, aufzählt: so hält sie *Neumann* I 109. 199 für identisch mit diesen und vermuthet, es seien Skythenstämme gewesen, die, auf der Wanderung aus der ostasiatischen Heimath, am obern Iaxartes sitzen geblieben seien, während von den weiterziehenden die alte Sage von Targitaos und seinen Söhnen in die neuen Sitze am Pontos mitgebracht und hier localisirt wurde.

5. 'Alle zusammen heifsen, nach dem Namen (*ἐπωνυμίην*, zu I 14 18) des Königs, Skoloten'; also 'königliche', *βασιλήιοι*, wie insbesondere der östlichste und mächtigste Stamm der pontischen Skythen genannt wurde (zu c. 20 10). Die Namensform findet sich nur noch im Namen des Skythenkönigs *Scolopitus* (Justin. II 4), vielleicht in dem des Königs *Σκύλης* (c. 78), und hängt wohl auch mit *Κολάξαϊς* zusammen.

6. *Σκύθας – οὐνόμασαν* 'der Name Skythen rührt von den Hellenen her'. Das Wort *Σκύθης* ist nicht hellenisch; auch ist nicht an ein Verderbnifs aus *Σκόλοτος* zu denken. Die Herleitung aus dem arischen Sprachstamme (thrakisch? vgl. altdeutsch *skiutan*, lithauisch *szauti* 'schiefsen'; also 'Schütze') ist die ansprechendste, weil der Stammvater *Σκύθης* in der Tradition der pontischen Hellenen sich vor seinen Brüdern durch die Kunst des Bogens auszeichnet (c. 10); weil die angekauften Bogenschützen, die in Athen als Stadtwache dienten, ohne Unterschied bald *Σκύθαι* bald *τοξόται* genannt wurden; weil endlich das s. g. *Σκυθικόν*, ein Gift, womit die Skythen ihre Pfeile bestrichen, zugleich auch *τοξικόν* hiefs (Schol. Nikand. Alex. 207). Was den Gebrauch des Namens betrifft, so beschränkten ihn die Autoren, von Hekataeos an, keineswegs auf die ihnen seit Herodot als ein abgesondertes und eigenthümliches Volk bekannt gewordenen Nomaden der nordpontischen Steppe, sondern dehnten ihn auf alle nomadischen Reitervölker des europaeischen und asiatischen Nordens aus, insbesondere auch auf die turanischen Stämme der Saken (vgl. zu c. 11 3). H. allein erkannte die Unbestimmtheit der Bezeichnung und warnte gelegentlich vor Irrthümern (vgl. c. 19 12. 20 11. 106 4).

7. 3. *τὰ σύμπαντα*, in runder Summe; vgl. zu I 163 9.

4 f. Nicht Targitaos war der erste König, sondern sein Sohn Kolaxais.

βασιν τὴν ἐπὶ σφέας χιλίων οὐ πλέω ἀλλὰ τοσαῦτα. τὸν δὲ χρυσὸν τοῦτον τὸν ἱρὸν φυλάσσουσι οἱ βασιλέες ἐς τὰ μάλιστα, καὶ θυσίῃσι μεγάλῃσι ἱλασκόμενοι μετέρχονται ἀνὰ πᾶν ἔτος. ὃς δ' ἂν ἔχων τὸν χρυσὸν τὸν ἱρὸν ἐν τῇ ὁρτῇ ὑπαίθριος κατακοιμηθῇ, οὗτος λέγεται ὑπὸ Σκυθέων οὐ διενιαυτίζειν· δίδοσθαι δέ οἱ διὰ τοῦτο ὅσα ἂν ἵππῳ ἐν ἡμέρῃ μιῇ περιελάσῃ αὐτός. τῆς δὲ χώρης ἐούσης μεγάλης τριφασίας τὰς βασιληίας τοῖσι παισὶ τοῖσι ἑωυτοῦ καταστήσασθαι Κολάξαϊν, καὶ τουτέων μίαν ποιῆσαι μεγίστην, ἐν τῇ τὸν χρυσὸν φυλάσσεσθαι. τὰ δὲ κατύπερθε πρὸς βορέην λέγουσι ἄνεμον τῶν ὑπεροίκων τῆς χώρης οὐκ οἷά τε εἶναι ἔτι προσωτέρω οὔτε ὁρᾶν οὔτε διεξιέναι ὑπὸ πτερῶν κεχυμένων· πτερῶν γὰρ καὶ τὴν γῆν καὶ τὸν ἠέρα εἶναι πλέον, καὶ ταῦτα εἶναι τὰ ἀποκληίοντα τὴν ὄψιν.

— Die Berechnung der Jahre beruht wohl auf einer traditionellen Stammliste der Könige von Kulaxais bis auf König Idanthyrsus, gegen den Dareios zog. Dreiſsig aufeinanderfolgende Könige repräsentiren ebensoviele Geschlechter und tausend Jahre (vgl. II 142). — *οὐ πλέω*, wie man nach Analogie anderer Völker erwarten mag. — *τοσαῦτα* 'nur soviele' (I 128 4).

6 f. *οἱ βασιλέες*, der drei *βασιληίαι* (12). — *ἱλασκόμενοι* = *σεβόμενοι* (c. 59 3). — *μετέρχονται* 'gehen an', *sacrificiis adeunt*, *prosequuntur*. Vgl. VI 69 *ἐπείτε με λιτῇσι μετέρχεαι*, VII 178 *θυσίῃσί σφεας* (*ἀνέμους*) *μετήισαν* (vgl. VII 179 2). Pindar Ol. III 40 *ξεινίαις αὐτοὺς* (die Dioskuren) *ἐποίχονται τραπέζαις*. Aesch. Prom. 530 *θεοὺς ὁσίαις θυσίαις ποτινισσομένα*. Theokr. Epigr. VII 3 *ὅς μιν* (den Asklepios) *ἐπ' ἦμαρ ἀεὶ θυέεσσιν ἱκνεῖται*. (Die Erklärung *arcessunt* stimmt nicht mit 14; auch würde H. bei diesem Sinne eher *μετερχόμενοι* oder *μετελθόντες ἱλάσκονται* geschrieben haben).

8 ff. Etwas kurz st. *εἷς δέ τις ἔχων τὸν χρυσὸν τὸν ἱρὸν ἐν τῇ ὁρτῇ ὑπαίθριος φυλάσσει· ὃς δ' ἂν ἔχων κατακοιμηθῇ κτλ.* Vgl. zu I 17 10.

11. *διὰ τοῦτο*, wegen der Gefahr, der er sich aussetzte, wenn er auf der Wache einschlief. Die Art der Belohnung muſs auffallen bei einem nomadisirenden Volke, das keinen festen Grundbesitz kennt.

12. *τριφασίας*: vgl. c. 120.

15 ff. Die geographische Bemerkung erscheint an dieser Stelle unerwartet, mag aber hier untergebracht sein, um die skythische Ueberlieferung (*λέγουσι*, sc. *Σκύθαι*, vgl. c. 31) über Volk und Land zusammenzuhalten. — Verb. *τὰ κατύπερθε τῆς χώρης* (vgl. c. 8 2. 31 4), 'die höheren Theile des Landes nördlich von den oberen Anwohnern'. Von den *ὑπέροικοι* s. c. 17 ff.

17. *πτερῶν*: die richtige Erklärung s. c. 31.

8 *Σκύθαι μὲν ὧδε ὑπὲρ σφέων τε αὐτῶν καὶ τῆς χώρης τῆς κατύπερθε λέγουσι, Ἑλλήνων δὲ οἱ τὸν Πόντον οἰκέοντες ὧδε. Ἡρακλέα ἐλαύνοντα τὰς Γηρυόνεω βοῦς ἀπικέσθαι ἐς γῆν ταύτην ἐοῦσαν ἐρήμην, ἥντινα νῦν Σκύθαι νέμονται. Γηρυόνεα δὲ οἰκέειν ἔξω τοῦ πόντου, κατοικημένον τὴν Ἕλληνες λέγουσι Ἐρύθειαν νῆσον τὴν πρὸς Γηδείροισι τοῖσι ἔξω Ἡρακλέων στη-*

II. Die Tradition der pontischen Hellenen (c. 8–10).

8. *ὧδε* st. *οὕτω*; zu I 137 2. — *ὑπέρ* = *περί*.

2. *οἱ τὸν Πόντον οἰκέοντες*, die 'Anwohner des Pontos', vgl. c. 95 2 und zu c. 46 2. — Diese Tradition umfafst das ganze Hinterland der hellenischen Colonien mit allen Hauptstämmen, die skythische dagegen beschränkt sich auf die Skythen.

3. Die Sage von Herakles' Fahrt nach den Sonnenrindern des Geryones (*Γηρυόνης*, auch *Γηρυών*, *Γηρυονεύς*) findet sich in einfachster Gestalt bei Hes. Th. 287: *Χρυσάωρ δ' ἔτεκε τρικάρηνον Γηρυονῆα Μιχθεὶς Καλλιρόῃ κούρῃ κλυτοῦ Ὠκεανοῖο. Τὸν μὲν ἄρ' ἐξενάριξε βίη Ἡρακληείη Βουσὶ πάρ' εἰλιπόδεσσι περιρρύτῳ εἰν Ἐρυθείῃ, Ἤματι τῷ ὅτε περ βοῦς ἤλασεν εὐρυμετώπους Τίρυνθ' εἰς ἱερήν, διαβὰς πόρον Ὠκεανοῖο, Ὄρθον τε κτείνας καὶ βουκόλον Εὐρυτίωνα Σταθμῷ ἐν ἠερόεντι πέρην κλυτοῦ Ὠκεανοῖο.* Die folgenden Dichter (Peisandros, Stesichoros, Panyasis) und Logographen (Pherekydes, Hekataeos) bildeten sie weiter aus und suchten insbesondere die Lage der Insel sowie Hin- und Rückfahrt näher zu bestimmen. Bei den Aelteren setzt Herakles die erbeuteten Rinder auf dem ihm von Helios geliehenen Sonnenbecher über den Okeanos und kehrt durch Iberien, Gallien, Italien, Sicilien um das adriatische Meer, überall Abenteuer und Kämpfe bestehend, nach Mykenae zurück. Indem die pontischen Hellenen (die Olbiopoliten?) ihn auch nach Skythien gelangen und Stammvater der Könige der Agathyrsen, Gelonen und Skythen werden liefsen (c. 10), wufsten sie die Urgeschichte jener Völker, mit denen sie in vielfachem Verkehr standen, auf eine geschickte Weise mit ihrer eigenen zu verknüpfen.

4. *τὰς βοῦς*, nicht eben 'Kühe', sondern überhaupt 'Rinder'. Etym. M. p. 473 34 *ἰστέον δὲ ὅτι οἱ Ἴωνες πάσας τὰς ἀγέλας ἐκθηλύνουσι τῇ προφορᾷ, τὰς ἵππους καὶ τὰς ὄνους καὶ τὰς βοῦς λέγοντες.* — *ἐοῦσαν ἐρήμην*: vgl. c. 5 3. — *ἥντινα*, zumal nach *ταύτην*, ohne wesentlichen Unterschied vom einfachen Relativ; ebenso I 7 10. 145 9. 167 15. II 46 13. 73 16. 99 18. 100 6. III 70 6. 115 6. IV 41 8. 45 17 u. 25. VI 13 14. 47 3. 123 4. VII 196 11. VIII 26 8. Od. β 124 *ὄφρα κε κείνη τοῦτον ἔχῃ νόον, ὅντινά οἱ νῦν Ἐν στήθεσσι τιθεῖσι θεοί.* Vgl. zu I 56 5.

6 f. *ἔξω τοῦ πόντου* 'des Meeres', nämlich des mittelländischen, *ἔξω τῆς μεγάλης θαλάσσης* (Hekataeos in der unten angeführten Stelle). — *κατοικημένον*: zu I 27 22 und zu I 67 5. — *Ἐρύθειαν* 'die rothe' (vgl. *ἐρεύθω*, *ἐρυθρός*), sei es mit Anspielung auf den Sonnengott, dessen Rinder (*βόες φοινικαῖ* Apollodor. II 5 10) dort weideten, oder auf den Namen der Phoeniken, der ersten Ansiedler jener Gegend (vgl. zu VII 89 8). Nach Plinius nat. hist. IV

λέων ἐπὶ τῷ Ὠκεανῷ. τὸν δὲ Ὠκεανὸν λόγῳ μὲν λέ-
γουσι ἀπὸ ἡλίου ἀνατολέων ἀρξάμενον γῆν πέρι πᾶσαν
ῥέειν, ἔργῳ δὲ οὐκ ἀποδεικνῦσι. ἐνθεῦτεν τὸν Ἡρακλέα
ὡς ἀπικέσθαι ἐς τὴν νῦν Σκυθικὴν χώρην καλεομένην,
καταλαβεῖν γὰρ αὐτὸν χειμῶνά τε καὶ κρυμόν, ἐπειρυ-
σάμενον τὴν λεοντέην κατυπνῶσαι, τὰς δέ οἱ ἵππους
[τὰς] ὑπὸ τοῦ ἅρματος νεμομένας ἐν τούτῳ τῷ χρόνῳ
9 ἀφανισθῆναι θείῃ τύχῃ. ὡς δ' ἐγερθῆναι τὸν Ἡρα-
κλέα, δίζησθαι, πάντα δὲ τῆς χώρης ἐπεξελθόντα τέλος
ἀπικέσθαι ἐς τὴν Ὑλαίην καλεομένην γῆν· ἐνθαῦτα δὲ
αὐτὸν εὑρεῖν ἐν ἄντρῳ μιξοπάρθενόν τινα ἔχιδναν δι-

120 hiefs sie auch Aphrodisias und bei den Eingebornen 'Insel der Juno'. — ἔξω: vgl. zu II 33 13. Die Lage wird hier wohl deshalb so sorgfältig bezeichnet, weil Hekataeos eine ganz abweichende und die Ankunft des Herakles in Skythien ganz ausschliefsende Ansicht vorgetragen hatte. Arrian. An. II 16 Γηρυόνην οὐδέν τι προσήκειν τῇ γῇ τῶν Ἰβήρων Ἑκαταῖος ὁ λογοποιὸς λέγει· οὐδὲ ἐπὶ νῆσόν τινα Ἐρύθειαν ἔξω τῆς μεγάλης θαλάσσης σταλῆναι Ἡρακλέα, ἀλλὰ τῆς ἠπείρου τῆς περὶ Ἀμβρακίαν τε καὶ Ἀμφιλόχους βασιλέα γενέσθαι Γηρυονέα καὶ ἐκ τῆς ἠπείρου ταύτης ἀπελάσαι Ἡρακλέα τὰς βοῦς.

8 ff. λέγουσι, sc. Ἕλληνες. Vgl. II 23. IV 36. — ἀπὸ ἡλίου ἀνατολέων ἀρξάμενον, analog der täglichen Bahn des Sonnengottes, den Nachts die kreisende Strömung des Okeanos in goldenem Becher nach Osten zurückführt. — ἔργῳ, etwa durch den Nachweis, dafs die Nordhälfte der Erdscheibe von Wasser umschlossen sei, was bis auf H. nicht erwiesen war (III 115. IV 45).

13. κατυπνῶσαι: hierin wie in dem Verluste der Pferde hat die Sage eine merkwürdige Aehnlichkeit mit der italischen bei Livius I 7: *Herculem in ea loca Geryone interempto boves mira specie abegisse memorant ac prope Tiberim fluvium, qua prae se armentum agens nando traiecerat, loco herbido, ut quiete et pabulo laeto reficeret boves, et ipsum fessum via procubuisse. ibi cum eum cibo vinoque gravatum sopor oppressisset, pastor accola eius loci nomine Cacus aversos boves eximium quemque pulchritudine caudis in speluncam traxit.*

14. ὑπὸ τοῦ ἅρματος verbunden mit ἀφανισθῆναι, unter dem Joche weg, womit sie am Wagen befestigt waren. Il. θ 543 ἵππους μὲν λῦσαν ὑπὸ ζυγοῦ, Xen. An. VI 4 25 λαβὼν βοῦν ὑπὸ ἁμάξης. Vgl. ὑπέκ III 116 4. — Wagen und Pferde, sonst dem Herakles fremd, sind entweder der skythischen Sitte zu Liebe in den Mythus aufgenommen, oder deuten auf die ältere Vorstellung von Herakles als dem Sonnengotte.

15. θείῃ τύχῃ: vgl. zu III 139 14. Die Art, wie die angeschirrten Pferde in dem menschenleeren Lande entkamen, war räthselhaft.

9. 2. πάντα τῆς χώρης, wie VII 19 πάντα τῆς ἠπείρου.

3. τὴν Ὑλαίην: zu c. 18 3.

4. ἐν ἄντρῳ: 'in dem gebirgsleeren Skythien hätte man in einer auf die Landesbewohner berechneten

φυέα, τῆς τὰ μὲν ἄνω ἀπὸ τῶν γλουτῶν εἶναι γυναικός, τὰ δὲ ἔνερθε ὄφιος. ἰδόντα δὲ καὶ θωυμάσαντα ἐπείρεσθαί μιν εἴ κου ἴδοι ἵππους πλανεομένας· τὴν δὲ φάναι ἑωυτὴν ἔχειν, καὶ οὐκ ἀποδώσειν ἐκείνῳ πρὶν ἤ οἱ μιχθῆναι· τὸν δὲ Ἡρακλέα μιχθῆναι ἐπὶ τῷ μισθῷ τούτῳ. κείνην τε δὴ ὑπερβάλλεσθαι τὴν ἀπόδοσιν τῶν ἵππων, βουλομένην ὡς πλεῖστον χρόνον συνεῖναι τῷ Ἡρακλέι, καὶ τὸν κομισάμενον ἐθέλειν ἀπαλλάσσεσθαι· τέλος δὲ ἀποδιδοῦσαν αὐτὴν εἰπεῖν „ἵππους μὲν δὴ ταύτας ἀπικομένας ἐνθάδε ἔσωσά τοι ἐγώ, σῶστρα δὲ σὺ παρέσχες· ἐγὼ γὰρ ἐκ σεῦ τρεῖς παῖδας ἔχω. τούτους, ἐπεὰν γένωνται τρόφιες, ὅ τι χρὴ ποιέειν, ἐξηγέο σύ, εἴτε αὐτοῦ κατοικίζω (χώρης γὰρ τῆσδε ἔχω τὸ κράτος αὐτή) εἴτε ἀποπέμπω παρὰ σέ.“ τὴν μὲν δὴ ταῦτα ἐπειρωτᾶν, τὸν δὲ λέγουσι πρὸς ταῦτα εἰπεῖν „ἐπεὰν ἀνδρωθέντας ἴδῃ τοὺς παῖδας, τάδε ποιεῦσα οὐκ ἂν ἁμαρτάνοις. τὸν μὲν ἂν ὁρᾷς αὐτῶν τόδε τὸ τόξον ὧδε διατεινόμενον καὶ τῷ ζωστῆρι τῷδε κατὰ τάδε ζων-

Mythe ein solches zu Zweifeln aufforderndes Einschiebsel vermieden, wenn man nicht eine Stelle im Auge haben konnte, an der sich wirklich Grotten befanden. Diese können nun natürlich erst da vorkommen, wo an den Thalrändern der Molotschna und Berda unterirdisches Gestein zu Tage tritt; und hier finden sie sich in der That'. *Neumann* I 81. Aber so weit nach O. reichte die Hylaea nicht (c. 55 3); und in einer Waldlandschaft eine Höhle vorauszusetzen konnte wenigstens nicht befremden. War sie doch ein herkömmlicher Bestandtheil der Echidna-sage. Hes. Th. 297 (*Καλλιρόη ἔτεκε*) *σπῆι ἔνι γλαφυρῷ θείην κρατερόφρον' Ἔχιδναν, Ἥμισυ μὲν νύμφην ἑλικώπιδα καλλιπάρῃον, Ἥμισυ δ' αὖτε πέλωρον ὄφιν . . Ἔνθα δέ οἱ σπέος ἐστὶ κάτω κοίλῃ ὑπὸ πέτρῃ Τηλοῦ ἀπ' ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων· Ἔνθ' ἄρα οἱ δάσσαντο θεοὶ κλυτὰ δώματα ναίειν.* — *μιξοπάρθενος* heifst auch die Sphinx Eur. Phoen. 1023.

12. *κομισάμενον*, sc. *τὰς ἵππους.*

14. *ἀπικομένας ἐνθάδε*, nicht etwa von mir entführt.

15. *τρεῖς*, dieselbe Zahl wie in der Skythensage (c. 5 8. 7 12).

16. *τρόφιες=ἀνδρωθέντες* (20), *adulti*. In diesem Sinne auch bei Hippokrates. Hesychios *τρόφις· τεθραμμένος, εὖ τεθραμμένος, μέγας.* Il. λ 307 *τρόφι κῦμα.* Vgl. auch *τροφόεις.*

18. *αὐτή* 'ich allein'.

22. *ὧδε*: vgl. III 21 16; auf skythische Weise nämlich, die als eine eigenthümliche geschildert wird. Schol. Il θ 325 *Νεοτέλης . . τοὺς μὲν Κρῆτας φάμενος τὴν νευρὰν ἕλκειν ἐπὶ τὸν μαστόν, τὴν δὲ τάσιν κυκλοτερῆ ποιεῖσθαι, τῶν*

νύμενον, τοῦτον μὲν τῆσδε τῆς χώρης οἰκήτορα ποιεῦ· ὃς δ' ἂν τούτων τῶν ἔργων τῶν ἐντέλλομαι λείπηται, ἔκπεμπε ἐκ τῆς χώρης. καὶ ταῦτα ποιεῦσα αὐτή τε

10 *εὐφρανέεαι καὶ τὰ ἐντεταλμένα ποιήσεις.“ τὸν μὲν δὴ εἰρύσαντα τῶν τόξων τὸ ἕτερον (δύο γὰρ δὴ φορέειν τέως Ἡρακλέα) καὶ τὸν ζωστῆρα προδέξαντα, παραδοῦναι τὸ τόξον τε καὶ τὸν ζωστῆρα ἔχοντα ἐπ' ἄκρης τῆς συμβολῆς φιάλην χρυσέην, δόντα δὲ ἀπαλλάσσεσθαι. τὴν δ', ἐπεί οἱ γενομένους τοὺς παῖδας ἀνδρωθῆναι, τοῦτο μέν σφι οὐνόματα θέσθαι, τῷ μὲν Ἀγάθυρσον αὐτῶν, τῷ δ' ἑπομένῳ Γελωνόν, Σκύθην δὲ τῷ νεωτάτῳ, τοῦτο δὲ τῆς ἐπιστολῆς μεμνημένην αὐτὴν ποιῆσαι τὰ ἐντεταλμένα. καὶ δὴ δύο μέν οἱ τῶν παίδων, τόν τε Ἀγάθυρσον καὶ τὸν Γελωνόν, οὐκ οἵους τε γενομένους ἐξικέσθαι πρὸς τὸν προκείμενον ἄεθλον, οἴχεσθαι ἐκ τῆς χώρης ἐκβληθέντας ὑπὸ τῆς γειναμέ-*

Σκυθῶν οὐκ ἐπὶ τὸν μαστὸν ἀλλ' ἐπὶ τὸν ὦμον ἑλκόντων, so dafs dem Feinde die Seite zugewendet wurde. Plat. Ges. 794ᵉ *ὁ τῶν Σκυθῶν νόμος, οὐκ ἐν ἀριστερᾷ μὲν τόξον ἀπάγων ἐν δεξιᾷ δὲ οἰστὸν προσαγόμενος μόνον, ἀλλ' ὁμοίως ἑκατέραις ἐπ' ἀμφότερα χρώμενος.* Auch die Art der Gürtelung wird eine besondere gewesen sein, ist uns aber unbekannt.

24. *λείπηται* 'zurückbleibt, nicht erreicht', d. i. hier 'nicht vollbringt'. Vgl. unten 12 und zu VII 153 17.

26. *καὶ — ποιήσεις*, d. h. 'und wirst auch mir, durch Ausführung meines Willens, Freude machen', wie dir selbst.

10. 2. *δύο γὰρ φορέειν*, Aushilfe der Sage, damit der Heros nicht hinfort seines unerläfslichen Attributes entbehre.

3. *τὸν ζωστῆρα*, eigentlich *τὴν ζῶσιν τοῦ ζωστῆρος*.

5. *ἐπ' ἄκρης τῆς συμβολῆς*, oben am Gürtelschlusse. *συμβολή*, *commissura*, wo die beiden Enden zusammentreffen. Der Becher hing also am oberen Theile der Gürtelspange; vgl. 17.

8. Agathyrsos und Gelonos repraesentiren die äufsersten Anwohner des Skythenlandes im Nordwesten und Nordosten, die Agathyrsen (c. 104) und Gelonen (c. 108). Statt *Γελωνός* hätte nach H.'s Berichtigung vielmehr *Βουδῖνος* gesagt sein sollen (c. 109), wie statt *Σκύθης* richtiger *Σκόλοτος* (c. 6); H. behält hier aber absichtlich den ungenauen Ausdruck seiner pontischen Landsleute bei. — *Σκύθην*: nach einer anderen wahrscheinlich ursprünglicheren Sage (Diodor II 43) war er der einzige Sohn des Zeus und einer *γηγενὴς παρθένος*, die genau so wie c. 9 die *μιξοπάρθενος ἔχιδνα* beschrieben wird und der 'Tochter des Borysthenes' in der Skythensage (c. 5) entspricht.

10. *οἱ*: zu I 34 16.

12. *ἐξικέσθαι πρός* 'erreichen, vollbringen', *ἐπιτελέσαι* (14).

νης, τὸν δὲ νεώτατον αὐτῶν Σκύθην ἐπιτελέσαντα καταμεῖναι ἐν τῇ χώρῃ. καὶ ἀπὸ μὲν Σκύθεω τοῦ Ἡρακλέος γενέσθαι τοὺς αἰεὶ βασιλέας γινομένους Σκυθέων, ἀπὸ δὲ τῆς φιάλης ἔτι καὶ ἐς τόδε φιάλας ἐκ τῶν ζωστήρων φορέειν Σκύθας· τὸ δὴ μοῦνον μηχανήσασθαι τὴν μητέρα Σκύθῃ. ταῦτα δὲ Ἑλλήνων οἱ τὸν Πόντον οἰκέοντες λέγουσι.

Ἔστι δὲ καὶ ἄλλος λόγος ἔχων ὧδε, τῷ μάλιστα 11
λεγομένῳ αὐτὸς πρόσκειμαι. Σκύθας τοὺς νομάδας οἰ-

16. *τοὺς αἰεὶ βασιλέας*: nur den Ursprung der Königsgeschlechter knüpft diese Sage an Herakles, nicht den des Volkes selbst, und unterscheidet sich dadurch wesentlich von der ersten Sage. Auf ähnliche Weise wurden die Dynastien der Assyrier, der Lyder (I 7) und der Makedonen (VIII 137) von Herakles abgeleitet. Auch bei Diodor II 43 ist *Σκύθης* nur *ἐπώνυμος*, nicht Stammvater des Volkes.

17. *ἐκ* 'an' (IX 74 4).

18. *τὸ δὴ* kann sich wohl nur auf *καταμεῖναι ἐν τῇ χώρῃ* beziehen; ob aber *μοῦνον* an *τὸ δὴ* (*quod quidem unum*) oder an *τὴν μητέρα* (*tantum* d. i. *neminem nisi matrem*) anzuschliefsen ist unklar. Für letzteren Fall, wo *μοῦνον* adverbial stände, vgl. I 32 31. II 3 9. 92 25. 161 1. VIII 137 11.

19. *ταῦτα δέ* erneuert die Partikel aus c. 8 2. S. zu II 166 5.

III. Die combinirte Tradition (c. 11f.).

11. Dieser dritte *λόγος*, der, gegenüber den beiden ersten *λόγοι*, die Skythen für asiatische Einwanderer erklärt, ist nicht eine einfache nationale Ueberlieferung, sondern aus verschiedenen Traditionen und geschichtlichen Thatsachen combinirt, eine historische Hypothese, die sich als solche daran zu erkennen giebt, dafs sie sich zu begründen sucht (c. 12). Als seine ursprünglichen selbständigen Bestandtheile lassen sich sechs ausscheiden: 1. Nomadische Skythen ziehen von den Massageten gedrängt über einen Flufs Araxes aus Asien in ihre späteren nordpontischen Sitze; — 2. Grabmal angeblich kimmerischer Könige am Tyras (Dnjestr); — 3. Denkmäler einer einstigen kimmerischen Bevölkerung zu beiden Seiten des gleichnamigen Bosporos; — 4. Einfall von Kimmeriern in Kleinasien; — 5. Kimmerier auf der Halbinsel von Sinope; — 6. Einfall der s. g. Skythen in Vorderasien. Alles Uebrige ist, um zwischen diesen Theilen einen pragmatischen Zusammenhang herzustellen, hinzuerdichtet und verräth sich durch auffallende Widersprüche (zu 3. c. 12 4ff.). Als Vertreter dieses *λόγος* bezeichnet H. sowohl Hellenen als Barbaren (c. 12 13), wahrscheinlich asiatische (vgl. zu I 73 8); denn auf dem Zusammentreffen von 'Skythen' und Kimmeriern in Vorderasien beruht im Wesentlichen die Combination.

1. *τῷ — πρόσκειμαι* 'dessen Ueberlieferung ich mich am meisten anschliefse'. Vgl. c. 36 *τὸν περὶ Ἀβάριος λόγον — οὐ λέγω*. Wo H. sonst diesen Gegenstand berührt, trägt er denn auch diese Weise der Ueberlieferung ohne weiteres als Geschichte vor (I 103. IV 1ff.). — *τοὺς νομάδας*: der Zusatz auch I 15 5. 73 8 von diesen Skythen. Von den pontischen Skythen noma-

κέοντας ἐν τῇ Ἀσίῃ, πολέμῳ πιεσθέντας ὑπὸ Μασσαγετέων οἴχεσθαι διαβάντας ποταμὸν Ἀράξεα ἐπὶ γῆν τὴν Κιμμερίην (τὴν γὰρ νῦν νέμονται Σκύθαι, αὕτη λέγεται τὸ παλαιὸν εἶναι Κιμμερίων), τοὺς δὲ Κιμμερίους ἐπιόντων Σκυθέων βουλεύεσθαι ὡς στρατοῦ ἐπιόντος μεγάλου, καὶ δὴ τὰς γνώμας σφέων κεχωρισμένας, ἐντόνους μὲν ἀμφοτέρας, ἀμείνω δὲ τὴν τῶν βασιλέων· τὴν μὲν γὰρ δὴ τοῦ δήμου φέρειν γνώμην ὡς ἀπαλλάσσεσθαι πρῆγμα εἴη μηδὲ πρὸ σποδοῦ δεόμενον κιν-

disirten die zwischen den Flüssen Gerrhos und Tanais heimischen (c. 19f.).

3f. Von den Massageten s. I 201 ff. Ihre Sitze denkt sich H. in den weiten Steppen östlich vom kaspischen Meere, seit der Verdrängung der Skythen am Nordufer des ostwärts nach Asien hineinfliefsenden Araxes, über welchen zu I 202 1. Gingen nun die Skythen, bisher die nördlichen Anwohner des Araxes, über diesen Flufs, so gelangten sie zunächst an den Nordrand des iranischen Plateaus und mufsten um die Südküste des kaspischen Meeres herum durch die Pässe des Kaukasos ziehen, um das 'kimmerische Land' zu erreichen, — ein Weg, der zumal für ein Nomadenvolk geradezu unmöglich ist. Dieselbe Richtung sollen sie dann, um die Kimmerier zu verfolgen, noch einmal rückwärts gezogen sein (c. 12 10). Der Widerspruch löst sich dahin, dafs diese Skythen, die von den Massageten gedrängt über den Araxes nach Süden zogen, mit den pontischen Skythen gar nichts gemein haben, sondern turanische Reiterschwärme, Saken, waren, welche in das Reich ihrer uralten Feinde, der iranischen Meder, einbrachen. Vgl. zu I 104 7. Was ihnen die Meder und Perser von Saken erzählten, übertrugen die Hellenen, nach einer geläufigen Verwechslung (VII 64 *οἱ γὰρ Πέρσαι πάντας τοὺς Σκύθας καλέουσι Σάκας*), unbedenklich auf die Skythen am Pontos.

5. *Κιμμερίην*: die Bezeichnung rechtfertigt der folgende Satz. Historisch, scheint es, war der Name auf einen Theil der Halbinsel Taman beschränkt (zu c. 12 3), H. dehnt ihn aber auf das ganze Land östlich vom Tyras (23) aus.

8ff. *κεχωρισμένας*: das Hauptverbum fehlt. Der Satz war so angelegt: *τὰς γνώμας σφέων κεχωρισμένας τὴν μὲν τοῦ δήμου φέρειν . .*, nach der Parenthesis von *ἐντόνους – βασιλέων* aber ward diese Form unbequem und lieber mit *τὴν μὲν γὰρ . .* ein neuer Satz begonnen, so dafs der erste unvollendet blieb. Ueber ein ähnliches Anakoluth zu II 101 1. III 121 5.

10. *φέρειν* 'ging dahin'. S. zu c. III 77 2.

11. *πρῆγμα εἴη*, *opus esset* (I 79 4). Die grofse Masse, der Liebe zum heimathlichen Boden baar, hält es für gleichgültig wo sie wohnt, wenn sie nur sicher wohnt (*ubi bene ibi patria*); ein Kampf um den Besitz des bisher besessenen Landes erscheint ihr darum eine Thorheit: 'man brauche nicht um Erdstaub sich zu schlagen'. (Statt *πρὸ σποδοῦ* ist in den Hss. *πρὸ πολλοῦ* und *πρὸς πολλοὺς* überliefert). *σποδός*, *pulvis*, noch c. 172 24. Zu *πρό* = *ὑπέρ*, *περί* vgl. VIII 74 *οἱ μὲν (ἔλεγον) ὡς ἐς τὴν Πελοπόν-*

δυνεύειν, τὴν δὲ τῶν βασιλέων διαμάχεσθαι περὶ τῆς
χώρης τοῖσι ἐπιοῦσι. οὔκων δὴ ἐθέλειν πείθεσθαι οὔτε
τοῖσι βασιλεῦσι τὸν δῆμον οὔτε τῷ δήμῳ τοὺς βασι-
λέας. τοὺς μὲν δὴ ἀπαλλάσσεσθαι βουλεύεσθαι ἀμαχη-
τὶ τὴν χώρην παραδιδόντας τοῖσι ἐπιοῦσι· τοῖσι δὲ βα-
σιλεῦσι δόξαι ἐν τῇ ἑωυτῶν κεῖσθαι ἀποθανόντας μηδὲ
συμφεύγειν τῷ δήμῳ, λογισαμένους ὅσα τε ἀγαθὰ πε-
πόνθασι καὶ ὅσα φεύγοντας ἐκ τῆς πατρίδος κακὰ ἐπί-
δοξα καταλαμβάνειν. ὡς δὲ δόξαι σφι ταῦτα, διαστάν-
τας καὶ ἀριθμὸν ἴσους γενομένους μάχεσθαι πρὸς ἀλ-
λήλους. καὶ τοὺς μὲν ἀποθανόντας πάντας ὑπ' ἑωυτῶν
θάψαι τὸν δῆμον τῶν Κιμμερίων παρὰ ποταμὸν Τύ-
ρην (καί σφεων ἔτι δῆλός ἐστι ὁ τάφος), θάψαντας δὲ
οὕτω τὴν ἔξοδον ἐκ τῆς χώρης ποιέεσθαι· Σκύθας δὲ
ἐπελθόντας λαβεῖν ἐρήμην τὴν χώρην. καὶ νῦν ἔστι μὲν 12
ἐν τῇ Σκυθικῇ Κιμμέρια τείχεα, ἔστι δὲ πορθμήια
Κιμμέρια, ἔστι δὲ καὶ χώρη οὔνομα Κιμμερίη, ἔστι δὲ

νησον χρεὼν εἴη ἀποπλέειν, καὶ περὶ ἐκείνης κινδυνεύειν μηδὲ πρὸ χώρης δοριαλώτου μένοντας μάχεσθαι, VII 134 11. 172 15. VIII 68 β 12. IX 48 18. 72 9. — *δεόμενον* selten für *δέον*. Soph. O. C. 570 *ὥστε βραχέα μοι δεῖσθαι λέγειν*. Plat. Men. 79 *δεῖταί* (und *δεῖσθαι*) *σοι τῆς αὐτῆς ἐρωτήσεως*. (Buttmann besserte *δέοι μένοντας*.) — *ἀνακινδυνεύειν* wie VIII 100 7. IX 41 18 u. s.

13. *οὔκων δή*: zu I 11 17.

19. *ἐπίδοξα*, sc. *ἐστί*; ebenso I 89 7. VI 12 17.

20. *διαστάντας*, die Könige. Sie theilten sich in zwei gleiche Gruppen, die sich im Einzelkampfe tödteten. Das Volk blieb natürlich unbetheiligt.

12. 2f. *Κιμμέρια τείχεα*: *Neumann* I 554 glaubt sie in einer noch erhaltenen aus Erdwällen bestehenden Verschanzung auf der Halbinsel Taman wiederzufinden. Doch müssen die hier gemeinten auf europaeischem Boden (*ἐν τῇ Σκυθικῇ*) gelegen haben. — Mit *πορθμήια Κιμμέρια* (noch c. 45 9) scheint die schmalste Stelle des kimmerischen Bosporos, die Strafse von Jenikale, bezeichnet zu sein, an deren Eingang später ein Ort *Πορθμίον* lag. Steph. Byz. *Πορθμία καὶ Πορθμίον, κώμη ἐπὶ τῷ στόματι τῆς Μαιώτιδος λίμνης*, auch *κώμη Πορθμῖτις* in des Anonymos Peripl. Pont. Eux. 56. — *Κιμμερίη*: so hiefs vermuthlich der nordwestliche Theil der Halbinsel Taman. 'Denn hier lag, wie Strabon p. 494 versichert, die alte Stadt der Kimmerier, zur Blüthezeit ihrer Macht auf einer Halbinsel gegründet, deren Zugang durch Wall und Graben gesichert war. Zu Strabon's Zeit und wol schon lange vor ihm war von dieser Stadt nichts mehr übrig, als die Erinnerung, die er verzeichnet hat'. *Neumann* I 554.

Βόσπορος Κιμμέριος καλεόμενος. φαίνονται δὲ οἱ Κιμμέριοι φεύγοντες ἐς τὴν Ἀσίην τοὺς Σκύθας καὶ τὴν χερσόνησον κτίσαντες, ἐν τῇ νῦν Σινώπη πόλις Ἑλλὰς οἴκισται. φανεροὶ δέ εἰσι καὶ οἱ Σκύθαι διώξαντες αὐτοὺς καὶ ἐσβαλόντες ἐς γῆν τὴν Μηδικήν, ἁμαρτόντες τῆς ὁδοῦ· οἱ μὲν γὰρ Κιμμέριοι αἰεὶ τὴν παρὰ θάλασσαν ἔφευγον, οἱ δὲ Σκύθαι ἐν δεξιῇ τὸν Καύκασον ἔχοντες ἐδίωκον, ἐς ὃ ἐσέβαλον ἐς γῆν τὴν Μηδικήν, ἐς μεσόγαιαν τῆς ὁδοῦ τραφθέντες. οὗτος δὲ ἄλλος ξυνὸς Ἑλλήνων τε καὶ βαρβάρων λεγόμενος λόγος εἴρηται.

4f. *φαίνονται*, wie allgemein bekannt. Von den Einfällen der Kimmerier in Kleinasien s. I 15. Schon dnr Dichter Kallinos (nm 700 v. Chr.) singt von ihnen *νῦν δ' ἐπὶ Κιμμερίων στρατὸς ἔρχεται ὀβριμοεργῶν* (Strab. 648), und Aristotelns bezeugt dafs sie hundert Jahrn in Antandros safsen (Steph. Byz. v. *Ἄντανδρος*). Sie können also nicht vor den Skythen unter Madyas (I 103), deren Ankunft frühestens 634 v. Chr. fällt (zu I 106 1), geflohnn sein, wenn anch durch dieselben ihren Streifzügen ein Endn gnmacht wurdn (Strab. 61).

6. Sinopn, ursprünglich von Syriern gegründet, war schon vor dnn Kimmeriern durch Milesier colonisirt und, wie es schnint, nach deren Abzuge znm zwniten Maln besetzt worden. Skymnos Chios 941 *Σινώπη πόλις ἐπώνυμος μιᾶς Ἀμαζόνων.. Ἣν ποτε μὲν ᾤκουν εὐγενεῖς ὄντες Σύροι, Μετὰ ταῦτα δ', ὡς λέγουσιν, Ἑλλήνων ὅσοι Ἐπ' Ἀμάζονας διέβησαν, Αὐτόλυκός τε καὶ Σὺν Δηιλέοντι Φλόγιος ὄντες Θετταλοί, Ἔπειτα δ' Ἅβρων τῷ γένει Μιλήσιος. Ὑπὸ Κιμμερίων οὗτος δ' ἀναιρεῖσθαι δοκεῖ· Μετὰ Κιμμερίους Κῷος πάλιν καὶ Κρητίνης Οἱ γενόμενοι φυγάδες ὅρων Μιλησίων. Οὗτοι συνοικίζουσι δ' αὐτήν, ἡνίκα Ὁ Κιμμερίων κατέδραμε τὴν Ἀσίαν στρατός.*

7. *διώξαντες αὐτούς*, offenbar blofse Vermnthung, nicht historische Thatsache. Weshalb solltnn din Skythrn die freiwillig Abziehenden verfolgen?

9. H. denkt sich din Kimmerier vom Tyras ab (c. 11) nach O. längs der Küstn des Pontos fliehend, — also den anrückenden Skythen geradeswegs entgegen! 'Flohen aber din Kimmerier wirklich nach O., so war es doch einn physische Unmöglichkeit, dafs sin sich, win H. meint, längs der Küste des schwarzen Meeres gerettet hätten; dinse Passage ist bis Kolchis übernll schwierig, nnd zwischen dnm heutigen Gelindschick nnd Gagra tritt das Gebirg so schroff an das Meer heran, dafs es mit steilen Wänden in die Wogen abfällt, din Communication zwischen den Thälern der verschindrnen Küstnnflüssn äufserst erschwert nnd sin für ein Heer oder für einn Volkswanderung durchaus unmöglich macht'. *Neumann* I 113.

10. *ἐν δεξιῇ – ἔχοντες*: derselbe nnbestimmte Ausdruck, der auf einen Marsch östlich wie westlich vom kaspischen Meere deutbar ist, auch I 104 8. Vgl. zu I 104 7.

12. 'des Weges sich ins Binnenland wendend', auf ihrem Wege die Richtung ins Binnenland nehmend. Vgl. zn VII 124 4. — *δέ*, wie oben c. 10 19.

13. *Ἑλλήνων – λεγόμενος*: zu

Ἔφη δὲ Ἀριστέης ὁ Καϋστροβίου ἀνὴρ Προκοννή- 13
σιος ποιέων ἔπεα, ἀπικέσθαι ἐς Ἰσσηδόνας φοιβό-
λαμπτος γενόμενος, Ἰσσηδόνων δὲ ὑπεροικέειν Ἀριμα-
σποὺς ἄνδρας μουνοφθάλμους, ὑπὲρ δὲ τούτων τοὺς

I 109 4.

IV. Die Tradition der Issedonen, nach Aristeas (c. 13 – 15).

13. Wenngleich der Inhalt des unter des Aristeas Namen noch von H. gelesenen epischen Gedichtes *Ἀριμάσπεα* (c. 14 17, in drei Büchern, nach Suidas), so weit er uns aus H.'s Mittheilungen bekannt wird, einen Kern geschichtlicher Wahrheit nicht verkennen und die Behauptung des Dichters, er sei bis zu den Issedonen gekommen, nicht bezweifeln läfst; so hat sich doch schon früh, wahrscheinlich anknüpfend an dichterisch-ekstatische Aeu.serungen in dem Werke selbst, eine dichte Hülle fabelhafter Sagen um seine Person gelegt, und von seiner geschichtlichen Existenz erscheint nur so viel zuverlässig, dafs er in Prokonnesos geboren, durch die Handelsverbindungen dieser milesischen Colonie nach Skythien und weiter zu den Issedonen gelangte (vgl. c. 24), und die so gesammelten Kenntnisse, dem Geschmacke seiner Zeit gemäfs, in poetischer Form veröffentlichte. Das Werk mufs frühzeitig untergegangen sein; denn die zu seiner Zeit vorhandenen *Ἀριμάσπεα* erklärt Dionysios Halik. de Thuk. p. 804 für unecht. — *ὁ Καϋστροβίου*, nach Anderen war er ein Sohn des Democharis. — Da Prokonnesos um 700 v. Chr. von Milesiern besetzt wurde, darf auch die Zeit des Aristeas nicht höher angesetzt werden. Nach Suidas lebte er *κατὰ Κροῖσον καὶ Κῦρον.*

2. *φοιβόλαμπτος*: vgl. zu III 69 15, und c. 79 *βακχεύομεν καὶ ἡμέας ὁ θεὸς λαμβάνει.* 'Aristeas stellte sich offenbar dar als einen von phoebeischer Begeisterung Ergriffenen, und darin die Ursitze seines Cultus, die Lieblingswohnung des Gottes (bei den Hyperboreern), Suchenden'. *Müller* Dorier I 364. Der Apollocult war in Prokonnesos von der Mutterstadt Miletos her heimisch, und der Name *Ἀριστέας* (bei Anderen auch *Ἀρισταῖος*) selber spielt im apollinischen Sagenkreise eine Rolle (zu c. 15 10).

3f. *Ἀριμασπούς*: vgl. c. 27. Tzetzes Chiliad. VII 689 hat aus den (echten?) *Ἀριμάσπεια* folgende Verse über sie: *ἀνθρώπους εἶναι καθύπερθεν ὁμούρους (Ἰσσηδόνων) Πρὸς βορέω, πολλούς τε καὶ ἐσθλούς, κάρτα μαχητάς, Ἀφνειοὺς ἵπποισι, πολύρρηνας, πολυβούτας. Ὀφθαλμὸν δ' ἕν' ἕκαστος ἔχει χαρίεντι μετώπῳ, Χαίτῃσιν λάσιοι, πάντων στιβαρώτατοι ἀνδρῶν.* Sie leben in fortwährendem Kampfe mit den goldhütenden Greifen (III 116). Pausan. I 24 6 *τούτους τοὺς γρῦπας ἐν τοῖς ἔπεσιν Ἀριστέας ὁ Προκοννήσιος μάχεσθαι περὶ τοῦ χρυσοῦ φησιν Ἀριμασποῖς τοῖς ὑπὲρ Ἰσσηδόνων· τὸν δὲ χρυσόν, ὃν φυλάσσουσιν οἱ γρῦπες, ἀνιέναι τὴν γῆν. εἶναι δὲ Ἀριμασποὺς μὲν ἄνδρας μονοφθάλμους πάντας ἐκ γενετῆς, γρῦπας δὲ θηρία λέουσι εἰκασμένα, πτερὰ δὲ ἔχειν καὶ στόμα ἀετοῦ.* Aesch. Prom. 703 *ἄλλην δ' ἄκουσον δυσχερῆ θεωρίαν.. Ὀξυστόμους γὰρ Ζηνὸς ἀκραγεῖς κύνας Γρῦπας φυλάξαι τόν τε μουνῶπα στρατὸν Ἀριμασπὸν ἱπποβάμον', οἳ χρυσόρρυτον Οἰκοῦσιν ἀμφὶ νᾶμα Πλούτωνος πόρου.* Die ganze Sage findet nach Inhalt und Local ihre Erklärung aus der

χρυσοφύλακας γρῦπας, τούτων δὲ τοὺς Ὑπερβορέους κατήκοντας ἐπὶ θάλασσαν. τούτους ὦν πάντας πλὴν Ὑπερβορέων, ἀρξάντων Ἀριμασπῶν, αἰεὶ τοῖσι πλησιοχώροισι ἐπιτίθεσθαι, καὶ ὑπὸ μὲν Ἀριμασπῶν ἐξωθέεσθαι ἐκ τῆς χώρης Ἰσσηδόνας, ὑπὸ δὲ Ἰσσηδόνων Σκύθας, Κιμμερίους δὲ οἰκέοντας ἐπὶ τῇ νοτίῃ θαλάσσῃ ὑπὸ Σκυθέων πιεζομένους ἐκλείπειν τὴν χώρην. οὕτω οὐδὲ οὗτος συμφέρεται περὶ τῆς χώρης ταύτης Σκύθῃσι.
14 καὶ ὅθεν μὲν ἦν Ἀριστέης ὁ ταῦτα εἴπας, εἴρηκα. τὸν δὲ περὶ αὐτοῦ ἤκουον λόγον ἐν Προκοννήσῳ καὶ Κυζίκῳ, λέξω. Ἀριστέην γὰρ λέγουσι, ἐόντα

persisch-indischen von den goldgrabenden Ameisen und den goldjagenden Indern (zu III 102 6), wie denn auch Ktesias Exc. Ind. 12 statt der Ameisen Greife nennt. Der Name *γρῦπες* sowie ihre halb löwen- halb adlerförmige Gestalt erinnern an die Cherubim des semitischen Orientes. — *Ὑπερβορέους*: zu c. 33 2.

6f. *ἐπὶ θάλασσαν*, das nördliche. Steph. Byz. v. *Ὑπερβόρεοι. Δαμάστης* (Her.'s Zeitgenosse) *δ' ἐν τῷ περὶ ἐθνῶν* (*φησιν*) *ἄνω Σκυθῶν Ἰσσηδόνας οἰκεῖν, τούτων δ' ἀνωτέρω Ἀριμασπούς, ἄνω δ' Ἀριμασπῶν τὰ Ῥίπαια ὄρη, ἐξ ὧν τὸν βορέαν πνεῖν, χιόνα δὲ μήποτε αὐτὰ ἐκλείπειν, ὑπὲρ δὲ τὰ ὄρη ταῦτα Ὑπερβορέους καθήκειν εἰς τὴν ἑτέραν θάλασσαν.* — *πλὴν Ὑπ.*: denn diese galten für friedliebende Menschen.

9ff. Die Issedonen-sage unterscheidet sich, die mythischen Elemente abgerechnet, von der c. 11 erzählten darin, dafs in jener die eigentlichen Skythen (Skoloten) von den Issedonen nach Südwest vorgedrängt werden und die Kimmerier erst nach der Einwanderung abziehen, während in dieser die sogenannten Skythen (Saken) vor den Massageten südwärts entweichen. Da Aristeas sich auf das Zeugnifs der von ihm besuchten Issedonen berufen konnte (c. 16 7), und überdies noch zu H.'s Zeiten ein Stamm der Skoloten westlich von jenem Volke wohnte (zu c. 22 14), so hat sein Bericht grofsen Anspruch auf geschichtliche Wahrheit. Beiden Traditionen liegen Erinnerungen an gewaltige Völkerbewegungen des mittleren Asiens zu Grunde; aber die Issedonen- und Skythenwanderung ist bedeutend älter, als die der Massageten und Saken. Nachher finden wir die Issedonen in den Steppen östlich vom Jaik (Ural); vgl. I 201. — *ἐπὶ τῇ νοτίῃ θαλάσσῃ*, Worte des Aristeas, der im Gegensatz zum Hyperboreer-meere den Pontos Euxeinos so bezeichnen mochte, ohne das eigentliche Südmeer noch zu kennen. H. selber rechnet den Pontos vielmehr zur *βορηίῃ θάλασσα* (c. 37 4).

12. *περὶ τῆς χώρης ταύτης*, über das nordöstliche Europa und seine Bewohner. Vgl. c. 197 4.

14. 2. Schon Pindar scheint die Wundergeschichte des Aristeas behandelt zu haben. Origines c. Cels. III 26 *ἔοικε δ' εἰληφέναι* (*Κέλσος*) *τὴν* (*περὶ τὸν Ἀρ.*) *ἱστορίαν ἀπὸ Πινδάρου καὶ Ἡροδότου.*

τῶν ἀστῶν οὐδενὸς γένος ὑποδεέστερον, ἐσελθόντα ἐς κναφήιον ἐν Προκοννήσῳ ἀποθανεῖν, καὶ τὸν κναφέα κατακληίσαντα τὸ ἐργαστήριον οἴχεσθαι ἀγγελέοντα τοῖσι προσήκουσι τῷ νεκρῷ. ἐσκεδασμένου δὲ ἤδη τοῦ λόγου ἀνὰ τὴν πόλιν ὡς τεθνεὼς εἴη ὁ Ἀριστέης, ἐς ἀμφισβασίας τοῖσι λέγουσι ἀπικέσθαι ἄνδρα Κυζικηνὸν ἥκοντα ἐξ Ἀρτάκης πόλιος, φάντα συντυχεῖν τέ οἱ ἰόντι ἐπὶ Κυζίκου καὶ ἐς λόγους ἀπικέσθαι. καὶ τοῦτον μὲν ἐντεταμένως ἀμφισβατέειν, τοὺς δὲ προσήκοντας τῷ νεκρῷ ἐπὶ τὸ κναφήιον παρεῖναι ἔχοντας τὰ πρόσφορα ὡς ἀναιρησομένους· ἀνοιχθέντος δὲ τοῦ οἰκήματος οὔτε τεθνεῶτα οὔτε ζώοντα φαίνεσθαι Ἀριστέην. μετὰ δὲ ἑβδόμῳ ἔτεϊ φανέντα αὐτὸν ἐς Προκόννησον ποιῆσαι τὰ ἔπεα ταῦτα τὰ νῦν ὑπ' Ἑλλήνων Ἀριμάσπεα καλέεται, ποιήσαντα δὲ ἀφανισθῆναι τὸ δεύτερον.

15 ταῦτα μὲν αἱ πόλιες αὗται λέγουσι, τάδε δὲ οἶδα Μεταποντίνοισι τοῖσι ἐν Ἰταλίῃ συγκυρήσαντα μετὰ τὴν ἀφάνισιν τὴν δευτέρην Ἀριστέω ἔτεσι τεσσεράκοντα καὶ διηκοσίοισι, ὡς ἐγὼ συμβαλλόμενος ἐν Προκοννήσῳ τε καὶ Μεταποντίῳ εὕρισκον. Μεταποντῖνοί φασι αὐτὸν Ἀριστέην φανέντα σφι ἐς τὴν χώρην κελεῦσαι βωμὸν Ἀπόλλωνος ἱδρύσασθαι καὶ

10. *Ἀρτάκη*, milesische Colonie, Hafenstadt von Kyzikos, später in Folge des ionischen Aufstandes zerstört (VI 33).

15. *μετὰ δέ, post autem* (I 128 6).

16. *φανέντα – ἐς*: vgl. zu I 9 9. Ebenso c. 15 6.

17. *νῦν ὑπ' Ἑλλήνων*: somit stammte der Titel nicht vom Dichter her, sondern wurde dem Werke nach dem interessantesten Theile beigelegt. Wahrscheinlich behandelte das 1. der drei Bücher (s. zu c. 13 1) die Issedonen (Skythen, Kimmerier), das 2. die Arimaspen (Greife), das 3. die Hyperboreer.

15. 2. *οἶδα*: zu I 20 2.

3. *Ἰταλίῃ*, in dem älteren engeren Begriffe das Land der Lukaner und Bruttier; zu I 167 15.

4. *διηκοσίοισι*: a. La. *τριηκοσίοισι*. Welche Grundlage die Rechnung (*συμβαλλόμενος*) habe, ist kaum zu ermitteln. Vielleicht verglich H. in beiden Städten Geschlechterlisten von Personen, deren Namen mit der Erzählung verknüpft waren, und fand die Zeitgenossen der 2. und 3. *ἀφάνισις* um 7 (oder 10) Geschlechter, = 240 (oder 340) J., von einander entfernt. Möglich auch dafs er die Sage benutzte, welche den Aristeas zum Lehrer des Homer machte (Strab. 639); vgl. II 53 5.

6. *Μεταποντῖνοί φασι*: das Asyndeton wegen *τάδε* (2.)

7. Der Cult des Apollon war in Metapont der vorherrschende (Strab.

Ἀριστέω τοῦ Προκοννησίου ἐπωνυμίην ἔχοντα ἀνδριάντα παρ' αὐτὸν στῆσαι· φάναι γάρ σφι τὸν Ἀπόλλωνα Ἰταλιωτέων μούνοισι δὴ ἀπικέσθαι ἐς τὴν χώρην, καὶ αὐτός οἱ ἕπεσθαι ὁ νῦν ἐὼν Ἀριστέης· τότε δέ, ὅτε εἵπετο τῷ θεῷ, εἶναι κόραξ. καὶ τὸν μὲν εἰπόντα ταῦτα ἀφανισθῆναι, σφέας δὲ Μεταποντῖνοι λέγουσι ἐς Δελφοὺς πέμψαντας τὸν θεὸν ἐπειρωτᾶν ὅ τι τὸ φάσμα τοῦ ἀνθρώπου εἴη. τὴν δὲ Πυθίην σφέας κελεύειν πείθεσθαι τῷ φάσματι, πειθομένοισι δὲ ἄμεινον συνοίσεσθαι. καὶ σφέας δεξαμένους ταῦτα ποιῆσαι ἐπιτελέα. καὶ νῦν ἕστηκε ἀνδριὰς ἐπωνυμίην ἔχων Ἀριστέω παρ' αὐτῷ τῷ ἀγάλματι τοῦ Ἀπόλλωνος, πέριξ δὲ αὐτὸν δάφναι ἑστᾶσι· τὸ δὲ ἄγαλμα ἐν τῇ ἀγορῇ ἵδρυται. Ἀριστέω μέν νυν πέρι τοσαῦτα εἰρήσθω.

265), wie auch die Münzen der Stadt zeigen.

9. Ammonios de diff. voce. p 77 *Ἰταλοὶ καὶ Ἰταλιῶται διαφέρουσιν. Ἰταλοὶ μὲν γὰρ οἱ ἀρχῆθεν τὴν χώραν οἰκοῦντες, Ἰταλιῶται δὲ ὁπόσοι τῶν Ἑλλήνων ἐπῴκησαν μετὰ ταῦτα.*

10. *ἀπικέσθαι*, wohl auf seiner Rückkehr von den Hyperboreern. Die Sage scheint auf vorzügliche Fruchtbarkeit des Landes hinzudeuten. Strab. 265 *οὕτως ἀπὸ γεωργίας εὐτυχῆσαί φασι (Μεταποντίνους) ὥστε θέρος χρυσοῦν ἐν Δελφοῖς ἀναθεῖναι.* Der hyperboreische Apollon ist besonders der Gott des Erndtesegens (vgl. zu c. 33 2), und sein Sohn Aristaeos (vgl. zu c. 13 2) ward als Schutzgott des Landbaues und der Viehzucht verehrt. — *αὐτός*: zu I 2 16.

12. Etwas anders Plin. VII 174 *Aristeae etiam (animam) visam evolantem ex ore in Proconneso corvi effigie.* Der Rabe war dem Apollon heilig; Aelian hist anim. I 48 *ὄρνιν αὐτόν φασιν εἶναι ἱερὸν καὶ Ἀπόλλωνος ἀκόλουθον εἶναι.* — Die Fabel erinnert lebhaft an die Seelenwanderungslehre der Pythagoreer (vgl. zu II 123 13). Von Pythagoras selber, einem ebenfalls eifrigen Verehrer des Apollon, heifst es, er habe zu verschiedenen Zeiten in verschiedenen Personen gelebt. Vgl. was c. 95 von dem 'Pythagoreer' Salmoxis erzählt wird. Nächst Kroton war Metapont ein Hauptsitz des pythagoreischen Bundes.

16. *ἄμεινον συνοίσεσθαι, melius eventurum esse* 'es würde ihnen zum Heil gereichen'; noch V 82 6. 114 9 in Orakelsprüchen. Vgl. zu c. 156 2, und VII 8α *θεός τε οὕτω ἄγει καὶ αὐτοῖσι ἡμῖν πολλὰ ἐπέπουσι συμφέρεται ἐπὶ τὸ ἄμεινον.* Vom Comparativ zu I 187 8. VII 169 5. *δεξαμένους* 'gläubig aufnehmend' (I 48 7).

17. *καί* 'und in der That'. Der Vf. spricht als Augenzeuge.

18f. *τῷ ἀγάλματι*, dem Altar (7). Bekk. Anecd. p. 334 *ἄγαλμα πᾶν ἀνάθημα καὶ καθιέρωμα.* — *δάφναι*, insbesondere auch eine von Erz; Athen. p. 605c *τῆς δάφνης τῆς χαλκῆς, ἣν ἔστησαν Μεταποντῖνοι κατὰ τὴν Ἀριστέα τοῦ Προκοννησίου ἐπιδημίαν.* Auch die Münzen der Stadt zeigen den Gott als *δαφνηφόρος*.

Τῆς δὲ γῆς, τῆς πέρι ὅδε ὁ λόγος ὥρμηται λέγεσθαι, 16 *οὐδεὶς οἶδε ἀτρεκέως ὅ τι τὸ κατύπερθέ ἐστι· οὐδενὸς γὰρ δὴ αὐτόπτεω εἰδέναι φαμένου δύναμαι πυθέσθαι· οὐδὲ γὰρ οὐδὲ Ἀριστέης, τοῦ περ ὀλίγῳ πρότερον τούτων μνήμην ἐποιεύμην, οὐδὲ οὗτος προσωτέρω Ἰσσηδόνων ἐν αὐτοῖσι τοῖσι ἔπεσι ποιέων ἔφησε ἀπικέσθαι· ἀλλὰ τὰ κατύπερθε ἔλεγε ἀκοῇ, φὰς Ἰσσηδόνας εἶναι τοὺς ταῦτα λέγοντας. ἀλλ' ὅσον μὲν ἡμεῖς ἀτρεκέως ἐπὶ μακρότατον οἷοί τ' ἐγενόμεθα ἀκοῇ ἐξικέσθαι, πᾶν εἰρήσεται.*

Ἀπὸ τοῦ Βορυσθενεϊτέων ἐμπορίου (τοῦτο γὰρ τῶν 17 *παραθαλασσίων μεσαίτατόν ἐστι πάσης τῆς Σκυθικῆς),*

Beschreibung des Landes (c. 16—58).

16. *Τῆς γῆς* gehört zu *τὸ κατύπερθε*; nicht blofs Skythiens in engerem Sinne, sondern der ganzen Ländermasse nördlich und nordöstlich vom Pontos. — *ὅδε ὁ λόγος*, an c. 13 12 anknüpfend. Cap. 14 und 15 werden erst nachträglich hinzugekommen sein. Ueber *ὅδε* st. *οὗτος* zu I 137 2. — *ὥρμηται*: zu III 56 5.

3. Vgl. III 115 11.

4. *οὐδὲ γὰρ οὐδέ*, homerisch; Il. ε 22 *οὐδὲ γὰρ οὐδέ κεν αὐτὸς ὑπέκφυγε κῆρα μέλαιναν.* Noch I 215 11. Vgl. zu I 49 5.

5. *Ἰσσηδόνων* = *ἢ ἐπὶ Ἰσσηδόνας.* Vgl. zu I 133 3.

6. *ποιέων ἔφησε*, wie c. 13 *ἔφη – ποιέων*, III 38 *δοκέει Πίνδαρος ποιῆσαι - φήσας.*

7. *ἀκοῇ*: zu I 171 8.

Die Bewohner (c. 17—27).

17. H. führt die ihm bekannt gewordenen Völker des skythischen Nordens in vier meist von S. nach N. ziehenden Reihen vor: 1. Kallipiden, Alazonen, Pflüger-Skythen, Neuren; 2. Acker-Skythen, Androphagen; 3. Nomaden-Skythen, königliche Skythen, Melanchlaenen; 4. Sauromaten, Budiner, Thyssageten, Iyrken, königliche Skythen, Orgempaeer. — *Βορυσθενεϊτέων ἐμπορίου*: so oder *B. ἄστυ* (c. 78 16) oder auch, nach dem nahen Strome, *Βορυσθένης* (c. 78 29) nennen H. und A. die berühmte und mächtige Pflanzstadt der Milesier (c. 78 17) am rechten Ufer des Hypanis (Bug), einige Meilen oberhalb seiner Mündung, gegenüber der *Ἱππόλεω ἄκρη* (c. 53 27). Sie selber nannte sich auf Inschriften und Münzen *Ὀλβίη*, 'die Glückliche, Reiche', und ihre Einwohner *Ὀλβιοπολῖται* (vgl. c. 18 5). Als milesische Gründung hiefs sie auch wohl *Μιλητόπολις* (Plin. nat. hist. IV 82). Ihre Ruinen liegen südlich von Nikolajew beim Flecken Ilinsky. Sie war Jahrhunderte lang der Mittelpunkt des hellenischen Handels an diesen Küsten; und hier zog wohl H. die meisten seiner skythischen Nachrichten ein (vgl. c. 24). — *γάρ*: 'daher bietet es uns einen passenden Ausgangspunkt.

2. *μεσαίτατον*, nach der Vorstellung, die sich H. von der Gestalt und Ausdehnung der skythischen Küste (*τῶν παραθαλασσίων*) gebildet hatte (c. 101).

ἀπὸ τούτου πρῶτοι Καλλιπίδαι νέμονται ἐόντες Ἕλλη-
νες Σκύθαι, ὑπὲρ δὲ τούτων ἄλλο ἔθνος οἳ Ἀλαζῶνες
καλέονται. οὗτοι δὲ καὶ οἱ Καλλιπίδαι τὰ μὲν ἄλλα
κατὰ ταὐτὰ Σκύθῃσι ἐπασκέουσι, σῖτον δὲ καὶ σπεί-
ρουσι καὶ σιτέονται, καὶ κρόμμυα καὶ σκόροδα καὶ
φακοὺς καὶ κέγχρους. ὑπὲρ δὲ Ἀλαζώνων οἰκέουσι Σκύ-
θαι ἀροτῆρες, οἳ οὐκ ἐπὶ σιτήσι σπείρουσι τὸν σῖτον
ἀλλ' ἐπὶ πρήσι. τούτων δὲ κατύπερθε οἰκέουσι Νευροί.
Νευρῶν δὲ τὸ πρὸς βορέην ἄνεμον ἔρημος ἀνθρώπων,
ὅσον ἡμεῖς ἴδμεν. ταῦτα μὲν παρὰ τὸν Ὕπανιν ποτα-
18 *μόν ἐστι ἔθνεα πρὸς ἑσπέρης τοῦ Βορυσθένεος· ἀτὰρ*
διαβάντι τὸν Βορυσθένεα ἀπὸ θαλάσσης πρῶτον μὲν

3f. *ἀπὸ τούτου*, den Hypsnis hinauf, westlich vom Borysthenes (13). — *Καλλιπίδαι*: Skymnos Ch. 801 *πρώτους δὲ παρὰ τὸν Ἴστρον εἶναι* Καρπίδας *Εἴρηκεν Ἔφορος, εἶτεν Ἀροτῆρας πρόσω Νευρούς τε μέχρι γῆς πάλιν ἐρήμου.* — *Ἕλληνες Σκύθαι* = *Ἑλληνέσκυθαι*, Skythen, die durch den Verkehr mit der hellenischen Handelsstadt hellenische Sitten sngenommen hatten. Dafs es aber wirkliche Skythen gewesen, ist sehr zweifelhaft. Ueber die Zusammenstellung vgl. zu III 56 9. — *Ἀλαζῶνες*: andere La. *Ἀλιζῶνες*, für welche die Ueberlieferung der Hss. hei Strah. 550 zeugt. Ihr Gebiet grenzte vier Tagefahrten eherhalb der Mündung des Hypanis an das der *Σκύθαι ἀροτῆρες* (c. 52).

6. *σῖτον δὲ* . . , werin sie ven den Skythen ahweichen (c. 19 3).

9. *ἀροτῆρες*: unter dieser vagen Bezeicheung moehten die Olhiopeliten, in Ermangelung eines Nationalnamous, die ackerbauenden Stämme am Bug und Dnjepr zusammenfassen. Skythen hiefsen auch sie wehl nur *καταχρηστικῶς* (zu c. 6 6). *Neumann* I 178 vermuthet zwar, dafs dieser Bezeichnung, wie auch hei *γεωργοί* c. 18 4, *νομάδες* c. 19 3, *βασιλήιοι* c. 20 10, ein wirklicher Stammname zu Grunde liege, dessen Form H e r o d o t graecisirt habe. Man darf aher nicht zweifeln, dafs H. nur dem Sprachgebrauche der pontischen Hellenen gefolgt ist. — *οὐκ ἐπὶ σιτήσι*: H. will offenhar nicht sagen dafs dieser Stamm zwar Getreidefrüchte gebaut aher nicht verzehrt habe, sondern nur dafs der Ackerbau w e s e n t l i c h auf Export berechnet war; für den eigenen Bedarf hätte ein weit heschränkterer Anhau genügt. Wie denn noch heute dasselbe von jenen Gegenden gilt.

11. *Νευρῶν τὸ πρὸς β. ἄ.* 'nördlich von den N.', wie c. 18 *τὸ δὲ τούτων κατύπερθε*; vgl. c. 20 9 und zu c. 99 1. — *ἔρημος*, substantivisch, wie c. 18 13. 20 12. 22 2 u. s.; dahei *ἀνθρώπων*, weil das Wort eigentlich ein Adjectiv ist. — 'Wenn diese Notiz irgend einen positiven Anhalt hat, so scheint es, dafs sie auf Wolhynien mit seinen im Alterthum gewifs noch fürchterlicheren Sümpfen bezogen werden mufs.' *Neum.* I 210.

12. *ὅσον ἡμεῖς ἴδμεν*: derselhe vorsichtige Ausdruck c. 18 14. 20 12.

18. 2. *διαβάντι*, nach dem östlichen Ufer. — *ἀπὸ θαλάσσης*, von

ἡ Ὑλαίη, ἀπὸ δὲ ταύτης ἄνω ἰόντι οἰκέουσι Σκύθαι γεωργοί, τοὺς Ἕλληνες οἱ οἰκέοντες ἐπὶ τῷ Ὑπάνι ποταμῷ καλέουσι Βορυσθενεΐτας, σφέας δὲ αὐτοὺς Ὀλβιοπολίτας. οὗτοι ὦν οἱ γεωργοὶ Σκύθαι νέμονται τὸ μὲν πρὸς τὴν ἠῶ ἐπὶ τρεῖς ἡμέρας ὁδοῦ, κατήκοντες ἐπὶ ποταμὸν τῷ οὔνομα κέεται Παντικάπης, τὸ δὲ πρὸς βορέην ἄνεμον πλόον ἀνὰ τὸν Βορυσθένεα ἡμερέων ἕνδεκα. ἤδη δὲ κατύπερθε τούτων ἐρῆμός ἐστι ἐπὶ πολλόν. μετὰ δὲ τὴν ἔρημον Ἀνδροφάγοι οἰκέουσι, ἔθνος ἐὸν ἴδιον καὶ οὐδαμῶς Σκυθικόν. τὸ δὲ τούτων κατύ-

Süden her.

3. ἡ Ὑλαίη, 'das Waldland,' hiefs, offenbar im Gegensatz zur übrigen baumlosen Steppe (c. 19 4), der Landstrich am linken Ufer des Borysthenes, der sich im S. das Meer entlang dem sogenannten Ἀχιλλήιος δρόμος (Landzunge Tendra) parallel zog (c. 56 4. 76 13), im O. aber durch den sogenannten Hypakyris begränzt wurde (c. 55 3). 'Im Hinblick auf die Bodenbeschaffenheit glauben wir mit ziemlicher Sicherheit annehmen zu können, dafs sich die Hylaia am linken Dnjepr-Ufer höchstens bis in die Gegend des heutigen Berislaw (wo der Strom sich nach W. wendet) hinzog' (*Neum.* I 211), so dafs der unterste westwärts gerichtete und 2–3 Tagefahrten lange Stromlauf die Nordgränze des 'Waldlandes' bildete. Jetzt ist die noch im Mittelalter mit Baumwuchs reich bestandene Gegend zur kahlen Steppe geworden, und von den einstigen Wäldern haben sich nur spärliche Reste bei Aleschki erhalten. — ἀπὸ δὲ ταύτης, nördlich von der Hylaea.

4. γεωργοί: dafs sie von ihrer Lebensweise so hiefsen, wird c. 19 3 angedeutet, nicht aber wiefern sie sich von den ἀροτῆρες (c. 17 9) unterschieden. Strab. 311 kennt unter dem Namen ein ackerbauendes Volk auf der Halbinsel Kertsch, das aber mit den 'Borystheneïten' nichts gemein haben kann. Ihr Gebiet zog sich grofsentheils längs des Borysthenes (zu c. 53 20), dessen breites Thal dem Ackerbau sehr günstig ist. Von den Olbiopoliten wurden sie defshalb Βορυσθενεῖται genannt.

5. σφέας – Ὀλβ., frei an den Relativsatz angeschlossen; Subject ist Ἕλληνες, 'während diese sich selber Olbiopoliten nennen'. Vgl. I 153 21. IX 106 9. Ueber den Namen zu c. 17 1.

7. ἐπὶ τρεῖς ἡμέρας ὁδοῦ: II 5 μέχρι τριῶν ἡμερέων πλόου, IV 123 ἑπτὰ ἡμερέων ὁδοῦ: 181 6. 183 1. Sonst wie c. 19 6. 22 3. Eine Tagereise rechnet H. c. 101 4 zu 200 Stadien.

8. Παντικάπης: zu c. 54 2.

10. ἕνδεκα: zu c. 53 20.

11. Ἀνδροφάγοι: auch dieser Name ist nur ein charakterisirender, kein nationaler. Zusammen mit den Melanchlaenen auf der Ost- und den Neuren und Agathyrsen auf der Westseite gehören sie zu der Völkerreihe, welche Skythien gegen N. begränzte (c. 100).

12. ἴδιον: das schlofs H. aus ihrer eigenthümlichen Sprache (c. 106 4), wahrscheinlich in Opposition gegen Hekataeos (vgl. zu c. 20 11; Ephoros bei Skymnos Ch. 808 Ἀνδροφάγων Σκυθῶν ἔθνος).

περθε ἐρῆμος ἤδη ἀληθέως καὶ ἔθνος ἀνθρώπων οὐ-
19 δέν, ὅσον ἡμεῖς ἴδμεν. τὸ δὲ πρὸς ἠῶ τῶν γεωργῶν
τούτων Σκυθέων, διαβάντι τὸν Παντικάπην ποταμόν,
νομάδες ἤδη Σκύθαι νέμονται, οὔτε τι σπείροντες οὐ-
δὲν οὔτε ἀροῦντες· ψιλὴ δὲ δενδρέων ἡ πᾶσα αὕτη
πλὴν τῆς Ὑλαίης. οἱ δὲ νομάδες οὗτοι τὸ πρὸς τὴν
ἠῶ ἡμερέων τεσσέρων καὶ δέκα ὁδὸν νέμονται χώρην
20 κατατείνουσαν ἐπὶ ποταμὸν Γέρρον. πέρην δὲ τοῦ Γέρ-
ρου ταῦτα δὴ τὰ καλεύμενα βασιλήϊά ἐστι καὶ Σκύθαι
οἱ ἄριστοί τε καὶ πλεῖστοι καὶ τοὺς ἄλλους νομίζοντες
Σκύθας δούλους σφετέρους εἶναι· κατήκουσι δὲ οὗτοι

13. *ἀληθέως*: die südliche *ἐρῆμος* war wohl mehr Steppe als Wüste. Vgl. zu c. 53 17.

19. 3. *νομάδες* waren auch die königlichen 'Skythen' (c. 127 7. VI 40 5. 84 5). — *οὔτε τι – οὐδέν* 'gar nichts' (II 22 21. IV 119 16. 197 3. VI 86 δ 5. VII 8 γ 10. VIII 20 3. Vgl. zu V 33 9. 65 1.

4. *ψιλὴ δενδρέων*: vgl. c. 61 2. Hippokrates *περὶ ἀέρ.* 18 *ἡ δὲ Σκυθέων ἐρημίη καλευμένη πεδιάς ἐστι καὶ λειμακώδης καὶ ψιλὴ καὶ ἔνυδρος μετρίως· ποταμοὶ γάρ εἰσι μεγάλοι οἳ ἐξοχετεύουσι τὸ ὕδωρ ἐκ τῶν πεδίων. ἐνταῦθα δὴ οἱ Σκύθαι διαιτεῦνται. νομάδες δὲ καλεῦνται ὅτι οὐκ ἔστι σφι οἰκήματα ἀλλ' ἐν ἁμάξῃσι οἰκεῦσι.* Die Steppe dehnte sich schon im Alterthum über fast ganz Skythien (östlich des Dnjepr, *ἡ πᾶσα αὕτη γῆ*) und setzte sich jenseits des Don in das Land der Sauromaten fort (c. 21 5).

6. *τεσσέρων καὶ δέκα*: die Zahl steht in Widerspruch mit c. 101 6, wo die Entfernung vom Borysthenes bis zur Maeotis überhaupt zu nur 10 Tagereisen angegeben ist, während hier die Entfernung der zwischen beiden strömenden Flüsse Pantikapes und Gerrhos auf 14 Tagereisen bestimmt wird. Wahrscheinlich folgte H. an den beiden Stellen verschiedenen Angaben, die sich auf verschiedene Ausgangspunkte bezogen. — Die Nomaden-Skythen weideten, wie es scheint, zwischen der Samara und dem untern Donetz.

7. *Γέρρον*: zu c. 56 1.

20. 2. *ταῦτα δή* weist auf c. 7 12 ff. zurück. — *βασιλήϊα* 'Königssitze, Aufenthaltsorte der Könige', oder, was wahrscheinlicher, = *βασιληίαι* (c. 7 12); vgl. zu III 61 8.

4. *δούλους*, botmäſsig und tributpflichtig; vgl. c. 71. Sie selber heiſsen *ἐλεύθεροι* (c. 110 13) oder *βασιλήιοι* (unten 10, c. 22 15. 56 7. 59 7. 71 10). In dem Kriege gegen die Perser ist nur von ihnen als den Angegriffenen und Kämpfenden die Rede (c. 120), und ihre Heere machen häufige Züge über den Borysthenes (c. 78 16). Strab. 311 schildert ihr Verhältniſs zu den anderen Stämmen: *οἱ οὖν νομάδες πολεμισταὶ μᾶλλόν εἰσιν ἢ ληστρικοί, πολεμοῦσι δὲ ὑπὲρ τῶν φόρων. ἐπιτρέψαντες γὰρ ἔχειν τὴν γῆν τοῖς ἐθέλουσι γεωργεῖν ἀντὶ ταύτης ἀγαπῶσι φόρους λαμβάνοντες τοὺς συντεταγμένους μετρίους τινάς, οὐκ ἐς περιουσίαν ἀλλ' εἰς τὰ ἐφήμερα καὶ τὰ ἀναγκαῖα τοῦ βίου· μὴ διδόντων δὲ αὐτοῖς πολεμοῦσιν.*

τὸ μὲν πρὸς μεσαμβρίην ἐς τὴν Ταυρικήν, τὸ δὲ πρὸς ἠῶ ἐπί τε τάφρον τὴν δὴ οἱ ἐκ τῶν τυφλῶν γενόμενοι ὤρυξαν, καὶ ἐπὶ τῆς λίμνης τῆς Μαιήτιδος τὸ ἐμπόριον τὸ καλέεται Κρημνοί· τὰ δὲ αὐτῶν κατήκουσι ἐπὶ ποταμὸν Τάναϊν. τὰ δὲ κατύπερθε πρὸς βορέην ἄνεμον τῶν βασιληίων Σκυθέων οἰκέουσι Μελάγχλαινοι, ἄλλο ἔθνος καὶ οὐ Σκυθικόν. Μελαγχλαίνων δὲ τὸ κατύπερθε λίμναι καὶ ἐρῆμός ἐστι ἀνθρώπων, κατόσον ἡμεῖς ἴδμεν.

Τάναϊν δὲ ποταμὸν διαβάντι οὐκέτι Σκυθική, ἀλλ' 21
ἡ μὲν πρώτη τῶν λαξίων Σαυροματέων ἐστί, οἳ ἐκ τοῦ μυχοῦ ἀρξάμενοι τῆς Μαιήτιδος λίμνης νέμονται τὸ

5. *τὴν Ταυρικήν*: vgl. c. 99. – *τὸ πρὸς μ.*, adverbial; zu c. 99 1.

6. *τάφρον*: zu c. 3 5.

8. *Κρημνοί*, noch c. 110 13 als im Lande der 'freien' Skythen gelegener Landungsplatz der westlichen Maeotis genannt. *Neumann* I 541 setzt ihn, nach Ptolemaeos III 5 12, ostwärts der Halbinsel Fedotowa, unweit des heutigen Nogaisk. Diesen Skythen gehörte die ganze Westküste der Maeotis bis zur Tanaismündung (c. 57. 100); H. hebt aber jenen Punkt besonders hervor, weil er über ihn bestimmte Nachrichten von hellenischen Kaufleuten hatte. — *τὰ δὲ αὐτῶν* 'andere Theile ihres Gebietes'. — *κατήκουσι*: zu III 88 14.

9f. Als nördliche Nachbaren dieser Skythen sollten zunächst die *Σκ. γεωργοί* und *νομάδες* genannt werden. Da aber H. die grofsen östlichen Ausbiegungen des Don und Dnjepr wahrscheinlich nicht kannte und sich die Länge der Maeotis von S. nach N. gerichtet vorstellte (zu c. 21 3), so verrückten sich ihm jene Völker bedeutend nach W., und die Ostgränze der *βασιλήιοι* (Graben, Maeotis, Tanais), die eigentlich eine nordöstliche Richtung hat, ward ihm zu einer direct nach N. laufenden Linie, in deren Verlängerung die *Μελάγχλαινοι* (über den Namen s. c. 107) das rechte Tanais-ufer entlang wohnten (c. 101). In Wahrheit aber konnten diese nur Nachbaren der nordöstlichsten Skythen sein.

11. *καὶ οὐ Σκυθικόν*: die Berichtigung gilt dem Hekataeos (Fr. 154 *Μελάγχλαινοι ἔθνος Σκυθικόν*).

21. 2. *λάξις*, attisch *λῆξις*, nur hier, = *μερισμός, κλῆρος* (Schol.), von *λαγχάνειν*, ein der unsicheren Kenntnifs jener Länder angemessener Ausdruck. — *Σαυροματέων*: sie heifsen auch *Σαρμάται* und *Συρμάται*. Näheres über sie c. 110ff.

3f. *μυχοῦ*, wo der Tanais mündet. H. denkt sich, wie auch die späteren Geographen, diesen Punkt unter gleicher Länge mit dem kimmerischen Bosporos. Vgl. übrigens die genauere Bestimmung c. 116. — *τὸ πρὸς βορέην ἄνεμον*: ebenso c. 116 4; aber c. 57 wird richtiger die Maeotis als Gränze zwischen den Skythen und Sauromaten angegeben; denn diese safsen auch am Ostufer jenes Meeres (Hippokr. *περὶ ἀέρ.* 17 von ihnen *ἔθνος Σκυθικὸν ὃ περὶ τὴν λίμνην οἰκέει τὴν*

πρὸς βορέην ἄνεμον, ἡμερέων πεντεκαίδεκα ὁδόν, πᾶσαν ἐοῦσαν ψιλὴν καὶ ἀγρίων καὶ ἡμέρων δενδρέων· ὑπεροικέουσι δὲ τούτων δευτέρην λάξιν ἔχοντες Βουδῖ-
22 *νοι, γῆν νεμόμενοι πᾶσαν δασέαν ὕλῃ παντοίῃ. Βουδίνων δὲ κατύπερθε πρὸς βορέην ἐστὶ πρώτη μὲν ἔρημος ἐπ' ἡμερέων ἑπτὰ ὁδόν, μετὰ δὲ τὴν ἔρημον ἀποκλίνοντι μᾶλλον πρὸς ἀπηλιώτην ἄνεμον νέμονται Θυσσαγέται, ἔθνος πολλὸν καὶ ἴδιον· ζώουσι δὲ ἀπὸ θήρης. συνεχέες δὲ τούτοισι ἐν τοῖσι αὐτοῖσι τόποισι κατοικημένοι εἰσὶ τοῖσι οὔνομα κέεται Ἰύρκαι, καὶ οὗτοι ἀπὸ θήρης ζώοντες τρόπῳ τοιῷδε. λοχᾷ ἐπὶ δένδρεον ἀναβάς, τὰ δέ ἐστι πυκνὰ ἀνὰ πᾶσαν τὴν χώρην· ἵππος δὲ ἑκάστῳ δεδιδαγμένος ἐπὶ γαστέρα κεῖσθαι ταπεινότητος εἵνεκα ἑτοῖμός ἐστι καὶ κύων· ἐπεὰν δὲ ἀπίδῃ τὸ θηρίον ἀπὸ τοῦ δενδρέου, τοξεύσας ἐπιβὰς ἐπὶ τὸν ἵππον διώκει, καὶ ὁ κύων ἔχεται. ὑπὲρ δὲ τούτων τὸ πρὸς τὴν ἠῶ ἀποκλίνοντι οἰκέουσι Σκύθαι ἄλλοι, ἀπὸ τῶν βασιληίων Σκυθέων ἀποστάντες καὶ οὕτω ἀπικόμενοι ἐς τοῦτον τὸν χῶρον.*

Μαιῶτιν). Des Vf.'s Irrthum rührt daher, daſs er sich den Lauf des Tanais, wie der anderen skythischen Ströme, durchaus von N. nach S. gerichtet vorstellt. — *ἡμερέων πεντεκαίδεκα*, also ungefähr bis zur groſsen Donbiegung.

6. Von den *Βουδῖνοι* s. c. 108 f. Ihre Sitze sind zwischen Don und Wolga, im nördlichen Kosackenlande und im südlichen Theile des Gouvernements Saratow zu suchen. Vgl. zu c. 105 6.

22. 3. Vgl. c. 123 10.

4. Die Jägerstämme der Thyssageten und Iyrken, von denen sonst nichts weiter verlautet, scheinen in den Gouvernements Simbirsk, Pensa und Samara, also auch östlich der Wolga (deren Existenz H. noch nicht kennt), gesessen zu haben, deren Reichthum an Eichenwäldern erst in den letzten Jahrhunderten bedeutend abgenommen hat. — Zu dem Namen *Θυσσαγέται* vgl. *Μασσαγέται*, *Μυργέται*, *Τυραγέται*.

8. *λοχᾷ*, sc. *ὁ θηρευτής*; zu I 195 4.

11. *ἀπίδῃ*, *prospiciat*; vgl. VIII 37 2.

12. *τοξεύσας ἐπιβάς*: ähnlich VIII 105 *ἐκτάμνων ἀγινέων ἐπώλεε.*

13. *ἔχεται*, sc. *τοῦ θηρίου.*

14. *οἰκέουσι*, am Flusse Ural (Jaik), im westlichen Theile der Kirgisensteppe.

15. *βασιληίων*: zu c. 20 4. — Wenn unzweifelhaft ist daſs die Skythen aus Centralasien eingewandert sind (vgl. zu c. 13 9), so muſs eine Zurückwanderung eines ihrer Stämme nach O. sehr auffallen. 'Die pontischen Skythen, die sich den hellenischen Ankömmlingen gegenüber als Eingeborne bezeichneten (c. 5), muſsten nun freilich, um die

Μέχρι μὲν δὴ τῆς τούτων τῶν Σκυθέων χώρης 23
ἐστὶ ἡ καταλεχθεῖσα πᾶσα πεδιάς τε γῆ καὶ βαθύγαιος, τὸ δ' ἀπὸ τούτου λιθώδης τ' ἐστὶ καὶ τρηχέα. διεξελθόντι δὲ καὶ τῆς τρηχέης χώρης πολλὸν οἰκέουσι ὑπώρεαν οὐρέων ὑψηλῶν ἄνθρωποι λεγόμενοι εἶναι πάντες φαλακροὶ ἐκ γενεῆς γινόμενοι, καὶ ἔρσενες καὶ θήλεαι ὁμοίως, καὶ σιμοὶ καὶ γένεια ἔχοντες μεγάλα, φωνὴν δὲ ἰδίην ἱέντες, ἐσθῆτι δὲ χρεόμενοι Σκυθικῇ, ζώοντες δὲ ἀπὸ δενδρέων. ποντικὸν μὲν οὔνομα τῷ δενδρέῳ ἀπ' οὗ ζώουσι, μέγαθος δὲ κατὰ συκέην μάλιστά κῃ· καρπὸν δὲ φορέει κυάμῳ ἴσον, πυρῆνα δὲ ἔχει. τοῦτο ἐπεὰν γένηται πέπον, σακκέουσι ἱματίοισι, ἀπορρέει δὲ ἀπ'

Zersplitterong ihres Stammes zu erklären, zu der Versicherung greifen, dafs die **östlichen** Skythen von den pontischen Küstenlandschaften ausgewandert wären; obgleich die Natur der Dinge lehrt, dafs das Verhältnifs das umgekehrte war, dafs nämlich in jener Zeit, als die Skythen von den Issedonen nach Südwesten gedrängt wurden, ein Theil derselben zurückblieb, während ein anderer erst in den Ebenen am Nordgestade des schwarzen Meeres Halt machte. Eine derartige Umstellung des Sachverhaltes in alten Sagen ist eine oft wiederkehrende Erscheinung.' *Neumann* I 128. Vgl. zu VII 73 7.

23. 2. *βαθύγαιος*: die auf einer Unterlage schweren Thones ruhende Schicht äufserst fruchtbarer Pflanzenerde hat in der südrossischen Steppe eine abwechselnde Tiefe von 1 Fufs bis zu mehreren Ellen. Zum Ackerbau eignete sie sich aber schon im Alterthum nicht besonders, wegen des ungünstigen Klimas; vgl. die Stelle des Hippokrates zu c. 28 1.

3. *τὸ δ' ἀπὸ τούτου*, wo der südliche (Orenburgische) Ural beginnt, mit seinen Ausläufern bis zum Ilek.

6. *φαλακροί*: Zenobios Prov. V 25 erwähnt als Grund *διὰ τὴν φύσιν τοῦ ὕδατος οὗ πίνουσι.*

7. *γένεια* 'Kinnbacken.'

8. *ἰδίην*, also nicht Skythen, wenn sie auch skythische Kleidung (zu c. 78 21) tragen. Vgl. c. 106 4.

9ff. 'Die Früchte von *Prunus Padus* (Lin.), Vogelkirsche, werden noch jetzt häufig von den Kosacken, auch von den Baschkiren und Kalmücken getrocknet und mit Milch so lange eingekocht, bis ein dünner Brei zurückbleibt, den sie mit wenigem Wasser verdünnt als sehr nahrhaft geniefsen; ja die Baschkiren im Süden von Katharinenburg wenden den Saft der Vogelkirsche und das zurückbleibende Fleisch auf eine Weise an, welche so völlig mit der von H. gegebenen Beschreibung übereinstimmt, dafs die Richtigkeit dieser Erzählung aufser Zweifel gesetzt ist. Die kasanischen Tataren nennen die Säure *atschi*' (vgl. 14 *ἄσχυ*). *Erman's* Archiv für wissensch. Kunde Rufsl. I 427.

11. *τοῦτο* auf *καρπός* bezogen wie Od. ι 358 *οἶνον ἐριστάφυλον . . . ἀλλὰ τόδ' ἀμβροσίης καὶ νέκταρός ἐστιν ἀπορρώξ.* Aehnlich V 92 α 6. VII 123 4.

12. *σακκέειν* (oder *σακκεύειν*)

αὐτοῦ παχὺ καὶ μέλαν· οὔνομα δὲ τῷ ἀπορρέοντι ἐστὶ ἄσχυ· τοῦτο καὶ λείχουσι καὶ γάλακτι συμμίσγοντες πίνουσι, καὶ ἀπὸ τῆς παχύτητος αὐτοῦ τῆς τρυγὸς παλάθας συντιθεῖσι, καὶ ταύτας σιτέονται. πρόβατα γάρ σφι οὐ πολλά ἐστι· οὐ γάρ τι σπουδαῖαι αἱ νομαὶ αὐτόθι εἰσί. ὑπὸ δενδρέῳ δὲ ἕκαστος κατοίκηται, τὸν μὲν χειμῶνα ἐπεὰν τὸ δένδρεον περικαλύψῃ πίλῳ στεγνῷ λευκῷ, τὸ δὲ θέρος ἄνευ πίλου. τούτους οὐδεὶς ἀδικέει ἀνθρώπων· ἱροὶ γὰρ λέγονται εἶναι· οὐδέ τι ἀρήιον ὅπλον ἐκτέαται. καὶ τοῦτο μὲν τοῖσι περιοικέουσι οὗτοί εἰσι οἱ τὰς διαφορὰς διαιρέοντες, τοῦτο δέ, ὃς ἂν φεύγων καταφύγῃ ἐς τούτους, ὑπ' οὐδενὸς ἀδικέεται. οὔνομα δέ σφι ἐστὶ Ὀργεμπαῖοι.

24 Μέχρι μέν νυν τῶν φαλακρῶν τούτων πολλὴ περιφανείη τῆς χώρης ἐστὶ καὶ τῶν ἔμπροσθε ἐθνέων· καὶ γὰρ Σκυθέων τινὲς ἀπικνέονται ἐς αὐτούς, τῶν οὐ χαλεπόν ἐστι πυθέσθαι καὶ Ἑλλήνων τῶν ἐκ Βορυσθένεός τε ἐμπορίου καὶ τῶν ἄλλων Ποντικῶν ἐμ-

erklären die Alten durch ὑλίζειν 'durchseihen'.

15. παχύτητος, *abstractum pro concreto*, wie I 157 8. κελευσμοσύνης, III 23 5 σίτησιν, IV 88 5 προεδρίη, VII 141 20 im Orakelvers ἱπποσύνην, IX 33 22 χρησμοσύνης; vgl. zu I 179 13. — παλάθας, τὰ ἐκ τρυγὸς πλάσματα· κυρίως δὲ ἡ τῶν σύκων ἐπάλληλος θέσις. Schol. *Est autem* παλάθη *massa pinguium caricarum, quas in morem laterum figurantes, ut diu illaesae permaneant, calcant atque compingunt.* Hieronymus in Hos. 1. Theophr. hist. pl. IV 2 10 οἱ δὲ περὶ τὴν Θηβαΐδα κατοικοῦντες – ξηραίνουσι τὸν καρπὸν (τῆς κοκκυμηλέας) καὶ τὸν πυρῆνα ἐξαιροῦντες κόπτουσι καὶ ποιοῦσι παλάθας.

16. πρόβατα: zu I 133 6.

21. ἱροί: *sacros haberi narrant inviolatosque esse.* Plin. VI 35.

23. φεύγων (*exul*) – καταφύγῃ: zu V 94 4.

25. Ὀργεμπαῖοι: andere La. Ἀργιππαῖοι; *Arimphaei* Plinius a. O., *Arymphaei* Mela I 19. Der Worttheil -εμπαῖος erscheint auch in Ἐξ-αμπαῖος = ἱραὶ ὁδοί (c. 52 13); danach wahrscheinlich Ὀργ-εμπαῖοι = ἔθνος ἱερόν oder ἱερῶν (vgl. 21).

24. περιφανείη, eigentlich 'freie, ungehinderte Aussicht', klare, sichere Kenntnifs; vgl. c. 25 8.

2. ἔμπροσθε, diesseits der φαλακροί. Vgl. VII 126 7.

3. Σκυθέων τινές, sei es als Wegweiser oder Theilnehmer der Handelszüge, oder weil sie mit dem zurückgebliebenen Bruderstamme (zu c. 22 15) in Verkehr geblieben waren.

4 ff. Die Ausgaben interpungiren hinter πυθέσθαι. Aber Ἑλλήνων parallel zu Σκύθεων, nämlich τινὲς

πορίων. Σκυθέων δὲ οἳ ἂν ἔλθωσι ἐς αὐτούς, δι' ἑπτὰ ἑρμηνέων καὶ δι' ἑπτὰ γλωσσέων διαπρήσσονται. μέχρι μὲν δὴ τούτων γινώσκεται, τὸ δὲ τῶν 25
φαλακρῶν κατύπερθε οὐδεὶς ἀτρεκέως οἶδε φράσαι· οὔρεα γὰρ ὑψηλὰ ἀποτάμνει ἄβατα, καὶ οὐδείς σφεα ὑπερβαίνει. οἱ δὲ φαλακροὶ οὗτοι λέγουσι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, οἰκέειν τὰ οὔρεα αἰγίποδας ἄνδρας, ὑπερβάντι δὲ τούτους ἀνθρώπους ἄλλους οἳ τὴν ἑξάμηνον κατεύδουσι. τοῦτο δὲ οὐκ ἐνδέκομαι ἀρχήν. ἀλλὰ τὸ μὲν πρὸς ἠῶ τῶν φαλακρῶν γινώσκεται ἀτρεκέως ὑπὸ Ἰσσηδόνων οἰκεόμενον, τὸ μέντοι κατύπερθε πρὸς βορέην ἄνεμον οὐ γινώσκεται οὔτε τῶν φαλακρῶν οὔτε τῶν Ἰσσηδόνων, εἰ μὴ ὅσα αὐτῶν τούτων λεγόντων.
νόμοισι δὲ Ἰσσηδόνες τοιοισίδε λέγονται χρᾶσθαι. ἐπεὰν 26
ἀνδρὶ ἀποθάνῃ πατήρ, οἱ προσήκοντες πάντες προσάγουσι πρόβατα, καὶ ἔπειτα ταῦτα θύσαντες καὶ καταταμόντες τὰ κρέα κατατάμνουσι καὶ τὸν τοῦ δεκομένου τεθνεῶτα γονέα, ἀναμίξαντες δὲ πάντα τὰ κρέα δαῖτα προτιθέαται. τὴν δὲ κεφαλὴν αὐτοῦ ψιλώσαντες καὶ ἐκκαθήραντες καταχρυσοῦσι καὶ ἔπειτα ἅτε ἀγάλματι χρέονται, θυσίας μεγάλας ἐπετέους ἐπιτελέοντες.

ἀπικνέονται, zu fassen, widerräth der folgende Satz.

7. *ἑπτά*, also auch durch das Gebiet von sieben Völkern. H. hat aber nur fünf aufgezählt: Sauromaten, Budinen, Thyssageten, Iyrken, Orgempaeer, zu denen als sechstes die Gelonen (c. 108) kommen. — *διαπρήσσονται* 'richten ihr Geschäft aus' (IX 41 12).

25. *γινώσκεται*, sc. *ἡ χώρη* (c. 24 2).

3. *οὔρεα ὑψηλά*, die Ural-gebirge; denn sie liegen nördlich von den Orgempaeern, als deren östliche Nachbaren die Issedonen in den kaspischen Steppen (zu c. 13 10) bezeichnet werden (8.) — *ἀποτάμνει*, sc. *τὴν χώρην*.

4. *μέν*: zu I 131 4.

6. *τὴν ἑξάμηνον*, sc. *ὥρην*. Die Nachricht beruht auf einer dunklen Kunde von den arktischen Gegenden und ihrer langen Winternacht.

10. *τῶν φαλακρῶν*, von *τὸ κατύπερθε* abhängig.

11. *ὅσα*, sc. *γινώσκεται*.

26. 2. Von einer ähnlichen aber noch roheren Sitte der Massageten I 216, der indischen Padaeer III 99.

3. *θύσαντες*: zu III 99 11.

4. *τοῦ δεκομένου* 'des Wirthes'; zu I 126 10.

7 f. Vgl. c. 65. — *ἅτε ἀγάλματι*, als ein *vas sacrum*. Vgl. die Stelle des Livius zu c. 65 2. — *ἐπιτελέοντες*, dem Verstorbenen. Vgl. III 24 13.

παῖς δὲ πατρὶ τοῦτο ποιέει, κατά περ Ἕλληνες τὰ γενέσια. ἄλλως δὲ δίκαιοι καὶ οὗτοι λέγονται εἶναι, ἰσο-

27 κρατέες δὲ ὁμοίως αἱ γυναῖκες τοῖσι ἀνδράσι. γινώσκονται μὲν δὴ καὶ οὗτοι, τὸ δὲ ἀπὸ τούτων τὸ κατύπερθε Ἰσσηδόνες εἰσὶ οἱ λέγοντες μουνοφθάλμους ἀνθρώπους καὶ χρυσοφύλακας γρῦπας εἶναι· παρὰ δὲ τούτων Σκύθαι παραλαβόντες λέγουσι, παρὰ δὲ Σκυθέων ἡμεῖς οἱ ἄλλοι νενομίκαμεν, καὶ οὐνομάζομεν αὐτοὺς σκυθιστὶ Ἀριμασπούς· ἄριμα γὰρ ἓν καλέουσι Σκύθαι, σποῦ δὲ ὀφθαλμόν.

28 Δυσχείμερος δὲ αὕτη ἡ καταλεχθεῖσα πᾶσα χώρη οὕτω δή τι ἐστί, ἔνθα τοὺς μὲν ὀκτὼ τῶν μηνῶν ἀφόρητος οἷος γίνεται κρυμός, ἐν τοῖσι ὕδωρ ἐκχέας πηλὸν

9f. *τὰ γενέσια* 'Todtenfest', das entweder als privates am Todestage, oder, wie in Athen im Monat Boedromion, als ein allgemeines gefeiert wurde. Verschieden von *γενέθλια*; Ammonios de diff. voce. p. 35 *γενέθλια τάσσεται ἐπὶ τῶν ζώντων καὶ ἐν ᾗ ἕκαστος ἡμέρᾳ ἐγενήθη, γενέσια δὲ ἐπὶ τῶν τεθνηκότων ἐν ᾗ ἕκαστος ἡμέρᾳ τετελεύτηκε.* — *καὶ οὗτοι*, wie die Orgempaeer (c. 23). — *ἰσοκρατέες - ὁμοίως*, Abundanz; vgl. zu III 16 4.

27. 2. *τὸ κατύπερθε*, adverbial. — *οἱ λέγοντες*, bei Aristeas in den Arimaspeen (c. 16 7). — *τούς*, die erwähnten (c. 13 4).

6. *νενομίκαμεν*, *usu recepimus*; zu II 51 3.

7. Eustathios zu Dionys. Perieg. 31 citirt die Stelle so: *ἀρὶ μὲν γὰρ τὸ ἓν σκυθιστί, μασπὸς δὲ ὁ ὀφθαλμός.* Aehnlich Schol. Aesch. Prom. 804. Die Etymologie, deren skythischen Ursprung *Neumann* I 195 mit Recht bezweifelt, stammt wohl von Aristeas: denn schon Aeschylos kennt sie (zu c. 13 3).

Das Klima (c. 28—31).

28. Das skythische Klima war bei den Alten so verrufen wie bei den Neueren das sibirische, und *ἡ Σκυθῶν ἐρημία* war im Sprüchwort gleichbedeutend mit Unglück und Verderben. Hippokr. *περὶ ἀέρ.* 19 *κέεται (ἡ χώρη) ὑπ' αὐτῇσι τῇσι ἄρκτοισι καὶ τοῖσι ὄρεσι τοῖσι Ῥιπαίοισι ὅθεν ὁ βορέης πνέει. ὅ τε ἥλιος τελευτῶν ἐγγύτατα γίνεται, ὁκόταν ἐπὶ τὰς θερινὰς ἔλθῃ περιόδους, καὶ τότε ὀλίγον χρόνον θερμαίνει. καὶ οὐ σφόδρα τὰ διαπνεύματα τὰ ἀπὸ τῶν θερμῶν πνέοντα ἀπικνέεται, ἐὰν μὴ ὀλιγάκις καὶ ἀσθενέα. ἀλλ' ἀπὸ τῶν ἄρκτων αἰεὶ πνέουσι πνεύματα ψυχρὰ ἀπό τε χιόνος καὶ κρυστάλλων καὶ ὑδάτων πολλῶν . . ἠήρ τε κατέχει πουλὺς τῆς ἡμέρης τὰ πεδία . . ὥστε τὸν μὲν χειμῶνα αἰεὶ εἶναι, τὸ δὲ θέρος ὀλίγας ἡμέρας καὶ ταύτας μὴ λίην.* Ovid. ex Ponto I 3 37 *Scythico quid frigore peius?*

2f. *οὕτω δή τι ἔνθα*: zu III 120 16. — *ὀκτώ*: die Zahl paſst allenfalls auf die östlichsten der aufgezählten Landschaften, ist aber für die von H. besuchten Küstenpunkte zu groſs. Der Arzt Hippokrates schildert mit noch stärkerer Uebertreibung. — *ἀφόρητος οἷος*: zu III 113 1.

οὐ ποιήσεις, πῦρ δὲ ἀνακαίων ποιήσεις πηλόν· ἡ δὲ θάλασσα πήγνυται καὶ ὁ Βόσπορος πᾶς ὁ Κιμμέριος, καὶ ἐπὶ τοῦ κρυστάλλου οἱ ἐντὸς τάφρου Σκύθαι κατοικημένοι στρατεύονται καὶ τὰς ἁμάξας ἐπελαύνουσι πέρην ἐς τοὺς Σίνδους. οὕτω μὲν δὴ τοὺς ὀκτὼ μῆνας διατελέει χειμὼν ἐών, τοὺς δ' ἐπιλοίπους τέσσερας ψύχεα αὐτόθι ἐστί. κεχώρισται δὲ οὗτος ὁ χειμὼν τοὺς τρόπους πᾶσι τοῖσι ἐν ἄλλοισι χωρίοισι γινομένοισι χειμῶσι, ἐν τῷ τὴν μὲν ὡραίην οὐκ ὕει λόγου ἄξιον οὐδέν,

5 'Heute wie in alter Zeit bedecken sich die Limans, in die sich die russischen Flüsse ergiefsen, sehr oft mit Eis, da sie eine schwache Strömung haben; und bei strengem Frost dehnt sich die Eisdecke auch zuweilen eine Strecke ins Meer hinaus. Dieses gilt namentlich vom asowschen Meer, dessen nördlicher, schmaler Theil ziemlich regelmäfsig zufriert. Das Zufrieren des kimmerischen Bosporus ist meistens eine Folge des aus dem asowschen Meere sich hierher zusammendrängenden Treibeises, das sich hier leicht versetzt und schon durch mäfsige Kälte zu einer haltbaren Eisdecke verbunden wird'. *Neumann* I 65.

6. *οἱ – Σκύθαι*, die königlichen; — *ἐντός*, diesseits, westlich. Zu c. 3 5.

7. *στρατεύονται* nicht 'ziehen zu Felde', denn dazu passen die *ἅμαξαι* nicht, sondern, wie *στρατός* oft 'Schaar, Menge' ohne Bezug auf Krieg bedeutet (I 126 10), so hier das Verb 'in Schaaren ziehen'. Ebenso III 107 11 *ἐπιστρατεύεσθαι* von Schwärmen beflügelter Schlangen. Ueber die *ἅμαξαι* zu c. 46 13. 114 16. — Strab. 307 *ἀκολουθοῦσι ταῖς νομαῖς (οἱ νομάδες) μεταλαμβάνοντες τόπους αἰεὶ τοὺς ἔχοντας πόαν, χειμῶνος μὲν ἐν τοῖς ἕλεσι τοῖς περὶ τὴν Μαιῶτιν, θέρος δὲ καὶ ἐν τοῖς πεδίοις . . τῶν δὲ πάγων ἡ σφοδρότης μάλιστα ἐκ τῶν συμβαινόντων περὶ τὸ στόμα τῆς Μαιώτιδος δῆλός ἐστιν. ἁμαξεύεται γὰρ ὁ διάπλους ὁ εἰς Φαναγόρειαν ἐκ τοῦ Παντικαπαίου ὥστε καὶ πλοῦν εἶναι καὶ ὁδόν.* Ovid Trist. III 10 31 von den Donaumündungen *quaque rates ierant, pedibus nunc itur, et undas Frigore concretas ungula pulsat equi, Perque novos pontes subter labentibus undis Ducunt Sarmatici barbara plaustra boves.*

8. *ἐς τοὺς Σίνδους* 'bis zum Lande der Sinden', zur asiatischen Küste. Die *Σίνδοι* (das Land *ἡ Σινδική* c. 86 9), ein kleines Handelsvolk auf der Halbinsel Taman und an der kaukasischen Küste bis zur Stadt Sinde (Anapa), nach Einigen ihren nördlichen Nachbarn, den Maeoten, verwandt, jedenfalls nicht skythischer sondern arischer Nation.

9. *ψύχεα*: jetzt leidet die Steppe vielmehr durch übermäfsig heifse Sommer; und so kannten sie schon Aristoteles (Probl. XXV 6 *διά τί ἐν τῷ Πόντῳ καὶ ψύχη μάλιστα καὶ πνίγη*) und Strabon (p. 307 *λέγεται δὲ καὶ τὰ καύματα σφοδρὰ γίνεσθαι*).

11. *πᾶσι – χειμῶσι* ist sehr befremdend statt des auch bei H. regelmäfsig mit *χωρίζειν* (*κεχωρίσθαι*) verbundenen Genitivs. S. aber zu II 16 10.

12. *τὴν ὡραίην*, für den Regen, 'während der Regenzeit', nämlich wie in den südlicheren Ländern im Winter.

τὸ δὲ θέρος ὕων οὐκ ἀνίει· βρονταί τε ἦμος τῇ ἄλλῃ
γίνονται, τηνικαῦτα μὲν οὐ γίνονται, θέρεος δὲ ἀμφι-
λαφέες· ἢν δὲ χειμῶνος βροντὴ γένηται, ὡς τέρας νενό-
μισται θωυμάζεσθαι. ὡς δὲ καὶ ἢν σεισμὸς γένηται ἤν
τε θέρεος ἤν τε χειμῶνος ἐν τῇ Σκυθικῇ τέρας νενόμι-
σται. ἵπποι δὲ ἀνεχόμενοι φέρουσι τὸν χειμῶνα τοῦτον,
ἡμίονοι δὲ οὐδὲ ὄνοι οὐκ ἀνέχονται ἀρχήν. τῇ δὲ ἄλλῃ
ἵπποι μὲν ἐν κρυμῷ ἑστεῶτες ἀποσφακελίζουσι, ὄνοι δὲ
29 καὶ ἡμίονοι ἀνέχονται. δοκέει δ' ἐμοὶ καὶ τὸ γένος τῶν
βοῶν τὸ κόλον διὰ ταῦτα οὐ φύειν κέρεα αὐτόθι. μαρ-
τυρέει δέ μοι τῇ γνώμῃ καὶ Ὁμήρου ἔπος ἐν Ὀδυσσείῃ
ἔχον ὧδε,

καὶ Λιβύην, ὅθι τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσι,

ὀρθῶς εἰρημένον, ἐν τοῖσι θερμοῖσι ταχὺ παραγίνεσθαι

13. Der Steppe ist vielmehr im Sommer fast gänzlicher Regenmangel eigenthümlich, da die sich bildenden Wolken durch die heifsen Ausstrahlungen des Bodens verflüchtigt dem Meere zueilen und sich erst am Rande der Küste in heftigen Strömen niederlassen. H.'s entgegengesetzte Angabe ist nur auf die von ihm gesehene Küstenstrecke um Olbia zu beziehen, welche damals durch die Nähe eines ausgedehnten Waldlandes (Hylaea) noch reicher an feuchten Niederschlägen sein mufste als sie jetzt ist. — *ἦμος*: zu c. 119 17. — *τῇ ἄλλῃ* 'anderswo' (I 1 11), in Hellas im Frühjahr (Februar und März) und im Spätherbst.

16. 'Erdbeben sind in Rufsland eine Seltenheit, kommen aber im Süden vor; im Januar 1838, im September 1843 hat man Erschütterungen beobachtet'. *Hansen* Osteuropa nach Herodot. S. 59.

18f. Gewöhnlicher *ἀνέχονται φέροντες*, wie I 80 *ἀνέχεται ὁρέων*, V 89 *ἀνέσχοιτο ἀκούσαντες* u. a. Vgl. VI 49 3. — Die Angabe wird c. 129 wiederholt und von Andern bestätigt. Arist. de gen. an. II 8 *ψυχρόν τι ζῷον ὁ ὄνος ἐστί, διόπερ ἐν τοῖς χειμερινοῖς οὐ θέλει γίνεσθαι διὰ τὸ δύσριγον εἶναι τὴν φύσιν, οἷον περὶ Σκύθας καὶ τὴν ὅμορον χώραν.*

29. 2. *κόλον* = *ἄκερων*. Hippokr. *περὶ ἀέρ.* 18 *τὰς δὲ ἁμάξας ἕλκουσι ζεύγεα τὰς μὲν δύο τὰς δὲ τρία βοῶν κέρεος ἄτερ.* Vielleicht liegt eine Wortverwechslung zu Grunde. Strab. 312 *ἔστι (ἐν Σκυθίᾳ) τῶν τετραπόδων ὁ καλούμενος κόλος μεταξὺ ἐλάφου καὶ κριοῦ τὸ μέγεθος, λευκός, ὀξύτερος τούτων τῷ δρόμῳ κτλ.* Dazu *Neumann* I 276: 'er meint damit offenbar weder eine Art Ochsen noch wilde Pferde, sondern die in den südrussischen Steppen häufige Saiga-Antilope'. Strab. 307 erwähnt noch dafs man dem Rindvieh wohl auch die gegen die Kälte empfindlichen Hörner abfeilte. — *φύειν*: zu II 68 13.

3. *ἐν Ὀδυσσείῃ*, δ 85.

6. *ὀρθῶς εἰρημένον*, absol. Accusat., 'wobei mit Recht gesagt ist'. Vgl. VII 13 12.

τὰ κέρεα· ἐν δὲ τοῖσι ἰσχυροῖσι ψύχεσι ἢ οὐ φύει κέρεα τὰ κτήνεα ἀρχὴν ἢ φύοντα φύει μόγις.

30 Ἐνθαῦτα μέν νυν διὰ τὰ ψύχεα γίνεται ταῦτα· θωυμάζω δέ (προσθήκας γάρ δή μοι ὁ λόγος ἐξ ἀρχῆς ἐδίζητο) ὅτι ἐν τῇ Ἠλείῃ πάσῃ χώρῃ οὐ δυνέαται γίνεσθαι ἡμίονοι, οὔτε ψυχροῦ τοῦ χώρου ἐόντος οὔτε ἄλλου φανεροῦ αἰτίου οὐδενός. φασὶ δὲ αὐτοὶ Ἠλεῖοι ἐκ κατάρης τευ οὐ γίνεσθαι σφίσι ἡμιόνους. ἀλλ' ἐπεὰν προσίῃ ἡ ὥρη κυΐσκεσθαι τὰς ἵππους, ἐξελαύνουσι ἐς τοὺς πλησιοχώρους αὐτάς, καὶ ἔπειτά σφι ἐν τῇ τῶν πέλας ἐπιεῖσι τοὺς ὄνους, ἐς ὃ ἂν σχῶσι αἱ ἵπποι ἐν γαστρί· ἔπειτα δὲ ὀπίσω ἀπελαύνουσι.

31 Περὶ δὲ τῶν πτερῶν τῶν Σκύθαι λέγουσι ἀνάπλεον εἶναι τὸν ἠέρα, καὶ τούτων εἵνεκα οὐκ οἷοί τε εἶναι οὔτε ἰδεῖν τὸ πρόσω τῆς ἠπείρου οὔτε διεξιέναι, τήνδε ἔχω περὶ αὐτῶν γνώμην. τὰ κατύπερθε ταύτης τῆς χώρης αἰεὶ νίφεται, ἐλάσσονι δὲ τοῦ θέρεος ἢ τοῦ χειμῶνος, ὥσπερ καὶ οἰκός· ἤδη ὦν ὅστις ἀγχόθεν χιόνα ἁδρὴν πίπτουσαν εἶδε οἶδε τὸ λέγω. οἶκε γὰρ ἡ χιὼν πτεροῖσι· καὶ διὰ τὸν χειμῶνα τοῦτον ἐόντα τοιοῦτον ἀνοίκητα τὰ πρὸς βορέην ἐστὶ τῆς ἠπείρου ταύτης. τὰ ὦν πτερὰ εἰκάζοντας τὴν χιόνα τοὺς Σκύθας τε καὶ τοὺς περιοίκους δοκέω λέγειν. ταῦτα μέν νυν τὰ λέγεται μακρότατα εἴρηται.

30. 2. *προσθήκας* 'Zusätze, Beigaben', zu dem eigentlichen Gegenstande der Darstellung, also 'Episoden'. VII 171 wird eine solche Beigabe *παρενθήκη τοῦ λόγου* genannt.

6. Eine Sage der Art deutet Plut. mor p. 303 an: *τίς ἡ αἰτία δι' ἣν Ἠλεῖοι τὰς ἵππους ἐκτὸς ὅρων ἀπάγοντες βιβάζουσιν; ἢ ὅτι πάντων τῶν βασιλέων φιλιππότατος ὢν ὁ Οἰνόμαος καὶ μάλιστα τὸ ζῷον ἀγαπήσας τοῦτ', ἐπηρήσατο πολλὰ καὶ δεινὰ κατὰ τῶν ἵππων ὀχευόντων ἐν Ἤλιδι, καὶ φοβούμενοι τὴν κατάραν ἐκείνην ἀφοσιοῦνται.*

9. *σχῶσι ἐν γαστρί*: vgl. zu III 28 8. 32 20.

31. *Περὶ δὲ τῶν πτερῶν*: vgl. c. 7 15 ff.

3 ff. *τήνδε – γνώμην*: zu II 116 1. — *ταύτης τῆς χώρης*: vgl. zu c. 13 12. — *ἐλάσσονι*, wie c. 50 *ὕεται ἡ γῆ ὀλίγῳ*.

10 ff. Verb. *εἰκάζοντας λέγειν*, 'mit den Federn, glaube ich, bezeichnen die Skythen auf bildliche Weise den Schnee'. Zu *εἰκάζοντας* vgl. VII 162 12. — *τὰ λέγεται μακρό-*

32 Ὑπερβορέων δὲ πέρι ἀνθρώπων οὔτε τι Σκύθαι λέγουσι οὐδὲν οὔτε τινὲς ἄλλοι τῶν ταύτῃ οἰκημένων, εἰ μὴ ἄρα Ἰσσηδόνες. ὡς δ' ἐγὼ δοκέω, οὐδ' οὗτοι λέγουσι οὐδέν· ἔλεγον γὰρ ἂν καὶ Σκύθαι, ὡς περὶ τῶν μουνοφθάλμων λέγουσι. ἀλλ' Ἡσιόδῳ μέν ἐστι περὶ Ὑπερβορέων εἰρημένα, ἔστι δὲ καὶ Ὁμήρῳ ἐν Ἐπιγόνοισι, εἰ
33 δὴ τῷ ἐόντι γε Ὅμηρος ταῦτα τὰ ἔπεα ἐποίησε. πολλῷ δέ τι πλεῖστα περὶ αὐτῶν Δήλιοι λέγουσι, φάμενοι ἱρὰ

τατα ist wie eine Apposition zu *ταῦτα* zu nehmen, = *τὰ λεγόμενα μακρότατα*, 'dies ist als die entfernteste Kunde mitgetheilt'; vgl. III 9 6. VII 184 29. Der Satz weist einerseits auf c. 16 9 zurück, und schliefst anderseits die Mittheilung der thatsächlichen Ueberlieferung ab, worauf c. 32 — 36 das blofs Mythische behandelt wird.

Die Hyperboreer - sage (c. 32—36).

32. *Ὑπερβορέων δέ*: anknüpfend an die Erzählung des Aristeas, dafs oberhalb der Greife Hyperboreer wohnten, zieht H. die Existenz dieses Volkes überhaupt in Zweifel und verweist es in das Gebiet hellenischer Dichtung und Cultussagen. - *οὔτε τι* - *οὐδέν*: zu c. 19 3. — *Σκύθαι*, die doch von ihnen wissen müfsten.

3. *Ἰσσηδόνες*, denen Aristeas seine sonstige Kunde zuschrieb (c. 16 7). — *λέγουσι*, sc. *περὶ Ὑπερβορέων*.

4. Vgl. c. 27.

5ff. Welches hesiodische Gedicht H. im Sinn gehabt, ist unsicher; da er aber nicht, wie bei Homer, auf eine Stelle verweist, so scheinen seine Worte auf eine besondere die Hyperboreer betreffende Dichtung bezogen werden zu müssen. — *ἐν Ἐπιγόνοισι*: dies Epos behandelte, wahrscheinlich an die Thebais (Zug der Sieben gegen Theben) anknüpfend, den Rachezug der Söhne jener Helden. Mit dem hier gegen den homerischen Ursprung ausgesprochenen Zweifel vgl. II 117. Aufserdem werden die Hyperboreer in einem homerischen Hymnos auf Dionysos (VII 29) erwähnt.

33. *πολλῷ δέ τι πλεῖστα*: zu V 92ε 14

2f. Der Mythos von den Hyperboreern steht in innigem Zusammenhange mit dem hellenischen Apollonculte. Wie im äufsersten Süden das glückselige Volk der Aethiopen, so sollte hoch im Norden, jenseits des Boreas (*ὑπερ* - *βόρεοι*, c. 36 4) und des rhipaeischen Gebirgswalles (vgl Hippokrates zu c. 28 1), den Stürmen und der Kälte des Winters entrückt, ein Volk in seligem Frieden und Glücke, einzig dem Dienste und der Verherrlichung des segenspendenden Lichtgottes leben. Hier weilte Apollon am liebsten, und von hier verbreitete sich sein Cultus über die anderen Länder. — Aufser in Delos, als der Hauptstätte des ionischen Apollon-cultes, war die Sage auch in Delphi heimisch; einzelne Spuren fanden sich auch in Attika (Prasiae, zu 4) und Olympia. — *λέγουσι*, in einem Festhymnos und in Tempelsagen. — *ἱρά*: Kallimach. Hymn. Del. 283 *οἱ μέντοι (Ὑπερβόρεοι) καλάμην καὶ ἱερὰ δράγματα πρῶτοι Ἀσταχύων φορέουσιν*, 278 *ἀμφιετεῖς δεκατηφόροι αἰεὶ ἀπαρχαὶ Πέμπονται*. Plin. IV 91 *frugum primitias*, Pausanias I 31 2 *ἀπαρχὰς κεκρύφθαι*

ἐνδεδεμένα ἐν καλάμῃ πυρῶν ἐξ Ὑπερβορέων φερόμενα ἀπικνέεσθαι ἐς Σκύθας, ἀπὸ δὲ Σκυθέων ἤδη δεκομένους αἰεὶ τοὺς πλησιοχώρους ἑκάστους κομίζειν αὐτὰ τὸ πρὸς ἑσπέρης ἑκαστάτω ἐπὶ τὸν Ἀδρίην, ἐνθεῦτεν δὲ πρὸς μεσαμβρίην προπεμπόμενα πρώτους Δωδωναίους Ἑλλήνων δέκεσθαι, ἀπὸ δὲ τούτων καταβαίνειν ἐπὶ τὸν Μηλιέα κόλπον καὶ διαπορεύεσθαι ἐς Εὔβοιαν, πόλιν τε ἐς πόλιν πέμπειν μέχρι Καρύστου, τὸ δ' ἀπὸ ταύτης ἐκλιπεῖν Ἄνδρον· Καρυστίους γὰρ εἶναι τοὺς κομίζοντας ἐς Τῆνον, Τηνίους δὲ ἐς Δῆλον. ἀπικνέεσθαι μέν νυν οὕτω ταῦτα τὰ ἱρὰ λέγουσι ἐς Δῆλον, πρῶτον δὲ τοὺς Ὑπερβορέους πέμψαι φερούσας τὰ ἱρὰ δύο κούρας, τὰς οὐνομάζουσι Δήλιοι εἶναι Ὑπερόχην τε καὶ Λαοδίκην· ἅμα δὲ αὐτῇσι ἀσφαλείης εἵνεκεν πέμψαι τοὺς Ὑπερβορέους τῶν ἀστῶν ἄνδρας πέντε πομπούς, τούτους οἳ νῦν Περφερέες καλέονται, τιμὰς μεγάλας ἐν

ἐν καλάμῃ πυρῶν, also Erstlinge des Erndtesrgens (vgl. zu c. 15 10).

4. Die *Νευροί* wohnten ostwärts bis zum Borysthenes, nördlich von den Alazonen (c. 17), zwischen den Agathyrsen im W. und Androphagen im O. (c. 100. 125). Ptolemaeos III 5 25 kannte noch im südlichen Podolien ein Volk des Namens *Ναύαροι*.

5. *Τυρῖται*: die Stadt eine Colonie der Milesier, hiefs wie der Fluſs *Τύρας*, auch *Ὀφιοῦσσα* (Steph. Byz.). 'Den Münzen zufolge nannten sich die Einwohner *Τυρανοί*, wahrscheinlich zum Unterschiede von dem Landvolk, den *Τυρῖται* und *Τυριγέται*, die stromaufwärts wohnten'. *Neum.* I 359. Vgl. c. 18 5.

52. *Ὕπανις*, jetzt *Bug*.

2. *Σκυθικῆς*, also nicht so hoch im N. als der Tyras und Borysthenes, und in der That liegen die Quellen dieser Ströme viel höher.

4. *μήτηρ Ὑπάνιος*, ein eigenthümlich figürlicher Ausdruck, der c. 86 17 von der Maeotis wiederkehrt.

5f. *πέντε ἡμερέων πλόον*, offenbar Thalfahrten, da die Richtung durch *ἐκ ταύτης – ῥέει* bestimmt ist. — *ῥέει – βραχύς*, wie II 25 *ῥέουσι μεγάλοι*. *βραχύς* steht II 19

τεσσέρων ἡμερέων πλόον πικρὸς δεινῶς· ἐκδιδοῖ γὰρ ἐς αὐτὸν κρήνη πικρή, οὕτω δή τι ἐοῦσα πικρή, ἣ μεγάθεϊ σμικρὴ ἐοῦσα κιρνᾷ τὸν Ὕπανιν ἐόντα ποταμὸν ἐν ὀλίγοισι μέγαν. ἔστι δὲ ἡ κρήνη αὕτη ἐν οὔροισι χώρης τῆς τε ἀροτήρων Σκυθέων καὶ Ἀλαζώνων· οὔνομα δὲ τῇ κρήνῃ καὶ ὅθεν ῥέει τῷ χώρῳ, σκυθιστὶ μὲν Ἐξαμπαῖος, κατὰ δὲ τὴν Ἑλλήνων γλῶσσαν Ἱραὶ ὁδοί. συνάγουσι δὲ τὰ τέρματα ὅ τε Τύρης καὶ ὁ Ὕπανις κατὰ Ἀλάζωνας· τὸ δὲ ἀπὸ τούτου ἀποστρέψας ἑκάτερος ῥέει εὐρύνων τὸ μέσον.

53 *Τέταρτος δὲ Βορυσθένης ποταμός, ὅς ἐστί τε μέγιστος μετὰ Ἴστρον τούτων καὶ πολυαρκέστατος κατὰ γνώμας τὰς ἡμετέρας οὔτι μοῦνον τῶν Σκυθικῶν ποταμῶν, ἀλλὰ καὶ τῶν ἄλλων ἀπάντων, πλὴν Νείλου*

12 von dem winterlichen Wasserstande des Nils, bezeichnet also mäſsige Wasserhöhe. Beim Bug wird sich das Epitheton auf seinen Oberlauf nördlich der Katarakten beziehen, die er beim Durchbruche der südrussischen Landhöhe bildet; südlicher erweitert und vertieft sich sein Bette. — Statt *πρὸς θαλάσσης* erwartet man *μέχρι θ.*, da auch hier Thalfahrten verstanden werden müssen.

8. Die märchenhafte bittere Quelle ist wohl nur eine Hypothese, um den Salzgeschmack des Stromwassers zu erklären. Die wahre Ursache lag in dem Seewasser, das noch heute bis Nikolajew, im Alterthum gewiſs noch weiter, durch die Südwinde in den Strom hinauf getrieben wurde. — *οὕτω δή τι*: zu III 120 16. — *μεγάθεϊ σμικρή*: zu I 51 3. — *κιρνᾷ*: vgl. c. 81 9.

10. *ἐν ὀλίγοισι μέγαν*, *in paucis magnum*, dem nur wenige an Gröſse gleichkommen. Aehnlich IX 41 6.

11. Von den Pflüger-Skythen und Alazonen s. c. 17.

12f. Exampaeos lag zwischen Hypanis und Borysthenes (c. 81). 'Heilige Wege' mochte der Ort davon heiſsen, daſs er ein Knotenpunkt alter Verkehrsstraſsen war, deren Sicherheit, nach antiker Sitte, unter den Schutz der Götter gestellt war. Vgl. VII 116 12ff. Auf einen Cult läſst auch der dort vom Skythenkönige Ariantes aufgestellte kolossale Mischkessel schlieſsen (c. 81).

14f. *συνάγουσι*: zu I 194 9; gleichsam wie Rennbahnen (deren Umbiegungen *τέρματα* hieſsen) nähern die Flüsse sich durch convergirende Krümmungen. — *κατὰ Ἀλάζωνας* nicht 'im Lande der Alazonen', die zwischen Hypanis und Borysthenes saſsen (c. 17), sondern ungefähr in gleicher Entfernung (vier Tagefahrten, 7), unter gleicher Breite; etwa zwischen Sawran und Raschkow. — *ἀποστρέψας*, intransitiv. — Von der Mündung des Hypanis s. c. 53 24.

53. 2. *πολυαρκέστατος*, *plurima suppeditans*, sehr reich an Producten und Hilfsmitteln. Skymnos Ch. 840 paraphrasirt die Stelle *οὗτος δὲ πάντων ἐστὶ χρειωδέστατος* (*utilissima*).

4. *πλὴν Νείλου*: vgl. II 14. 92ff.

τοῦ *Αἰγυπτίου*· τούτῳ γὰρ οὐκ οἷά τέ ἐστι συμβαλεῖν ἄλλον ποταμόν· τῶν δὲ λοιπῶν Βορυσθένης ἐστὶ πολυαρκέστατος, ὃς νομάς τε καλλίστας καὶ εὐκομιδεστάτας κτήνεσι παρέχεται καὶ ἰχθῦς τε ἀρίστους διακριδὸν καὶ πλείστους, πίνεσθαί τε ἥδιστός ἐστι, ῥέει τε καθαρὸς παρὰ θολεροῖσι, σπόρος τε παρ' αὐτὸν ἄριστος γίνεται, ποίη τε, τῇ οὐ σπείρεται ἡ χώρη, βαθυτάτη. ἅλες τε ἐπὶ τῷ στόματι αὐτοῦ αὐτόματοι πήγνυνται ἄπλετοι· κήτεά τε μεγάλα ἀνάκανθα, τὰ ἀντακαίους καλέουσι, παρέχεται ἐς ταρίχευσιν, ἄλλα τε πολλὰ θωυμάσαι ἄξια. μέχρι μέν νυν Γέρρου χώρου, ἐς τὸν τεσσεράκοντα ἡμε-

Diodor I 36 *καθόλου δὲ ταῖς εἰς ἀνθρώπους εὐεργεσίαις ὑπερβάλλει (ὁ Νεῖλος) πάντας τοὺς κατὰ οἰκουμένην ποταμούς.*

7. *εὐκομιδεστάτας* scheint verderbt. Mela II 8 übersetzt *laetissima pabula.*

8. *ἀρίστους διακριδόν*, nach Il. μ 103 *εἴσαντο διακριδὸν εἶναι ἄριστοι.*

10. *παρὰ θολεροῖσι* scheint auf die sumpfigen Niederungen des Dnjepr-thales zu gehen. Vgl. I 202 23. Es auf die anderen skythischen Flüsse zu beziehen, ist sachlich nicht zulässig.

11. *τῇ οὐ σπείρεται ἡ χώρη*, auf der hohen Steppe, während sich der Ackerbau wohl schon damals auf die breiten Thalränder beschränkte. — *ἅλες*, ein Hauptartikel des Exports an dieser Küste. Dio Chrys p. 437 *ταύτῃ δὲ* (an der Dnjepr- und Bugmündung) *καὶ τῶν ἁλῶν ἐστι τὸ πλῆθος, ὅθεν οἱ πλείους τῶν βαρβάρων λαμβάνουσιν ὠνούμενοι τοὺς ἅλας καὶ τῶν Ἑλλήνων καὶ Σκυθῶν οἱ Χερρόνησον οἰκοῦντες τὴν Ταυρικήν.*

14. *ἐς ταρίχευσιν*: der Fisch kam unter dem Namen *τάριχος ἀνταχαῖον* in den Handel (Athen. p. 118d).

15f. Das Land *Γέρρος* (— vom gleichnamigen Flusse zu c. 56 1 —) bildete, nach des Vf.'s Angaben zu schliefsen, die nördlichste Gränze Skythiens und einen Theil der *ἐρῆμος*, welche sich nördlich von den *Σκύθαι γεωργοί* weithin (*ἐπὶ πολλόν*) erstreckte und letztlich vom Lande der Androphagen begränzt wurde (c. 18). Die es angeblich bewohnenden *Γέρροι* oder *Γέρριοι* (zu c. 71 1) waren von allen den königlichen Skythen botmäfsigen Stämmen der fernste; bei ihnen befanden sich die Gräber der Skythenkönige (c. 71 17). Nimmt man hinzu, dafs c. 101 die gerade Entfernung der Nordgränze Skythiens vom Meere auf 20 Tagereisen geschätzt wird, so erscheinen die vielfach angezweifelten, aber auch von Skymnos Ch. 844 und Mela II 1 55 (vgl. zu c. 71 1) angegebenen 40 Bergfahrten als Entfernung des Gerrhos vom Meere keineswegs als zu viel. Safsen die *Σκύθαι γεωργοί*, vom Meere durch die Hylaea um 2–3 Tagefahrten getrennt (zu c. 18 3), 10–11 Tagefahrten am Strome aufwärts (zu 20), so waren sie vom Gerrhos durch eine *ἐρῆμος* von gegen 28 Tagefahrten geschieden, die etwa von der Mündung der Samara (Jekaterinoslaw) oder den Katarakten bis zur Mündung des Desna (bei Kiew) reichte. Auf diesen Punkt passen auch die Worte *ῥέων ἀπὸ*

ῥέων πλόος ἐστί, γινώσκεται ῥέων ἀπὸ βορέω ἀνέμου· τὸ δὲ κατύπερθε δι' ὧν ῥέει ἀνθρώπων οὐδεὶς ἔχει φράσαι· φαίνεται δὲ ῥέων δι' ἐρήμου ἐς τῶν γεωργῶν Σκυθέων τὴν χώρην· οὗτοι γὰρ οἱ Σκύθαι παρ' αὐτὸν ἐπὶ δέκα ἡμερέων πλόον νέμονται. μούνου δὲ τούτου τοῦ ποταμοῦ καὶ Νείλου οὐκ ἔχω φράσαι τὰς πηγάς, δοκέω δέ, οὐδὲ οὐδεὶς Ἑλλήνων. ἀγχοῦ τε δὴ θαλάσσης ὁ Βορυσθένης ῥέων γίνεται καί οἱ συμμίσγεται ὁ Ὕπανις ἐς τὠυτὸ ἕλος ἐκδιδούς. τὸ δὲ μεταξὺ τῶν ποταμῶν τούτων ἐὸν ἔμβολον τῆς χώρης Ἱππόλεω ἄκρη καλέεται, ἐν δὲ αὐτῷ ἱρὸν Δήμητρος ἐνίδρυται· πέρην δὲ τοῦ ἱροῦ ἐπὶ τῷ Ὑπάνι Βορυσθενεῖται κατοίκηνται.

βορέω ἀνέμου, indem bis da der Strom eine entschieden südliche, von dort ab bis zur Samara eine entschieden südöstliche, zuweilen fast östliche Richtung hat. (Der Vorschlag *τεσσερεσκαίδεκα* ist auch deshalb abzuweisen, weil dadurch der Gerrhos-fluſs die Nordgränze der *Σκύθαι γεωργοί* werden und auf seinem Laufe nach SO. den Pantikapes — vgl. c. 54 — kreuzen müſste). — *πλόος ἐστί*, sc. *ἀπὸ θαλάσσης*. — *γινώσκεται*, durch die Skythen, die schon ihrer Königsgräber wegen so weit hinaufzuschiffen Veranlassung hatten. Die Schifffahrt der Hellenen reichte wohl nur bis zu den Katarakten.

17 f. *δι' ὧν – ἀνθρώπων*: die c. 18 11 genannten Androphagen wohnten eben oberhalb der *ἐρῆμος*, die aber H. als solche noch nicht ganz menschenleer gedacht wissen will (vgl. c. 123 9); denn erst jenseits der Androphagen ist *ἐρῆμος ἀληθέως καὶ ἔθνος ἀνθρώπων οὐδέν* (c. 18 13). Ueberhaupt bezeichnet *ἐρῆμος* (*ἐρημίη*) keineswegs immer eine 'Wüste', sondern ein Land ohne Anbau und ohne fest ansessige Bewohner (Gegensatz *οἰκεομένη*); daher zuweilen der Zusatz *ἀνθρώπων* (c. 17 11). Ganz Skythien hieſs wohl *ἡ Σκυθέων ἐρημίη* (Hippokrat. zu c. 19 4).

18. *φαίνεται* = *φανερός ἐστι*, bezeichnet zuverlässigere und genauere Kunde als *γινώσκεται* (16). Diese Strecke mochten Olbiopoliten aus Autopsie kennen. — *δι' ἐρήμου*, von der Südgränze des Landes Gerrhos bis zur Nordgränze der *Σκ. γεωργοί*.

20. *δέκα*: oben c. 18 10 sind *ἕνδεκα* angegeben. Die Strecke reicht ungefähr bis zum Beginn der Katarakten oder bis zur Mündung der Samara.

21. Vorsichtiger Strab. 107 *οὔτε τοῦ Τύρα τῶν πηγέων κατωπτευμένων οὔτε τοῦ Βορυσθένους οὔτε τοῦ Ὑπάνιος κτλ.*

22 ff. *ἀγχοῦ τε – καί*: der erste Satz sollte subordinirt sein, *ὅκου δὲ ἀγχοῦ – ἐνθαῦτα*. Zu II 93 26. — *ἕλος*, der groſsentheils seichte Dnjepr-Liman.

25 f. *ἔμβολον* eigentlich 'Schiffsschnabel' (I 166 12 masc.). Die Metapher (vgl. 'Landzunge') erklärt Dio Chrys. p. 437 *τοῦτο δέ ἐστι τῆς χώρας ὀξὺ καὶ στερεόν, ὥσπερ ἔμβολον, περὶ ὃ συμπίπτουσιν οἱ ποταμοί.*

27. *Βορυσθενεῖται*: zu c. 17 1.

Ταῦτα μὲν τὰ ἀπὸ τούτων τῶν ποταμῶν, μετὰ δὲ 54
τούτους πέμπτος ποταμὸς ἄλλος τῷ οὔνομα Παντικά-
πης· ῥέει δὲ καὶ οὗτος ἀπὸ βορέω τε καὶ ἐκ λίμνης,
καὶ τὸ μεταξὺ τούτου τε καὶ τοῦ Βορυσθένεος νέμον-
ται οἱ γεωργοὶ Σκύθαι, ἐκδιδοῖ δὲ ἐς τὴν Ὑλαίην, πα-
ραμειψάμενος δὲ ταύτην τῷ Βορυσθένεϊ συμμίσγεται.
ἕκτος δὲ Ὑπάκυρις ποταμός, ὃς ὁρμᾶται μὲν ἐκ λίμνης, 55
διὰ μέσων δὲ τῶν νομάδων Σκυθέων ῥέων ἐκδιδοῖ κα-
τὰ Καρκινῖτιν πόλιν, ἐς δεξιὴν ἀπέργων τήν τε Ὑλαίην
καὶ τὸν Ἀχιλλήιον δρόμον καλεόμενον. ἕβδομος δὲ Γέρ- 56

54. Die drei folgenden Flüsse, Pantikapes, Hypakyris und Gerrhos, sind als solche nicht nachweisbar, sondern beruhen auf Mifsverständnifs sei es des Vf.'s oder seiner Gewährsmänner (Olhiopoliten). 'Der thatsächliche Kern der Nachrichten besteht nur darin, dafs die Kaufleute, ehe sie an den Don gelangten, jenseits des Borysthenes noch drei Flüsse in den angegebenen Entfernungen überschreiten mufsten.' *Neumann* I 205. — ἀπό = περί, wie c. 195 21. VII 168 1. 195 7. VIII 94 8. So auch im homerischen ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης (nämlich plaudern), wofür Hesiod περὶ δρῦν ἢ περὶ πέτρην.

2. Παντικάπης: der (kimmerlsche?) Name hängt mit dem der Stadt Παντικάπαιον am kimmerischen Bosporos zusammen und weist darum auf eine östlichere Gegend als H. dem Flusse zuschreibt. Vermuthlich ist dieser eine irrige Combination der Samara mit einem der Nebenarme des unteren Dnjepr.

3. ἐκ λίμνης: zu c. 51 3.

4 ff. Vgl. c. 18. — Ὑλαίην: zu c. 18 3. — παραμείβεσθαι hier nicht 'vorbei-', sondern 'durchfliefsen'; vgl. I 104 6. V 52 13. VII 42 6. 112 1. 225 9.

55. Der Hypakyris mufs, da er das Gebiet der Σκ. νομάδες mitten durchflofs, etwa 10 Tagereisen östlich vom Borysthenes gesucht werden (vgl. c. 18 7. 19 6), etwa in der Molotschna.

3. Die Stadt Καρκινῖτις (bei Anderen Καρκίνη), die c. 99 8 als die äufserste der skythischen Südküste diesseits Tauriens bezeichnet wird, lag im Recefs des κόλπος Καρκινίτης oder Ταμυράκης (jetzt 'todtes Meer'). Da die Alten diesen Meerbusen nicht nach O., sondern nach N. tief ins Land einschneidend dachten (Strab. 308 ἀνέχων πρὸς τὰς ἄρκτους ὅσον ἐπὶ σταδίους χιλίους), so lag es nahe ihn als Liman zweier ansehnlichen Flüsse (Hypakyris und Gerrhos, c. 56 7) anzusehen. Mela II 4 *in eo (sinu Carcinita) urbs est Carcine, quam duo flumina, Gerrhos et Hypacares, uno ostio effluentia adtingunt*. Auch mündet dort jetzt ein Bach *Kalantschik*.

4. Ἀχιλλήιος δρόμος hiefs die langgestreckte flache, durch einen Isthmos mit dem Continente verbundene Landzunge westlich vom Karkinites (jetzt *Tendera* und *Djaril Agatsch*), die bis vor kurzem eine zusammenhängende, 16 Meilen lange Nehrung bildete, jetzt aber in mehrere Inseln zerrissen ist. Auf der westlichen Spitze stand ein dem Achilleus heiliger Hain (Strab. 307), und Inschriften zeugen von einem dort gepflegten Dienste dieses He-

ρος ποταμὸς ἀπέσχισται μὲν ἀπὸ τοῦ Βορυσθένεος κα-
τὰ τοῦτο τῆς χώρης ἐς ὃ γινώσκεται ὁ Βορυσθένης·
ἀπέσχισται μέν νυν ἐκ τούτου τοῦ χώρου, οὔνομα δὲ
ἔχει τό περ ὁ χῶρος αὐτός, Γέρρος, ῥέων δὲ ἐς θά-
λασσαν οὐρίζει τήν τε τῶν νομάδων χώρην καὶ τὴν τῶν
57 *βασιληίων Σκυθέων, ἐκδιδοῖ δὲ ἐς τὸν Ὑπάκυριν. ὄγδοος*
δὲ δὴ Τάναϊς ποταμός, ὃς ῥέει τἀνέκαθεν ἐκ λίμνης
μεγάλης ὁρμεόμενος, ἐκδιδοῖ δὲ ἐς μέζω ἔτι λίμνην κα-
λεομένην Μαιῆτιν, ἣ οὐρίζει Σκύθας τε τοὺς βασιληίους

ros, der durch Sagen und Culte überhaupt mit der nordpontischen Küste in vielfache Verbindung gesetzt war. (In Olbia wurde er als *Ποντάρχης* verehrt; Alkaeos Fr. 49 *Ἀχίλλευ ὁ τᾶς Σκυθίκας μέδεις*). Für seine gepriesene Schnellfüfsigkeit (*ποδώκης*) schien nun in jener Landzunge eine vortreffliche Rennbahn abgesteckt zu sein. Ueberhaupt aber pflegte man breiten sandigen Meeresstrand *Ἀχιλλέως δρόμος* zu nennen (Schol. Apoll. Rh. II 658).

56. H.'s Vorstellung vom Laufe des Gerrhos (– vom gleichnamigen Lande zu c. 53 15 –) ist sehr wunderlich. Er ist ein Nebenarm des Borysthenes, von dem er sich 40 Tagefahrten (c. 53 15) oberhalb der Mündung abzweigt, macht darauf ostwärts eine so grofse Ausbiegung, dafs er auf seinem weiteren Laufe nach S., 17 Tagereisen (vgl. c. 18 7. 19 6) weit vom Borysthenes, die Grenzscheide zwischen den *Σκ. νομάδες* und *Σκ. βασιλήιοι* abgibt, und wendet sich zuletzt wieder so entschieden nach W., dafs er in den Hypakyris münden kann. Erwägt man, dafs der Flufs von seinem Ursprunge bis zu seiner Mündung überall die Grenze der *βασιλήιοι Σκ.* bildet (im N. gegen die *ἐρῆμος*, im W. und SW. gegen die *Σκ. νομάδες*), und dafs seine südwestliche Wendung und Verbindung mit dem Hypakyris unerlässig erscheinen mufste, damit er dieselben nicht von der taurischen Halbinsel trenne (vgl. c. 20 5): so wird es wahrscheinlich, dafs der Name eigentlich nicht einen Flufs, sondern die 'Grenze' bezeichnete, also *Γέρρος χῶρος* 'Grenzland', (vgl. c. 71 17) und *Γέρροι* die 'Grenzbewohner'. Im O. mochte diese 'Grenze' mit dem Donetz zusammenfallen, überhaupt aber sich an Flüsse als die natürlichen Marken der Weidebezirke anschliefsen, so dafs leicht die irrige Vorstellung von einem Flusse entstehen konnte.

2f. *ἀπέσχισται*, wie II 17 *ἔστι δὲ καὶ ἕτερα διφάσια στόματα ἀπὸ τοῦ Σεβεννυτικοῦ ἀποσχισθέντα.*

3. S. c. 53 15. — *ἐς ὅ* hier und (c. 71 1). VII 50 15 in räumlicher Bedeutung 'bis wie weit', *quousque*. Es ist ein adverbialer Ausdruck; sonst würde der Dialekt *ἐς τό* (*ad quod*) erheischen.

5. *Γέρρος*: der Nominativ, weil *οὔνομα ἔχει* = *καλέεται*.

6f. S. c. 19. — *βασιληίων*: zu c. 20 4. — *ἐς τὸν Ὑπάκυριν*, bei dessen Mündung; (vgl. zu c. 55 3).

57. 1. *Τάναϊς*, jetzt *Don*. Vgl. Plinius zu c. 86 17. Er bildet die Nordostgrenze Skythiens (c. 21 1). — *τἀνέκαθεν*, räumlich, 'von oben her'; sonst zeitlich (V 55 6).

4. Vgl. zu c. 21 3.

καὶ Σαυρομάτας. ἐς δὲ Τάναϊν τοῦτον ἄλλος ποταμὸς ἐσβάλλει τῷ οὔνομά ἐστι Ὕργις.

58 *Τοῖσι μὲν δὴ οὐνομαστοῖσι ποταμοῖσι οὕτω δή τι οἱ Σκύθαι ἐσκευάδαται, τοῖσι δὲ κτήνεσι ποίη ἀναφυομένη ἐν τῇ Σκυθικῇ ἐστι ἐπιχολωτάτη πασέων ποιέων τῶν ἡμεῖς ἴδμεν· ἀνοιγομένοισι δὲ τοῖσι κτήνεσι ἔστι σταθμώσασθαι ὅτι τοῦτο οὕτω ἔχει.*

59 *Τὰ μὲν δὴ μέγιστα οὕτω σφι εὔπορά ἐστι, τὰ δὲ λοιπὰ νόμαια κατὰ τάδε σφι διακέεται. θεοὺς μὲν μούνους τούσδε ἱλάσκονται, Ἱστίην μὲν μάλιστα, ἐπὶ δὲ Δία τε καὶ Γῆν, νομίζοντες τὴν Γῆν τοῦ Διὸς εἶναι γυναῖκα, μετὰ δὲ τούτους Ἀπόλλωνά τε καὶ Οὐρανίην Ἀφροδίτην καὶ Ἡρακλέα καὶ Ἄρεα. τούτους μὲν πάντες Σκύθαι νενομίκασι, οἱ δὲ καλεόμενοι βασιλήιοι Σκύθαι καὶ τῷ Ποσειδέωνι θύουσι. οὐνομάζονται δὲ σκυ-*

6. *Ὕργις*: zu c. 123 15.

58. 2. *ἐσκευάδαται* 'ist ausgestattet', als mit Mitteln der Wohlfahrt.

3. *ἐπιχολωτάτη*, wohl in Folge des auf der Steppe überaus häufigen Wermuths. Ovid. ex Ponto III 1 23 *tristia per vacuos horrent absinthia campos.* Eine entgegengesetzte Angabe bei Theophr. hist. pl. IX 17 4: *τὸ ἀψίνθιον τὰ μὲν ἐνταῦθα πρόβατα οὔ φασίν τινες νέμεσθαι, τὰ δ' ἐν τῷ Πόντῳ νέμεται καὶ γίνεται πιότερα καὶ καλλίω καὶ ὥς δή τινες λέγουσιν οὐκ ἔχοντα χολήν.*

Götterdienst und Sitten der Skythen (c. 59–82).

59. 2. *νόμαια*, eigentlich appositiv. Vgl. zu I 193 15. — *σφι*, sc. *τοῖσι βασιληίοισι Σκύθῃσι*, auf die sich der Inhalt des ganzen Abschnitts vorzugsweise bezieht (vgl. c. 71 10).

3. *ἱλάσκονται* hier allgemein = *σέβονται* (V 7 2). — In der *Ἱστίη* (*Ἑστία*, von der Wurzel *ἐδ*, *sed*) verehrten die Hellenen ursprünglich den Anfang und Mittelpunkt jeder festen Ansiedlung und Gemeinschaft (Familie, Stamm, Staat), insbesondere aber die Göttin des Heerdes und des Heerdfeuers, als Beschützerin und Spenderin des häuslichen Wohles. Bei den nomadisirenden Skythen konnte nur eine Hausgöttin letzterer Art den Hellenen an seine Hestia erinnern, und Neumann I 254 ff. zeigt, dafs bei den Mongolen noch jetzt jede Familie ihre besondere Zeltgottheit verehrt, deren Sitz die Feuerstätte, der wichtigste Ort innerhalb des Zeltraumes, ist, in deren Macht und Schutz das Wohl und Gedeihen der Familie und der Heerden steht. Jede Familie hatte ihre Tabiti; besonders verehrte man aber die *βασιλήιαι ἱστίαι* und schwor bei ihnen die heiligsten Eide (c. 68 7). — *μάλιστα*, am allgemeinsten und eifrigsten. König Idanthyrsos nennt *Ἱστίην τὴν Σκυθέων βασίλειαν* seine 'Herrin' (c. 127 15).

5. *Οὐρανίην*: zu I 105 7.

7. *νενομίκασι*' *uti consueverunt*, 'verehren'; zu I 142 8.

8. Zum Culte des Meeresgottes

θισti Ἱστίη μὲν Ταβιτί, Ζεὺς δὲ ὀρθότατα κατὰ γνώ-
μην γε τὴν ἐμὴν καλεόμενος Παπαῖος, Γῆ δὲ Ἀπί,
Ἀπόλλων δὲ Γοιτόσυρος, Οὐρανίη δὲ Ἀφροδίτη Ἀργίμ-
πασα, Ποσειδέων δὲ Θαγιμασάδας. ἀγάλματα δὲ καὶ
βωμοὺς καὶ νηοὺς οὐ νομίζουσι ποιέειν πλὴν Ἄρεϊ·
60 τούτῳ δὲ νομίζουσι. θυσίη δὲ ἡ αὐτὴ πᾶσι κατέστηκε
περὶ πάντα τὰ ἱρὰ ὁμοίως, ἐρδομένη ὧδε. τὸ μὲν ἱρήιον
αὐτὸ ἐμπεποδισμένον τοὺς ἐμπροσθίους πόδας ἕστηκε·
ὁ δὲ θύων ὄπισθε τοῦ κτήνεος ἑστεὼς σπάσας τὴν
ἀρχὴν τοῦ στρόφου καταβάλλει μιν, πίπτοντος δὲ τοῦ
ἱρηίου ἐπικαλέει τὸν θεὸν τῷ ἂν θύῃ, καὶ ἔπειτα βρόχῳ
περὶ ὦν ἔβαλε τὸν αὐχένα, σκυταλίδα δὲ ἐμβαλὼν περι-
άγει καὶ ἀποπνίγει, οὔτε πῦρ ἀνακαύσας οὔτε καταρ-
ξάμενος οὔτ' ἐπισπείσας· ἀποπνίξας δὲ καὶ ἀποδεί-
61 ρας τράπεται πρὸς ἕψησιν. τῆς δὲ γῆς τῆς Σκυθικῆς
αἰνῶς ἀξύλου ἐούσης ὧδέ σφι ἐς τὴν ἕψησιν τῶν κρεῶν
ἐξεύρηται. ἐπεὰν ἀποδείρωσι τὰ ἱρήια, γυμνοῦσι τὰ
ὀστέα τῶν κρεῶν, ἔπειτα ἐσβάλλουσι, ἢν μὲν τύχωσι
ἔχοντες, ἐς λέβητας ἐπιχωρίους, μάλιστα Λεσβίοισι κρη-
τῆρσι προσεικέλους, χωρὶς ἢ ὅτι πολλῷ μέζονας· ἐς
τούτους ἐσβάλλοντες ἕψουσι ὑποκαίοντες τὰ ὀστέα τῶν
ἱρηίων. ἢν δὲ μή σφι παρῇ λέβης, οἱ δὲ ἐς τὰς γαστέ-

hatten eben nur die 'königlichen' Skythen als Anwohner der Maeotis (c. 20) Anlafs.

9. *ὀρθότατα*, als *πατὴρ ἀνδρῶν τε θεῶν τε*. Denn *Παπαῖος* nimmt H. = *πατήρ*. Vgl. *πάπας*, *παπίας*, *πάππας* u. a.

10. *καλεόμενος*: zu c. 200 10.

12f. *ἀγάλματα κτλ.*: zu c. 108 9. — *πλὴν Ἄρεϊ*: s. c. 62.

60. *θυσίη* hier nicht 'Opfer', sondern 'Opferweise', *ritus sacrificandi*; ebenso I 132 1. II 39 2. IV 188 1. Vgl. zu II 58 1. — *ἡ αὐτή*, abweichend vom hellenischen Brauche.

5. *ἀρχήν* 'Ende'. Eur. Hipp. 761 *ἐκδήσαντο πλεκτὰς πεισμάτων ἀρχάς*. — *στρόφον*, womit das Thier gebunden ist.

7. *περὶ ὦν ἔβαλε* 'schlingt rasch um den Hals herum'. Von diesem dem H. eigenthümlichen Gebrauche der Tmesis beim empirischen Aorist s. zu I 194 21. — *ἐμβαλών*, in die Schlinge.

8f. *ἀποπνίγει*, damit das Blut nicht verloren geht. — *καταρξάμενος*, durch Abschneiden und Verbrennen der Stirnhaare; s. zu II 45 6. Vgl. auch I 132.

61. 2. *ἀξύλου ἐούσης*, von der Hylaea abgesehen (c. 19 4).

5. Die Form der *Λέσβιοι κρητῆρες* kennen wir nicht, so wenig wie die der c. 152 17 verglichenen argolischen.

8ff. *οἱ δέ*: zu I 17 9. II 39 9. —

ρας τῶν ἱρηίων ἐσβάλλοντες τὰ κρέα πάντα καὶ παραμίξαντες ὕδωρ ὑποκαίουσι τὰ ὀστέα· τὰ δὲ αἴθεται κάλλιστα, αἱ δὲ γαστέρες χωρέουσι εὐπετέως τὰ κρέα ἐψιλωμένα τῶν ὀστέων· καὶ οὕτω βοῦς τε ἑωυτὸν ἐξέψει καὶ τἆλλα ἱρήια ἑωυτὸ ἕκαστον. ἐπεὰν δὲ ἑψηθῇ τὰ κρέα, ὁ θύσας τῶν κρεῶν καὶ τῶν σπλάγχνων ἀπαρξάμενος ῥίπτει ἐς τὸ ἔμπροσθε. θύουσι δὲ καὶ τἆλλα πρόβατα καὶ ἵππους μάλιστα.

62 *Τοῖσι μὲν δὴ ἄλλοισι τῶν θεῶν οὕτω θύουσι καὶ ταῦτα τῶν κτηνέων, τῷ δὲ δὴ Ἄρεϊ ὧδε. κατὰ νομοὺς ἑκάστοισι τῶν ἀρχηίων ἐσίδρυταί σφι Ἄρεος ἱρὸν τοιόνδε. φρυγάνων φάκελοι συννενέαται ὅσον τ' ἐπὶ σταδίους τρεῖς μῆκος καὶ εὖρος, ὕψος δὲ ἔλασσον· ἄνω δὲ τούτου τετράγωνον ἄπεδον πεποίηται, καὶ τὰ μὲν τρία τῶν κώλων ἐστὶ ἀπότομα, κατὰ δὲ τὸ ἓν ἐπιβατόν. ἔτεος δὲ ἑκάστου ἁμάξας πεντήκοντα καὶ ἑκατὸν ἐπινέουσι φρυγάνων· ὑπονοστέει γὰρ δὴ αἰεὶ ὑπὸ τῶν χειμώνων. ἐπὶ τούτου δὴ τοῦ ὄγκου ἀκινάκης σιδήρεος ἵδρυται ἀρχαῖος ἑκάστοισι, καὶ τοῦτ' ἐστὶ τοῦ Ἄρεος τὸ ἄγαλμα. τούτῳ δὲ τῷ ἀκινάκῃ θυσίας ἐπετέους προσάγουσι προβάτων καὶ ἵππων, καὶ δὴ καὶ τοισίδ'*

'Die Sitte ein Thier in seinem eigenen Felle zu kochen herrschte noch zu Gmelin's Zeiten (um 1740) unter den mongolischen Buräten.' *Neum.* I 263.

14f. *ἀπαρξάμενος*, sc. *τῷ θεῷ* als *ἀπαρχή* darbringend. Vgl. III 24 13. — *ῥίπτει ἐς τὸ ἔμπροσθε*: vgl. c. 62 23.

16. *πρόβατα*: zu I 133 6.

62. 2f. 'Bezirksweise haben sie sich in jede der Herrschaften ein Heiligthum des Ares gestiftet'. Jede der drei Herrschaften oder Königreiche (*βασιληίαι* oder *βασιλήια* c. 7 12. 20 2. 120 14, hier *ἀρχήια*) war in Unterbezirke, Gaue eingetheilt, die je unter einem *νομάρχης* standen und einen in Hinsicht auf Heerbann und Cultus gesonderten Verband bildeten (c. 66). In jedem dieser Bezirke befand sich deshalb ein Heiligthum des Kriegsgottes.

7. *ἐπιβατόν* (*ἐστι*) 'ist eine ersteigbare Stelle'. Xen. An. IV 3 12 *ἱππεῦσι προσβατὸν εἶναι κατὰ τοῦτο*. Aehnliches zu I 84 15. IV 86 10.

9. *ὑπονοστέει*, *residit*; I 191 14 vom Flusse.

11. Aehnliches berichtet Ammianus Marc. XXXI 2 23 von den Alanen: *nec templum apud eos visitur aut delubrum, ne tugurium quidem culmo tectum cerni potest. sed gladius barbarico ritu humi figitur nudus eumque ut Martem regionum, quas circumcircant, praesulem verecundius colunt.*

13f. *τοισίδ' ἔτι πλέω* 'noch um

ἔτι πλέω θύουσι ἢ τοῖσι ἄλλοισι θεοῖσι· ὅσους ἂν τῶν πολεμίων ζωγρήσωσι, ἀπὸ τῶν ἑκατὸν ἀνδρῶν ἄνδρα θύουσι, τρόπῳ οὐ τῷ αὐτῷ καὶ τὰ πρόβατα, ἀλλ' ἑτεροίῳ. ἐπεὰν γὰρ οἶνον ἐπισπείσωσι κατὰ τῶν κεφαλέων, ἀποσφάζουσι τοὺς ἀνθρώπους ἐς ἄγγος καὶ ἔπειτα ἀνενείκαντες ἄνω ἐπὶ τὸν ὄγκον τῶν φρυγάνων καταχέουσι τὸ αἷμα τοῦ ἀκινάκεω. ἄνω μὲν δὴ φορέουσι τοῦτο, κάτω δὲ παρὰ τὸ ἱρὸν ποιεῦσι τάδε· τῶν ἀποσφαγέντων ἀνδρῶν τοὺς δεξιοὺς ὤμους πάντας ἀποτάμνοντες σὺν τῇσι χερσὶ ἐς τὸν ἠέρα ἱεῖσι, καὶ ἔπειτεν καὶ τὰ ἄλλα ἀπέρξαντες ἱρήια ἀπαλλάσσονται. χεὶρ δὲ τῇ ἂν πέσῃ κέεται, καὶ χωρὶς ὁ νεκρός.

63 *Θυσίαι μέν νυν αὗταί σφι κατεστᾶσι, ὑσὶ δὲ οὗτοι*
οὐδὲν νομίζουσι, οὐδὲ τρέφειν ἐν τῇ χώρῃ τὸ παράπαν
64 *θέλουσι. τὰ δ' ἐς πόλεμον ἔχοντα ὧδέ σφι διακέεται. ἐπεὰν τὸν πρῶτον ἄνδρα καταβάλῃ ἀνὴρ Σκύθης, τοῦ αἵματος ἐμπίνει. ὅσους δ' ἂν φονεύσῃ ἐν τῇ μάχῃ, τούτων τὰς κεφαλὰς ἀποφέρει τῷ βασιλέι· ἀπενείκας μὲν γὰρ κεφαλὴν τῆς ληίης μεταλαμβάνει τὴν ἂν λάβωσι, μὴ ἐνείκας δὲ οὔ. ἀποδείρει δὲ αὐτὴν τρόπῳ τοιῷδε· περιταμὼν κύκλῳ περὶ τὰ ὦτα καὶ λαβόμενος τῆς κεφαλῆς ἐκσείει, μετὰ δὲ σαρκίσας βοὸς πλευρῇ δέψει τῇσι χερσί, ὀργάσας δὲ αὐτὸ ἅτε χειρόμακτρον ἔκτηται,*

Folgendes mehr'.

15. *ἀπὸ τῶν ἑκατόν* 'von je hundert'.

17. *κατά*, wie II 39 *οἶνον κατὰ τοῦ ἱρηίου ἐπισπείσαντες.*

18. *ἀποσφάζουσι – ἐς ἄγγος*: zu III 11 10.

24. *ἀπέρξαντες*, von *ἀπ – ἔρδω*, 'nachdem sie das Opfer der übrigen Opferthiere beendigt haben'. Vgl. zu II 40 14. — *χείρ* 'Arm' (II 121 ε 14).

63. *ὑσὶ – νομίζουσι*: zu II 50 14. — Vor *οὗτοι* ist wohl *καί* ausgefallen; vgl. c. 76 1 und II 47.

3. *θέλουσι* 'pflegen' (I 74 21).

64. 2. *καταβάλλειν* 'erlegen' (VII 211 15. IX 63 6).

4. *ἀποφέρει*: zu I 14 4.

7 f. Die Hellenen betrachteten das Scalpiren als eine so eigenthümlich skythische Sitte, daſs sie es *ἀποσκυθίζειν* nannten. — *λαβόμενος – ἐκσείει* 'faſst den Kopf (an der Kopfhaut) und schüttelt ihn heraus'. Genauer wäre *λαβόμενος τοῦ δέρματος* oder *τῶν τριχῶν τὴν κεφαλὴν ἐκσείει.* — *σαρκίσας*: Pollux II 233 *Ἡρόδοτος δὲ σαρκίσαι (φησὶ) τὸ τοῦ δέρματος τὴν σάρκα ἀφελεῖν.*

9. *ὀργάσας* = *μαλάξας* (Schol.), nämlich durchs Gerben. — *ἅτε χει-*

*ἐκ δὲ τῶν χαλινῶν τοῦ ἵππου τὸν αὐτὸς ἐλαύνει, ἐκ
τούτου ἐξάπτει καὶ ἀγάλλεται· ὃς γὰρ ἂν πλεῖστα δέρ-
ματα χειρόμακτρα ἔχῃ, ἀνὴρ ἄριστος οὗτος κέκριται.
πολλοὶ δὲ αὐτῶν ἐκ τῶν ἀποδερμάτων καὶ χλαίνας
ἐπείνυσθαι ποιεῦσι, συρράπτοντες κατά περ βαίτας.
πολλοὶ δὲ ἀνδρῶν ἐχθρῶν τὰς δεξιὰς χεῖρας νεκρῶν ἐόν-
των ἀποδείραντες αὐτοῖσι ὄνυξι καλύπτρας τῶν φαρε-
τρέων ποιεῦνται. δέρμα δὲ ἀνθρώπου καὶ παχὺ καὶ
λαμπρὸν ἦν ἄρα, σχεδὸν δερμάτων πάντων λαμπρότατον
λευκότητι. πολλοὶ δὲ καὶ ὅλους ἄνδρας ἐκδείραντες καὶ
διατείναντες ἐπὶ ξύλων ἐπ' ἵππων περιφέρουσι. ταῦτα* 65
*μὲν δὴ οὕτω σφι νενόμισται, αὐτὰς δὲ τὰς κεφαλάς, οὔτι
πάντων ἀλλὰ τῶν ἐχθίστων, ποιεῦσι τάδε· ἀποπρίσας
[ἕκαστος] πᾶν τὸ ἔνερθε τῶν ὀφρύων ἐκκαθαίρει· καὶ ἢν
μὲν ᾖ πένης, ὁ δὲ ἔξωθεν ὠμοβοέην μούνην περιτείνας*

ρόμακτρον: hiernach wahrscheinlich Soph. Fr. 429 (*Οἰνόμαος*) *Σκυθιστὶ χειρόμακτρον ἐκκεκαρμένος*.

11. *ἐκ τούτου*, sc. *τοῦ ἵππου*, frei statt *ἐκ τούτων* (*τῶν χαλινῶν*).

12. *κέκριται* 'gilt' (V 6 6).

14. Zu dem frei angeschlossenen Infinitiv *ἐπείνυσθαι* vgl. VII 25 4. Od. δ 299 *χλαίνας τ' ἐνθέμεναι οὔλας κατύπερθεν ἕσασθαι*. — *βαίτας οἱ κατὰ τὴν Ἀσίαν καλοῦσι τὰς δορὰς τῶν αἰγῶν* (Bekk. Anecd. p. 84), *ἐκ κωδίων συνερραμμένα περιβόλαια· Ἀττικοὶ δὲ ταύτην καὶ σισύραν φασί* (Schol. Theocr. V 12). — 'Die Unbrauchbarkeit des Materials zu dem erwähnten Zweck erregt Zweifel an der Zuverlässigkeit der Nachricht'. *Neum.* I 289.

16. Fünf Pfeile bildeten wahrscheinlich den gewöhnlichen Inhalt eines Köchers (vgl. c. 131 5), und die Haut einer Menschenhand paſste insofern allerdings zu einem Köcherfutteral.

17 ff. Die Worte *δέρμα - λευκότητι* stehen in keinem rechten Zusammenhange mit dem Vorhergehenden. Der Ausdruck *ἦν ἄρα* (zu III 64 20) setzt die Erwähnung einer Thatsache voraus, aus der auf die *παχύτης* und *λαμπρότης* der menschlichen Haut geschlossen werden konnte. Eine solche Thatsache fehlt aber, wenigstens für die *λαμπρότης*. H. hat wahrscheinlich die Köcherdeckel gesehen, und gründet darauf seinen Schluſs, ohne seine Beobachtung mit deutlichen Worten zu erzählen. Vermuthlich schrieb er die ganze Notiz nachträglich (s. zu IX 83 2). Zu *λαμπρὸν - λαμπρότατον* vgl. VII 145 18.

20. *διατείναντες*, sc. *τὰ δέρματα*.

65. 4. *ἕκαστος* schob Jemand ein, der den zu I 195 4 besprochenen Gebrauch des collectivischen Singular nicht kannte. — *ἐκκαθαίρει*, sc. *τὴν κεφαλήν* (c. 26 6).

5. *ὁ δέ*: zu I 17 9. II 39 9. — Zur Sache vgl. Liv. XXIII 24 *ibi Postumius omni vi ne caperetur dimicans occubuit. spolia corporis caputque praecisum ducis Boii ovantes templo, quod sanctissimum est*

οὕτω χρᾶται, ἢν δὲ ᾖ πλούσιος, τὴν μὲν ὠμοβοέην πε-
ριτείνει, ἔσωθεν δὲ καταχρυσώσας οὕτω χρᾶται ποτη-
ρίῳ. ποιεῦσι δὲ τοῦτο καὶ ἐκ τῶν οἰκηίων ἤν σφι διά-
φοροι γένωνται καὶ ἢν ἐπικρατήσῃ αὐτοῦ παρὰ τῷ βα-
σιλέι. ξείνων δέ οἱ ἐλθόντων τῶν ἂν λόγον ποιέηται,
τὰς κεφαλὰς ταύτας παραφέρει, καὶ ἐπιλέγει ὥς οἱ
ἐόντες οἰκήιοι πόλεμον προσεθήκαντο καί σφεων αὐτὸς
66 ἐπεκράτησε, ταύτην ἀνδραγαθίην λέγοντες. ἅπαξ δὲ τοῦ
ἐνιαυτοῦ ἑκάστου ὁ νομάρχης ἕκαστος ἐν τῷ ἑωυτοῦ νο-
μῷ κιρνᾷ κρητῆρα οἴνου, ἀπ' οὗ πίνουσι τῶν Σκυθέων
τοῖσι ἄνδρες πολέμιοι ἀραιρημένοι ἔωσι· τοῖσι δ' ἂν
μὴ κατεργασμένον ᾖ τοῦτο, οὐ γεύονται τοῦ οἴνου τού-
του, ἀλλ' ἠτιμωμένοι ἀποκατέαται· ὄνειδός δέ σφι ἐστὶ
μέγιστον τοῦτο. ὅσοι δὲ ἂν αὐτῶν καὶ κάρτα πολλοὺς
ἄνδρας ἀραιρηκότες ἔωσι, οὗτοι δὲ σύνδυο κύλικας ἔχον-
τες πίνουσι ὁμοῦ.

67 Μάντιες δὲ Σκυθέων εἰσὶ πολλοί, οἳ μαντεύονται
ῥάβδοισι ἰτείνῃσι πολλῇσι ὧδε. ἐπεὰν φακέλους ῥάβδων
μεγάλους ἐνείκωνται, θέντες χαμαὶ διεξειλίσσουσι αὐτούς,
καὶ ἐπὶ μίαν ἑκάστην ῥάβδον τιθέντες θεσπίζουσι, ἅμα

apud eos, intulere. purgato inde capite, ut mos iis est, calvam auro caelavere idque sacrum vas iis erat, quo sollemnibus libarent poculumque idem sacerdoti esset ac templi antistitibus.

8 f. = ποιεῦσι δὲ τοῦτο καὶ τούτους οἳ ἄν σφι ἐκ τῶν οἰκηίων διάφοροι γένωνται. — ἐπικρατήσῃ, der Kläger; αὐτοῦ, des Angeklagten. ἐπικρατέειν, *superare*, bezieht sich zunächst nur auf die richterliche Entscheidung.

12. προσεθήκαντο = προσήνεικαν, *intulerunt*. VII 229 μῆνιν οὐδεμίαν προσθέσθαι.

13. Der Plural λέγοντες, weil die vorhergehenden Singulare collectivische Bedeutung haben.

66. 4. τοῖσι – ἔωσι, ohne ἄν; zu c. 46 12. — ἀραιρημένοι 'erlegt' (II 13 20).

6. ἀποκατέαται: vgl. zu III 83 13.

8 f. σύνδυο κύλικας, *singuli bina pocula*. — ὁμοῦ, aus beiden auf einmal, während den Anderen je nur ein Becher gereicht wird.

67. 3. διεξειλίσσουσι, *explicant, discernunt*.

4. ἐπὶ μίαν ἑκάστην 'je eine hinter die andere', so daſs jede Ruthe gleichsam ein Glied in der Reihe bildete. Der Ausdruck ist der militärischen Taktik entlehnt; VI 111 τὸ μὲν αὐτοῦ (des Heeres) μέσον ἐγίνετο ἐπὶ τάξις ὀλίγας (ähnlich IX 31 6), VII 188 ὡρμέοντο ἐς πόντον καὶ ἐπὶ ὀκτὼ νέας 'acht Schiffe hoch'. Sonst ist für diese Bedeutung ἐπί c. *genit.* ge-

*τε λέγοντες ταῦτα συνειλέουσι τὰς ῥάβδους ὀπίσω καὶ
αὖτις κατὰ μίαν συντιθεῖσι. αὕτη μέν σφι ἡ μαντικὴ
πάτρωίη ἐστί, οἱ δὲ Ἐνάρεες οἱ ἀνδρόγυνοι τὴν Ἀφροδίτην
σφίσι λέγουσι μαντικὴν δοῦναι· φιλύρης ὦν φλοιῷ μαν-
τεύονται. ἐπεὰν τὴν φιλύρην τρίχα σχίσῃ, διαπλέκων ἐν
τοῖσι δακτύλοισι τοῖσι ἑωυτοῦ καὶ διαλύων χρᾷ. ἐπεὰν δὲ* 68
*βασιλεὺς ὁ Σκυθέων κάμῃ, μεταπέμπεται τῶν μαντίων
ἄνδρας τρεῖς τοὺς εὐδοκιμέοντας μάλιστα, οἳ τρόπῳ τῷ
εἰρημένῳ μαντεύονται· καὶ λέγουσι οὗτοι ὡς τὸ ἐπίπαν
μάλιστα τάδε, ὡς τὰς βασιληίας ἱστίας ἐπιώρκηκε ὃς
καὶ ὅς, λέγοντες τῶν ἀστῶν τὸν ἂν δὴ λέγωσι. τὰς δὲ
βασιληίας ἱστίας νόμος Σκύθῃσι τὰ μάλιστά ἐστι ὀμνύ-
ναι τότε ἐπεὰν τὸν μέγιστον ὅρκον ἐθέλωσι ὀμνύναι.
αὐτίκα δὲ διαλελαμμένος ἄγεται οὗτος τὸν ἂν δὴ φῶσι*

wöhnlich. — *θεσπίζουσι* 'sagen Zaubersprüche her'. Ammianus Marc. XXXI 2 24 von den Alanen: *futura miro praesagiunt modo. nam rectiores virgas vimineas colligentes easque cum incantamentis quibusdam secretis praestituto tempore discernentes, aperte quid portendatur norunt.* Tacit. Germ. 10 von den Germanen *auspicia sortesque ut qui maxime observant. sortium consuetudo simplex. virgam frugiferae arboris decisam in surculos amputant, eosque notis quibusdam discretos super candidam vestem temere ac fortuito spargunt. mox si publice consulitur, sacerdos civitatis, sin privatim, ipse pater familiae precatus deos caelumque suspiciens ter singulos tollit, sublatos secundum impressam ante notam interpretatur.*

5. *ταῦτα*, sc. *τὰ θεσπίσματα.* — *συνειλέουσι – ὀπίσω*, wie II 86 *συρράπτουσι ὀπίσω.*

6. *κατὰ μίαν συντιθεῖσι*, variirt für *ἐπὶ μίαν τιθεῖσι* (4); sie legen die Ruthen so nebeneinander, dafs jede in der Reihe für sich zu liegen kommt.

7. *οἱ Ἐνάρεες*: s. I 105. — *τὴν Ἀφροδίτην*, als die Urheberin ihres krankhaften Zustandes. Sie betrachten sich als *θεόληπτοι.*

8. *φιλύρης*, als eines der Aphrodite heiligen Baumes.

9. *σχίσῃ* wie oben c. 65 4. — *διαπλέκων*, die Streifen.

68. 2. *βασιλεὺς ὁ Σκυθέων*, ungenau, da es je drei Skythenkönige gab (c. 7. 120); ebenso c. 71 3. 81 16.

4. *ὡς τὸ ἐπίπαν* 'in der Regel' (VII 50 13. 157 23. VIII 60γ 7). Auch *ὡς ἐπίπαν* (II 68 23), *τὸ ἐπίπαν* (VI 46 11).

5f. *τὰς βασιληίας ἱστίας*: zu c. 59 3; der Plural, weil der König mehr als ein Weib, also auch mehr als ein Hauswesen haben mochte (c. 78). — *ὃς καὶ ὅς* 'der und der', *ille et ille*: im Nominativ wohl nur an dieser Stelle.

7. Verb. *τὰ μάλιστα ὀμνύναι* 'auf das feierlichste zu schwören'. S. zu V 63 9.

9. *διαλελαμμένος* 'von beiden Seiten gefasst' (I 114 13), so dafs er nicht entweichen kann.

ἐπιορκῆσαι, ἀπιγμένον δὲ ἐλέγχουσι οἱ μάντιες ὡς ἐπιορκήσας φαίνεται ἐν τῇ μαντικῇ τὰς βασιληίας ἱστίας καὶ διὰ ταῦτα ἀλγέει ὁ βασιλεύς· ὁ δὲ ἀρνέεται, οὐ φάμενος ἐπιορκῆσαι, καὶ δεινολογέεται. ἀρνεομένου δὲ τούτου ὁ βασιλεὺς μεταπέμπεται ἄλλους διπλησίους μάντιας· καὶ ἢν μὲν καὶ οὗτοι ἐσορέοντες ἐς τὴν μαντικὴν καταδήσωσι ἐπιορκῆσαι, τοῦ δὲ ἰθέως τὴν κεφαλὴν ἀποτάμνουσι, καὶ τὰ χρήματα αὐτοῦ διαλαγχάνουσι οἱ πρῶτοι τῶν μαντίων· ἢν δὲ οἱ ἐπελθόντες μάντιες ἀπολύσωσι, ἄλλοι πάρεισι μάντιες καὶ μάλα ἄλλοι. ἢν ὦν οἱ πλεῦνες τὸν ἄνθρωπον ἀπολύσωσι, δέδοκται τοῖσι

69 πρώτοισι τῶν μαντίων αὐτοῖσι ἀπόλλυσθαι. ἀπολλῦσι δῆτα αὐτοὺς τρόπῳ τοιῷδε· ἐπεὰν ἅμαξαν φρυγάνων πλήσωσι καὶ ὑποζεύξωσι βοῦς, ἐμποδίσαντες τοὺς μάντιας καὶ χεῖρας ὀπίσω δήσαντες καὶ στομώσαντες κατεργνῦσι ἐς μέσα τὰ φρύγανα, ὑποπρήσαντες δὲ αὐτὰ ἀπιεῖσι φοβήσαντες τοὺς βοῦς. πολλοὶ μὲν δὴ συγκατακαίονται τοῖσι μάντισι βόες, πολλοὶ δὲ περικεκαυμένοι ἀποφεύγουσι, ἐπεὰν αὐτῶν ὁ ῥυμὸς κατακαυθῇ. κατακαίουσι δὲ τρόπῳ τῷ εἰρημένῳ καὶ δι' ἄλλας αἰτίας τοὺς μάντιας, ψευδομάντιας καλέοντες. τοὺς δ' ἂν ἀποκτείνῃ βασιλεύς, τούτων οὐδὲ τοὺς παῖδας λείπει, ἀλλὰ πάντα τὰ ἔρσενα κτείνει, τὰ δὲ θήλεα οὐκ ἀδικέει.

70 Ὅρκια δὲ ποιεῦνται Σκύθαι ὧδε πρὸς τοὺς ἂν ποι-

10. ἐλέγχουσι 'werfen ihm vor'.

11. μαντική, hier und 15 concret zu fassen, die angestellte Befragung der Götter.

12. ἀλγέει ὁ βασιλεύς: die ἱστίαι lassen ihren Unwillen nur am Hausherrn aus, weil ihre Macht nicht über den Kreis des Hauswesens hinausreicht.

13. δεινολογέεται 'verführt heftige Reden' (I 44 2).

16. καταδήσωσι 'für schuldig erklären' (II 174 13). — τοῦ δέ: zu II 39 9.

18. οἱ πρῶτοι, die zuerst befragten.

19. μάλα 'wiederum' (I 134 16).

20. δέδοκται, constitutum est, constat (vgl. V 96 12. VI 109 15. IX 60 8); dabei der Dativ in Analogie zu dem hier synonymen κέεται (ἐπικέεται, II 38 13).

69. 3. ἐμποδίσαντες: vgl. c. 60 3.

8. αὐτῶν ὁ ῥυμός, dessen Ende an dem die Thiere zusammenhaltenden Joche befestigt war.

ἕωνται. ἐς κύλικα μεγάλην κεραμίνην οἶνον ἐγχέαντες αἷμα συμμίσγουσι τῶν τὰ ὅρκια ταμνομένων, τύψαντες ὑπέατι ἢ ἐπιταμόντες μαχαίρῃ σμικρὸν τοῦ σώματος, καὶ ἔπειτα ἀποβάψαντες ἐς τὴν κύλικα ἀκινάκην καὶ ὀιστοὺς καὶ σάγαριν καὶ ἀκόντιον· ἐπεὰν δὲ ταῦτα ποιήσωσι, κατεύχονται πολλὰ καὶ ἔπειτα ἀποπίνουσι αὐτοί τε οἱ τὸ ὅρκιον ποιεύμενοι καὶ τῶν ἑπομένων οἱ πλείστου ἄξιοι.

Ταφαὶ δὲ τῶν βασιλέων ἐν Γέρροισί εἰσι [ἐς ὃ ὁ Βορυσθένης ἐστὶ προσπλωτός]· ἐνθαῦτα, ἐπεάν σφι ἀποθάνῃ ὁ βασιλεύς, ὄρυγμα γῆς μέγα ὀρύσσουσι τετράγωνον, ἑτοῖμον δὲ τοῦτο ποιήσαντες ἀναλαμβάνουσι τὸν νεκρόν, κατακεκηρωμένον μὲν τὸ σῶμα, τὴν δὲ νηδὺν ἀνασχισθεῖσαν καὶ καθαρθεῖσαν, πλέην κυπέρου κεκομμένου καὶ θυμιήματος καὶ σελίνου σπέρματος καὶ ἀννή- 71

70. 4. *ὑπέατι* (die Handschriften *ὑπέατι*) scheint eine aeolische Nebenform zu dem attischen *ὀπέατι* zu sein. *ὄπεαρ*, auch *ὀπήτιον* (von *ὀπή*, *foramen*), 'Nadel, Pfriem'. Pollux X 141 zählt es zu den Schusterwerkzeugen. — Zur Sache vgl. I 74. III 8.

7. *κατεύχονται* bezieht sich sowohl auf die Schwurformeln überhaupt als insbesondere auf die damit verbundenen Flüche gegen den Eidbrüchigen.

71. *ἐν Γέρροισι*: Steph. Byz. s. v. *Γέρρος, τόπος καὶ ποταμὸς προσεχὴς τῷ Βορυσθένει. ὁ πολίτης Γέρριος.* Vgl. zu c. 53 15. Ob sie in der That ein besonderer Volksstamm dieses Namens waren (vgl. unten 17), ist sehr fraglich; s. zu c. 56 1. — Der Satz *ἐς ὃ* – *προσπλωτός* kann nicht von H. herrühren, der nirgends der Stromschnellen des Borysthenes oder anderer natürlichen Hindernisse, — auf solche allein ist aber *προσπλωτός* beziehbar —, gedenkt, und, hätte er sie gekannt, ihre Erwähnung c. 53 gewifs nicht versäumt haben würde. Die Notiz steht auch mit c. 53 15 in Widerspruch, denn die Schiffahrt ist höchstens 13–14 Tagefahrten aufwärts möglich (vgl. zu c. 53 20). Sie stammt aus derselben Quelle mit Skymnos Ch. 844 *ῥεῖν δ' αὐτὸν* (sc. *Βορυσθένην*) *ἐπὶ μὲν ἡμερῶν λέγουσι πλοῦν Ὡς τετταράκοντα πλωτόν, εἰς δὲ τοὺς ἄνω Τόπους ἄπλωτός ἐστι κοὐ περάσιμος· Ὑπὸ χιόνος γὰρ καὶ πάγων ἐξείργεται*, und Mela II 6 *longe venit ignotisque ortus e fontibus quadraginta dierum iter alveo stringit tantoque spatio navigabilis.*

2. *σφι*, sc. *τοῖσι βασιληίοισι Σκύθῃσι*; vgl. 10 und zu c. 59 2.

3. *ὁ βασιλεύς*: zu c. 68 2.

5. *κατακεκηρωμένον*, entsprechend (*τὴν δὲ νηδὺν*) *συνερραμένην*. Ueber die freie Apposition statt des absoluten Genitivs zu I 52 4.

6. *ἀνασχισθεῖσαν* . . 'nachdem sie zuvor aufgeschnitten und gereinigt worden'.

σου, συνεῤῥαμμένην ὀπίσω, καὶ κομίζουσι ἐν ἁμάξῃ ἐς ἄλλο ἔθνος. οἳ δὲ ἂν παραδέξωνται κομισθέντα τὸν νεκρόν, ποιεῦσι τά περ οἱ βασιλήιοι Σκύθαι· τοῦ ὠτὸς ἀποτάμνονται, τρίχας περικείρονται, βραχίονας περιτάμνονται, μέτωπον καὶ ῥῖνα καταμύσσονται, διὰ τῆς ἀριστερῆς χειρὸς ὀιστοὺς διαβυνέονται. ἐνθεῦτεν δὲ κομίζουσι ἐν τῇ ἁμάξῃ τοῦ βασιλέος τὸν νέκυν ἐς ἄλλο ἔθνος τῶν ἄρχουσι· οἱ δέ σφι ἕπονται ἐς τοὺς πρότερον ἦλθον. ἐπεὰν δὲ πάντας περιέλθωσι τὸν νέκυν κομίζοντες, ἔν τε Γέῤῥοισι ἔσχατα κατοικημένοισί εἰσι τῶν ἐθνέων τῶν ἄρχουσι καὶ ἐν τῇσι ταφῇσι. καὶ ἔπειτα, ἐπεὰν θέωσι τὸν νέκυν ἐν τῇσι θήκῃσι ἐπὶ στιβάδος, παραπήξαντες αἰχμὰς ἔνθεν καὶ ἔνθεν τοῦ νεκροῦ ξύλα ὑπερτείνουσι καὶ ἔπειτα ῥιψὶ καταστεγάζουσι, ἐν δὲ τῇ λοιπῇ εὐρυχωρίῃ τῆς θήκης τῶν παλλακέων τε μίαν ἀποπνίξαντες θάπτουσι καὶ τὸν οἰνοχόον καὶ μάγειρον καὶ ἱπποκόμον καὶ διήκονον καὶ ἀγγεληφόρον καὶ ἵππους καὶ τῶν ἄλλων ἁπάντων ἀπαρχὰς καὶ φιάλας χρυσέας· ἀργύρῳ δὲ οὐδὲν οὐδὲ χαλκῷ χρέονται. ταῦτα δὲ ποιήσαντες χοῦσι πάντες χῶμα μέγα, ἁμιλλώμενοι καὶ προθυμεόμενοι ὡς μέγιστον ποιῆσαι.
72 ἐνιαυτοῦ δὲ περιφερομένου αὖτις

10. *οἱ βασιλήιοι Σκύθαι*, welche eben den Leichnam in ihr Gebiet bringen. Ueber das Epithetnn zu c. 20 4. — *τοῦ ὠτός*, ein Stück vom Ohr.

15. *τῶν ἄρχουσι*: zu c. 20 4. — *οἱ δὲ – ἦλθον* 'diejenigen aber, zu denen sie vorher gekommen waren, geleiten sie'. Dies gilt nicht blofs von dem Volke, zu dem sie überhaupt zuerst kamen, sondern von allen, deren Gebiet sie durchzogen: jedes Volk gab ihnen das Geleite durch das Gebiet des nächstfolgenden.

17. *ἔσχατα*, räumliches Adverb, 'am fernsten, an der äufsersten Grenze'. Il. λ 8 *τοί ῥ' ἔσχατα νῆας ἐίσας εἴρυσαν.*

19. *ἐν τῇσι θήκῃσι*, variirt für *ἐν τῇσι ταφῇσι.*

22. Gräber der hier beschriebenen Art sind in neuester Zeit bei dem Orte Alexandropol im Gouvernement Jekaterinoslaw aufgefunden worden.

24. *ἀγγεληφόρον*: zu I 114 9.

25. *φιάλας χρυσέας*, als unentbehrliche Stücke skythischen Comforts; s. c. 10. VI 84.

26. Eine ähnliche Nachricht I 215 11 von den Massageten. Hier darf aber nur an die in die Fürstengräber gelegten Geräthe gedacht werden; denn den allgemeinen Gebrauch des Erzes beweist z. B. das c. 81 10ff. beschriebene *χαλκήιον*.

72. *ἐνιαυτοῦ περιφερομένου*, nach dem homerischen *περιπλομέ-*

ποιεῦσι τοιόνδε. λαβόντες τῶν λοιπῶν θεραπόντων τοὺς ἐπιτηδεωτάτους (οἱ δὲ εἰσὶ Σκύθαι ἐγγενέες· οὗτοι γὰρ θεραπεύουσι τοὺς ἂν αὐτὸς ὁ βασιλεὺς κελεύσῃ, ἀργυρώνητοι δὲ οὐκ εἰσί σφι θεράποντες) τούτων ὦν τῶν διηκόνων ἐπεὰν ἀποπνίξωσι πεντήκοντα καὶ ἵππους τοὺς καλλίστους πεντήκοντα, ἐξελόντες αὐτῶν τὴν κοιλίην καὶ καθήραντες ἐμπιπλᾶσι ἀχύρων καὶ συρράπτουσι· ἀψῖδος δὲ ἥμισυ ἐπὶ δύο ξύλα στήσαντες ὕπτιον καὶ τὸ ἕτερον ἥμισυ τῆς ἀψῖδος ἐπ᾽ ἕτερα δύο, καταπήξαντες τρόπῳ τοιούτῳ πολλὰ ταῦτα, ἔπειτα τῶν ἵππων κατὰ μήκεα ξύλα παχέα διελάσαντες μέχρι τῶν τραχήλων ἀναβιβάζουσι αὐτοὺς ἐπὶ τὰς ἀψῖδας· τῶν δὲ αἱ μὲν πρότεραι ἀψῖδες ὑπέχουσι τοὺς ὤμους τῶν ἵππων, αἱ δὲ ὄπισθε παρὰ τοὺς μηροὺς τὰς γαστέρας ὑπολαμβάνουσι· σκέλεα δὲ ἀμφότερα κατακρέμαται μετέωρα. χαλινοὺς δὲ καὶ στόμια ἐμβαλόντες ἐς τοὺς ἵππους κατατείνουσι ἐς τὸ πρόσθε αὐτῶν, καὶ ἔπειτα ἐκ πασσάλων δέουσι. τῶν δὲ δὴ νεηνίσκων τῶν ἀποπεπνιγμένων τῶν πεντήκοντα ἕνα ἕκαστον ἀναβιβάζουσι ἐπὶ τὸν ἵππον, ὧδε ἀναβιβάζοντες, ἐπεὰν νεκροῦ ἑκάστου παρὰ τὴν ἄκανθαν ξύλον ὀρθὸν διελάσωσι μέ-

νου ἐνιαυτοῦ. Vgl. II 4 10. 121 α 11. IV 155 3.

3. *ἐπιτηδεωτάτους*, sc. *τῷ ἀποθανόντι βασιλέι*; vgl. III 52 12.

7. *ἐξελόντες* 'ausleerend' (II 86 16).

9f. *ἄψις· οὕτως ἐκάλουν τὸν ξύλινον κύκλον τοῦ τροχοῦ.* Bekk. Anecd. p. 475. Man befestigte die Hälfte einer Radfelge dermafsen auf zwei Pfählen, dafs sie zwischen diesen nach unten hing (*ὕπτιον*), und in solcher Höhe, dafs ein darauf ruhendes Pferd mit den Beinen die Erde nicht berührte (16).

12. *μήκεα*: vgl. zu III 102 8. — *διελάσαντες* verbunden mit *τῶν ἵππων*; ähnlich 22.

16. *ἀμφότερα*, die Vorder- und Hinterbeine.

17f. *ἐμβαλόντες ἐς τοὺς ἵππους*, ungewöhnlich für *τοῖσι ἵπποισι*. Vielleicht ein fremdes Einschiebsel. — *κατατείνουσι*: sie legen nicht wie sonst den Zügel über den Nakken, sondern ziehen ihn nach vorn und befestigen ihn an Pflöcken, um dem Gerüste auch hier einen Halt zu gehen.

21. *ὧδε ἀναβιβάζοντες* 'und zwar so' (I 67 5). Die Erklärung enthält das unmittelbar angeschlossene Satzglied *ἐπεὰν* .. 'nachdem sie nämlich ..' Häufiger ist in diesem Falle bei H. ein participialer Satztheil, s. zu V 16 13. Die Erklärung bezieht sich jedoch nicht auf das Hinaufheben, sondern nur auf die Art der Befestigung.

22. *ἄκανθαν*: zu II 75 4.

χρι τοῦ τραχήλου· κάτωθεν δὲ ὑπερέχει τοῦ ξύλου τούτου τὸ ἐς τόρμον πηγνύουσι τοῦ ἑτέρου ξύλου τοῦ διὰ τοῦ ἵππου. ἐπιστήσαντες δὲ κύκλῳ τὸ σῆμα ἱππέας

73 *τοιούτους ἀπελαύνουσι. οὕτω μὲν τοὺς βασιλέας θάπτουσι· τοὺς δὲ ἄλλους Σκύθας, ἐπεὰν ἀποθάνωσι, περιάγουσι οἱ ἀγχοτάτω προσήκοντες κατὰ τοὺς φίλους ἐν ἁμάξῃσι κειμένους, τῶν δὲ ἕκαστος ὑποδεκόμενος εὐωχέει τοὺς ἑπομένους, καὶ τῷ νεκρῷ ἁπάντων παραπλησίως παρατιθεῖ ὅσα τοῖσι ἄλλοισι. ἡμέρας δὲ τεσσεράκοντα οὕτω οἱ ἰδιῶται περιάγονται, ἔπειτα θάπτονται. θάψαντες δὲ οἱ Σκύθαι καθαίρονται τρόπῳ τοιῷδε. σμησάμενοι τὰς κεφαλὰς καὶ ἐκπλυνάμενοι ποιεῦσι περὶ τὸ σῶμα τάδε. ἐπεὰν ξύλα στήσωσι τρία ἐς ἄλληλα κεκλιμένα, περὶ ταῦτα πίλους εἰρινέους περιτείνουσι, συμφράξαντες δὲ ὡς μάλιστα λίθους ἐκ πυρὸς διαφανέας ἐσβάλλουσι ἐς σκάφην κειμένην ἐν μέσῳ τῶν ξύλων τε καὶ τῶν πίλων.*

74 *ἔστι δέ σφι κάνναβις φυομένη ἐν τῇ χώρῃ πλὴν παχύτητος καὶ μεγάθεος τῷ λίνῳ ἐμφερεστάτη· ταύτῃ δὲ*

23f. *τοῦ ξύλου τούτου, genit. part.*, ergänze *μέρος τι*; darauf bezieht sich *τὸ πηγνύουσι*. — *τόρμος* = *τρῆμα*, 'Bohrloch'. Die ganze Stelle scheint übrigens nicht frei von Verderbnifs.

25. *ἐπιστήσαντες*: man sollte *περιστήσαντες* erwarten (mit doppeltem Accusativ, vgl. c. 180 13). — Auch die Mongolen pflegten an dem Grabe eines Vornehmen unter anderem das Fell eines Pferdes mit Spreu auszustopfen und es über zwei oder vier Holzstäben aufrecht hinzustellen. 'Die Sitte wurzelte in dem Glauben, dafs der Verstorbene die geopferten Menschen und Thiere zu seinem Dienste benutzen könne; sie wurden defshalb durch künstliche Mittel in der Stellung des Lebens am Grabhügel aufgerichtet, um zu sofortigem Gebrauche bereit zu sein'. *Neum.* I 239.

73. 3. *κατά*: zu c. 2 9.

5. Vgl. III 24 12.

7. *θάπτονται*, gewifs in ähnlicher Weise wie die Fürsten, aber mit verhältnifsmäfsig geringerem Aufwande.

8f. *σμησάμενοι – ἐκπλυνάμενοι* 'nachdem sie sich den Kopf gesalbt und wieder abgewaschen haben'. *σμᾶσθαι* geht hier wahrscheinlich auf ein Haarreinigungsmittel; vgl. auch IX 110 10. — *περὶ τὸ σῶμα*, Gegensatz zu den bereits gereinigten Haaren. — Die folgende Beschreibung des skythischen Dampfbades knüpft H. wohl nur der passenden Gelegenheit wegen zunächst an die Opferceremonien; ohne Zweifel war es auch im gewöhnlichen Leben gebräuchlich.

12. *ἐκ πυρός*: dafür c. 75 4 *τῷ πυρί*.

74. 2f. Der Hanf soll in Südrufsland, wo er einen bedeutenden

πολλῷ ὑπερφέρει ἡ κάνναβις. αὕτη καὶ αὐτομάτη καὶ
σπειρομένη φύεται, καὶ ἐξ αὐτῆς Θρήικες μὲν καὶ εἵ-
ματα ποιεῦνται τοῖσι λινέοισι ὁμοιότατα· οὐδ᾽ ἄν, ὅστις
μὴ κάρτα τρίβων εἴη αὐτῆς, διαγνοίη λίνου ἢ καννά-
βιός ἐστι· ὃς δὲ μὴ εἶδέ κω τὴν καννάβιδα, λίνεον δο-
κήσει εἶναι τὸ εἷμα. ταύτης ὦν οἱ Σκύθαι τῆς καννάβιος 75
τὸ σπέρμα ἐπεὰν λάβωσι, ὑποδύνουσι ὑπὸ τοὺς πίλους
καὶ ἔπειτα ἐπιβάλλουσι τὸ σπέρμα ἐπὶ τοὺς διαφανέας
λίθους τῷ πυρί· τὸ δὲ θυμιᾶται ἐπιβαλλόμενον καὶ
ἀτμίδα παρέχεται τοσαύτην, ὥστε Ἑλληνικὴ οὐδεμία ἄν
μιν πυρίη ἀποκρατήσειε. οἱ δὲ Σκύθαι ἀγάμενοι τῇ πυ-
ρίῃ ὠρύονται. τοῦτό σφι ἀντὶ λουτροῦ ἐστι· οὐ γὰρ δὴ
λούονται ὕδατι τὸ παράπαν τὸ σῶμα. αἱ δὲ γυναῖκες αὐ-
τῶν ὕδωρ παραχέουσαι κατασώχουσι περὶ λίθον τρη-
χὺν τῆς κυπαρίσσου καὶ κέδρου καὶ λιβάνου ξύλον, καὶ
ἔπειτα τὸ κατασωχόμενον τοῦτο παχὺ ἐὸν καταπλάσ-
σονται πᾶν τὸ σῶμα καὶ τὸ πρόσωπον· καὶ ἅμα μὲν
εὐωδίη σφέας ἀπὸ τούτου ἴσχει, ἅμα δὲ ἀπαιρέουσαι
τῇ δευτέρῃ ἡμέρῃ τὴν καταπλαστὺν γίνονται καθαραὶ
καὶ λαμπραί.
Ξεινικοῖσι δὲ νομαίοισι καὶ οὗτοι αἰνῶς χρᾶσθαι 76

Exportartikel bildet, eine Höhe von 20 Fufs erreichen.

4. *Θρήικες μέν*: den nur gedachten, nicht ausgedrückten Gegensatz bilden die Skythen, die den Hanf zu Stricken (c. 60 5) u. dgl. oder auch zum Verbrennen benutzten.

6. *τρίβων, tritus, callidus.* — Vor *λίνου* ist nach homerischer Weise die Fragepartikel (*πότερον, εἰ*) weggelassen. Od. δ 109 *οὐδέ τι ἴδμεν Ζώει ὅ γ᾽ ἢ τέθνηκεν.*

7. *κάνναβις* bezeichnet die Pflanze, *κανναβίς* das daraus gefertigte Gewebe.

75. 6 f. *ἀγάμενοι τῇ πυρίῃ, delectati tepidario*, mit seltener Construction; sonst *ἄγασθαι* 'bewundern' mit dem Genitiv der Person und Accusativ der Sache. — *ὠρύονται*, vor Lust. Die berauschende Wirkung des Dampfes trug wohl dazu bei; vgl. I 202 7 ff. Same und Kraut des Hanfes soll berauschende Kraft haben.

9. *σώχουσι = τρίβουσι.* Schol.

10. 'Cypressen wachsen allerdings in den warmen Thälern der taurischen Südküste; aber eigentliche Cedern oder gar Weihrauchbäume kommen hier durchaus nicht vor'. *Neum.* I 295.

11. *καταπλάσσονται* mit doppeltem Accusativ, wie bei *φοινίζειν* I 129 5. Anders II 70 9. 85 4.

13. *εὐωδίη — ἴσχει*: vgl. I 61 10.

76. *καὶ οὗτοι*, wie andere Völker, zumeist die Aegyptier (II 91 1).

φεύγουσι, μήτε τεῶν ἄλλων, Ἑλληνικοῖσι δὲ καὶ ἥκιστα, ὡς διέδεξαν Ἀνάχαρσίς τε καὶ δεύτερα αὖτις Σκύλης. τοῦτο μὲν γὰρ Ἀνάχαρσις ἐπείτε γῆν πολλὴν θεωρήσας καὶ ἀποδεξάμενος κατ' αὐτὴν σοφίην πολλὴν ἐκομίζετο ἐς ἤθεα τὰ Σκυθέων, πλέων δι' Ἑλλησπόντου προσίσχει ἐς Κύζικον· καὶ εὗρε γὰρ τῇ μητρὶ τῶν θεῶν ἀνάγοντας τοὺς Κυζικηνοὺς ὁρτὴν μεγαλοπρεπέως κάρτα, εὔξατο τῇ μητρὶ ὁ Ἀνάχαρσις, ἢν σῶς καὶ ὑγιὴς ἀπονοστήσῃ ἐς ἑωυτοῦ, θύσειν τε κατὰ ταὐτὰ κατὰ ὥρα τοὺς Κυζικηνοὺς ποιεῦντας καὶ παννυχίδα στήσειν. ὡς δὲ ἀπίκετο ἐς τὴν Σκυθικήν, καταδὺς ἐς τὴν καλεομένην Ὑλαίην (ἡ δ' ἐστὶ μὲν παρὰ

2. *μήτε*, wegen der in *φεύγουσι* enthaltenen Negation, = *οὐκ ἐθέλουσι, φυλάσσονται.* Vgl. II 91 *Ἑλληνικοῖσι δὲ νομαίοισι φεύγουσι χρᾶσθαι, τὸ δὲ σύμπαν εἰπεῖν, μηδ' ἄλλων μηδαμὰ μηδαμῶν ἀνθρώπων νομαίοισι.* Dem *μήτε* entspricht im zweiten Gliede nicht *τε*, sondern, des steigernden *καὶ ἥκιστα* ('am allerwenigsten') wegen, *δὲ καί*, gerade wie VIII 142 *οὔτε γε ἄλλοισι Ἑλλήνων οὐδαμοῖσι, ὑμῖν δὲ δὴ καὶ διὰ πάντων ἥκιστα.* S. auch zu I 108 20. III 38 10. V 69 9.

3. *διέδεξαν*, in ihren Schicksalen, welche sie sich durch ihre Vorliebe für hellenische Sitten und Culte zuzogen. — *δεύτερα αὖτις*, noch VII 141 5, homerisch; Il. α 513 *εἴρετο δεύτερον αὖτις.* Vgl. zu III 36 29.

4f. *τοῦτο μέν* wird c. 78 1 in *οὗτος μέν νυν* erneuert und erhält dann in *πολλοῖσι δὲ κάρτα ἔτεσι ὕστερον* seine Entsprechung. Aehnlich VII 22 1. IX 26 4. — Anacharsis galt als Zeitgenosse und Freund des Solon und soll um die 40. Ol. nach Athen gekommen sein. — *γῆν πολλὴν θεωρήσας*: ähnlich von Solon I 30 12. — *σοφίην πολλήν*, die sich in treffenden auf Leben und Sitte bezüglichen Apophthegmen und Gnomen äufserte. Eine Sammlung davon hat Diogenes L. I 103ff. Er ward deshalb von Einigen zu den 'sieben Weisen' gezählt. Die ihm zugeschriebenen Erfindungen (*ζώπυρα, ἀμφίβολος ἄγκυρα, κεραμινὸς τροχός*) weist schon Strabon 303 als ohne Grund an seinen Namen geknüpft zurück.

6ff. *ἤθεα*: zu II 142 15. — *Ἑλλησπόντου*: zu c. 38 6. — *γάρ* 'da' (I 8 4). — *τῇ μητρὶ τῶν θεῶν*: Kyzikos war eine uralte berühmte Stätte dieses Cultes, dessen erste Ansiedlung Sagendichter auf die Argonauten zurückführten. Die Göttin, nach Wesen und Verehrung der lydisch-phrygischen *Κυβέλη* oder *Κυβήβη* (zu V 102 2) gleich, hiefs dort auch *μήτηρ Ἰδαία* oder *Δινδυμήνη* von dem im Norden der Stadt liegenden Berggipfel *Δίνδυμον*, auf dem ihr Tempel stand (Strab. 45. 575, vgl. zu I 80 4), oder, nach einem andern Berge *Λόβρινον*, auch *Λοβρίνη* (Schol. Nicand. Alex. 8).

11. *κατὰ ταὐτὰ κατά* = *ὡσαύτως ὡς.* — *ποιεῦντας* = *ἔρδοντας, θύοντας.*

13f. *Ὑλαίην*: zu c. 18 3. — *Ἀχιλλήιον δρόμον*: zu c. 55 4.

τὸν Ἀχιλλήιον δρόμον, τυγχάνει δὲ πᾶσα ἐοῦσα δενδρέων παντοίων πλέη) ἐς ταύτην δὴ καταδὺς ὁ Ἀνάχαρσις τὴν ὁρτὴν πᾶσαν ἐπετέλεε τῇ θεῷ τύμπανόν τε ἔχων καὶ ἐκδησάμενος ἀγάλματα. καὶ τῶν τις Σκυθέων καταφρασθεὶς αὐτὸν ταῦτα ποιεῦντα ἐσήμηνε τῷ βασιλέϊ Σαυλίῳ· ὁ δὲ καὶ αὐτὸς ἀπικόμενος ὡς εἶδε τὸν Ἀνάχαρσιν ποιεῦντα ταῦτα, τοξεύσας αὐτὸν ἀπέκτεινε. καὶ νῦν ἤν τις εἴρηται περὶ Ἀναχάρσιος, οὔ φασί μιν Σκύθαι γινώσκειν, διὰ τοῦτο ὅτι ἐξεδήμησέ τε ἐς τὴν Ἑλλάδα καὶ ξεινικοῖσι ἔθεσι διεχρήσατο. ὡς δ' ἐγὼ ἤκουσα Τύμνεω τοῦ Ἀριαπείθεος ἐπιτρόπου, εἶναι αὐτὸν Ἰδανθύρσου τοῦ Σκυθέων βασιλέος πάτρων, παῖδα δὲ εἶναι Γνούρου τοῦ Λύκου τοῦ Σπαργαπείθεος. εἰ ὦν ταύτης ἦν τῆς οἰκίης ὁ Ἀνάχαρσις, ἴστω ὑπὸ τοῦ ἀδελ-

16f. *πᾶσαν*, nach ihrem ganzen in Kyzikos üblichen Umfange. — *τύμπανον*: rauschende betäubende Musik gehörte zu dem orgiastischen Wesen des Festes. Pindar. Fr. 48 *σοὶ μὲν κατάρχειν, Μᾶτερ μεγάλα, πάρα ῥόμβοι κυμβάλων, ἐν δὲ κεχλάδειν κρόταλ', αἰθομένα δὲ δᾴς ὑπὸ ξανθαῖσι πεύκαις.* — *ἐκδησάμενος* = *δησάμενος ἐξ ἑωυτοῦ*, 'nachdem er sich angehängt'. *ἀγάλματα* sind wahrscheinlich kleine Bilder der Göttin oder ihres Lieblings des Attis (II 79 4), wie sie ihre Priester (*Γάλλοι*) zu tragen pflegten. Polyb. XXII 20 *παραγίγνονται Γάλλοι παρὰ . . τῶν ἐκ Πεσσινοῦντος ἱερέων τῆς μητρὸς τῶν θεῶν, ἔχοντες προστηθίδια καὶ τύπους.*

24. *Τύμνεω*, wahrscheinlich ein Olbiopolite, der des Königs Ariapeithes Geschäfte in der Stadt besorgte (*ἐπίτροπος, procurator*) und daher nähere Kunde über skythische Verhältnisse besitzen konnte. Für des Königs näheren Verkehr mit der hellenischen Colonie zeugt seine Verheirathung mit einer Milesierin aus Istria (c. 78 5). 'Auf einen "Vormund" des Ariapeithes ist das Wort *ἐπίτροπος* wohl nicht zu deuten, da gewifs der König gemeint ist, Vater des Skyles, dessen unglückliches Ende, um den Anfang des peloponnesischen Krieges, H. erzählt (c. 80). Die Minderjährigkeit des Vaters müfste doch gar viele Jahre zurück gedacht werden'. (*Niebuhr* kl. Schr. I 355). Ebensowenig konnte Tymnes ein Skythe sein, weil eben die Skythen von Anacharsis nichts wissen wollten, und überhaupt ein persönlicher Verkehr H.'s mit einem Skythenfürsten sehr fraglich ist. Niebuhr's Erklärung 'Meier' (*maior domus*) pafst nicht auf skythische Zustände. Der Name *Τύμνης* ist karisch-ionisch (V 37 3. VII 98 8). Statt *Ἀριαπείθεος* bieten übrigens die Hss. der anderen Familie *Σπαργαπείθεος*. — *εἶναι*: zu I 65 20.

25. *Ἰδανθύρσου*, der den Kampf gegen Dareios leitete (c. 120 ff).

27. Bei *ἴστω* wird mit naiver Lebendigkeit der längst Verstorbene wie ein gegenwärtiger Leser oder Zuhörer gedacht. Pausanias hat auch diese Eigenthümlichkeit des H.

φεοῦ ἀποθανών· Ἰδάνθυρσος γὰρ ἦν παῖς Σαυλίου,
77 *Σαύλιος δὲ ἦν ὁ ἀποκτείνας Ἀνάχαρσιν. καίτοι τινὰ*
ἤδη ἤκουσα λόγον ἄλλον ὑπὸ Πελοποννησίων λεγόμενον,
ὡς ὑπὸ τοῦ Σκυθέων βασιλέος Ἀνάχαρσις ἀποπεμφθεὶς
τῆς Ἑλλάδος μαθητὴς γένοιτο, ὀπίσω τε ἀπονοστήσας
φαίη πρὸς τὸν ἀποπέμψαντα Ἕλληνας πάντας ἀσχόλους
εἶναι ἐς πᾶσαν σοφίην πλὴν Λακεδαιμονίων, τούτοισι
δὲ εἶναι μούνοισι σωφρόνως δοῦναί τε καὶ δέξασθαι λό-
γον. ἀλλ' οὗτος μὲν ὁ λόγος ἄλλως πέπλασται ὑπ' αὐ-
τῶν Ἑλλήνων, ὁ δ' ὢν ἀνὴρ ὥσπερ πρότερον εἰρέθη
διεφθάρη.
78 *Οὗτος μέν νυν οὕτω δή τι ἔπρηξε διὰ ξεινικά τε*
νόμαια καὶ Ἑλληνικὰς ὁμιλίας· πολλοῖσι δὲ κάρτα ἔτεσι
ὕστερον Σκύλης ὁ Ἀριαπείθεος ἔπαθε παραπλήσια τού-

nachgeahmt, I 6 8 *εἰ δὲ ὁ Πτολεμαῖος οὗτος ἀληθεῖ λόγῳ Φιλίππου τοῦ Ἀμύντου παῖς ἦν, ἴστω τὸ ἐπιμανὲς ἐς τὰς γυναῖκας κατὰ τὸν πατέρα κεκτημένος.* — Bei Diogenes L. I 101 und Suidas heifst der Bruder und Mörder des Anacharsis *Καδουίδας*. Nach demselben war seine Mutter eine Hellenin, gerade wie die seines Schicksalsgenossen Skyles (c. 78 5).

77. 2. *ἤδη ἤκουσα:* die Partikel ist hier wie in derselben Verbindung VII 35 3. 55 12. IX 84 3 (vgl. II 175 25. IX 95 3) dazu verwendet, um eine von der gegebenen Darstellung abweichende oder über sie hinausgehende Ueberlieferung einzuleiten, 'jedoch habe ich auch noch eine andere Geschichte gehört.' Aehnlich und wahrscheinlich nachahmend Arrian. Anab. VI 28 1 *ἤδη δέ τινες καὶ τοιάδε ἀνέγραψαν*, 27 3 *ἤδη δέ τις οὐκ ἠσχύνθη ἀναγράψαι.*

5f. 'alle Hellenen verwendeten Mühe auf jegliche Weisheit, die Lakedaemonier ausgenommen; mit diesen aber allein liefse sich eine vernünftige Unterhaltung pflegen'. Das Lob betrifft wohl die schlichte gesunde Lebensklugheit und scharfe Beobachtung, die sich in den körnigen, schlagenden und durch bildlichen Ausdruck den Barbaren zumal in hohem Grade anmuthenden Apophthegmen der Lakedaemonier aussprach. Auch die von Anacharsis selber überlieferten Aussprüche und Antworten erinnern an lakonischen Witz und Kürze. Die Lakedaemonier standen aufserdem im Rufe nicht eigener Kunstübung, aber eines tüchtigen Kunsturtheils; Arist. Pol. VIII 5 *οἱ Λάκωνες οὐ μανθάνοντες ὅμως δύνανται ἀκούοντες κρίνειν ὀρθῶς, ὥς φασι, τὰ χρηστὰ καὶ τὰ μὴ χρηστὰ τῶν μελῶν.* Vom Begriff der *σοφίη* (*sollertia*) zu VII 102 5. — *δοῦναί τε καὶ δέξασθαι λόγον*, häufig verbunden, 'Rede und Antwort stehen'.

8. *ἄλλως πέπλασται* 'ist eine grundlose, müfsige Erdichtung'; vgl. zu III 16 32.

9. *δ' ὢν* 'genug, jedenfalls'.

78. *οὕτω δή τι ἔπρηξε* 'diesem erging es so schlimm'. S. zu I 163 11.

τῳ. Ἀριαπείθεϊ γὰρ τῷ Σκυθέων βασιλέι γίνεται μετ' ἄλλων παίδων Σκύλης· ἐξ Ἰστριηνῆς δὲ γυναικὸς οὗτος γίνεται καὶ οὐδαμῶς ἐγχωρίης· τὸν ἡ μήτηρ αὕτη γλῶσσάν τε Ἑλλάδα καὶ γράμματα ἐδίδαξε. μετὰ δὲ χρόνῳ ὕστερον Ἀριαπείθης μὲν τελευτᾷ δόλῳ ὑπὸ Σπαργαπείθεος τοῦ Ἀγαθύρσων βασιλέος, Σκύλης δὲ τήν τε βασιληίην παρέλαβε καὶ τὴν γυναῖκα τοῦ πατρός, τῇ οὔνομα ἦν Ὀποίη· ἦν δὲ αὕτη ἡ Ὀποίη ἀστή, ἐκ τῆς ἦν Ὄρικος Ἀριαπείθεϊ παῖς. βασιλεύων δὲ Σκυθέων ὁ Σκύλης διαίτῃ οὐδαμῶς ἠρέσκετο Σκυθικῇ, ἀλλὰ πολλὸν πρὸς τὰ Ἑλληνικὰ μᾶλλον τετραμμένος ἦν ἀπὸ παιδεύσιος τῆς ἐπεπαίδευτο, ἐποίεέ τε τοιοῦτο· εὖτε ἀγάγοι τὴν στρατιὴν τὴν Σκυθέων ἐς τὸ Βορυσθενεϊτέων ἄστυ (οἱ δὲ Βορυσθενεῖται οὗτοι λέγουσι σφέας αὐτοὺς εἶναι Μιλησίους), ἐς τούτους ὅκως ἔλθοι ὁ Σκύλης, τὴν μὲν στρατιὴν καταλείπεσκε ἐν τῷ προαστείῳ, αὐτὸς δὲ ὅκως ἔλθοι ἐς τὸ τεῖχος καὶ τὰς πύλας ἐγκλῄσειε, τὴν στολὴν ἀποθέμενος τὴν Σκυθικὴν

4. *γίνεται*: vom Praesens zu III 160 12.

5. *Ἰστριηνῆς*, aus der Stadt *Ἰστρίη* in der heutigen Dobrudscha (zu II 33 17).

6. *οὐδαμῶς ἐγχωρίης*, wie Andere (der Logograph Pherekydes? vgl. zu c. 131 3) berichtet haben mögen. Vgl. zu c. 18 12.

10. *τὴν γυναῖκα τοῦ πατρός*: 'Da diese Frau in der von H. erzählten Geschichte durchaus keine Rolle spielt, wäre ihre Erwähnung ganz überflüssig, wenn H. dadurch nicht seiner Schilderung der skythischen Sitten eine ihm auffallende Sonderbarkeit hätte hinzufügen wollen. Die Weiber wurden nämlich von den Skythen als ein völliges Familieneigenthum betrachtet, so daſs die Kinder auf sie wie auf jedes andere Familiengut ein Erbrecht besaſsen'. *Neum.* I 301.

11. *ἀστή* = *ἐγχωρίη* (6), eine Skythin; vgl. III 8 12. Auſserdem hatte Ariapeithes noch eine dritte Frau, die Tochter des thrakischen Königs Teres (c. 80 3).

14. *ἀπό* 'in Folge'.

17. *Βορυσθενεῖται*: zu c. 17 1. — *οὗτοι*, die Bewohner der Stadt zum Unterschiede von den Skythen am Borysthenes (c. 18 5).

19. *στρατιήν*: vgl. zu c. 28 7.

21. Die *στολὴ Σκυθική* kann eine eigenthümliche Nationaltracht wohl nicht gewesen sein, da sie H. auch nichtskythischen Völkern beilegt (den Massageten I 215 1, Orgempaeern c. 23 8, Androphagen c. 106 3). Beinkleider waren ein wesentlicher Bestandtheil; Dio Chrys. p. 439 *παρέζωστο δὲ μάχαιραν μεγάλην τῶν ἱππικῶν καὶ ἀναξυρίδας εἶχε καὶ τὴν ἄλλην στολὴν Σκυθικήν*.

λάβεσκε ἂν Ἑλληνίδα ἐσθῆτα, ἔχων δ' ἂν ταύτην ἠγόραζε οὔτε δορυφόρων ἑπομένων οὔτε ἄλλου οὐδενός (τὰς δὲ πύλας ἐφύλασσον, μή τίς μιν Σκυθέων ἴδοι ἔχοντα ταύτην τὴν στολήν), καὶ τὰ ἄλλα ἐχρᾶτο διαίτῃ Ἑλληνικῇ, καὶ θεοῖσι ἱρὰ ἐποίεε κατὰ νόμους τοὺς Ἑλλήνων. ὅτε δὲ διατρίψειε μῆνα ἢ πλέον τούτου, ἀπαλλάσσετο ἐνδὺς τὴν Σκυθικὴν στολήν. ταῦτα ποιέεσκε πολλάκις, καὶ οἰκία τε ἐδείματο ἐν Βορυσθένεϊ καὶ γυναῖκα ἔγημε

79 ἐς αὐτὰ ἐπιχωρίην. ἐπείτε δὲ ἔδεέ οἱ κακῶς γενέσθαι, ἐγένετο ἀπὸ προφάσιος τοιῆσδε. ἐπεθύμησε Διονύσῳ Βακχείῳ τελεσθῆναι, μέλλοντι δέ οἱ ἐς χεῖρας ἄγεσθαι τὴν τελετὴν ἐγένετο φάσμα μέγιστον. ἦν οἱ ἐν Βορυσθενεϊτέων τῇ πόλι οἰκίης μεγάλης καὶ πολυτελέος περιβολή, τῆς καὶ ὀλίγῳ τι πρότερον τούτων μνήμην εἶχον, τὴν πέριξ λευκοῦ λίθου σφίγγες τε καὶ γρῦπες ἕστασαν· ἐς ταύτην ὁ θεὸς ἐνέσκηψε βέλος. καὶ ἡ μὲν κατεκάη πᾶσα, Σκύλης δὲ οὐδὲν τούτου εἵνεκα ἧσσον ἐπετέλεσε τὴν τελετήν. Σκύθαι δὲ τοῦ βακχεύειν πέρι Ἕλλησι ὀνειδίζουσι· οὐ γάρ φασι οἰκὸς εἶναι θεὸν ἐξευ-

22. *λάβεσκε ἄν*: zu II 174 5. — *ἠγόραζε*, verkehrte mit den Hellenen als wie einer aus ihrer Nation.

29. *ἐν Βορυσθένεϊ*: zu c. 17 1. — *ἔγημε ἐς αὐτά*, nach Analogie von *γυναῖκα ἄγεσθαι ἐς τὰ οἰκία* (I 59 10). Eur. Tr. 474 *ἤμην τύραννος κεἰς τύραννν' ἐγημάμην*. Liv. I 34 *Tanaquil summo loco nata et quae haud facile his, in quibus nata erat, humiliora sineret ea, quo innupsisset*. Vgl. *γαμέειν ἐκ* . . III 84 13. VI 130 10. — *ἐπιχωρίην*, aus der Stadt.

79. *ἔδεε, fato necesse erat* (II 161 7).

2. *πρόφασις* 'Anlafs' (I 29 8. II 161 8).

3. *Βακχεῖος* hiefs der Gott mit Bezug auf das orgiastische, zu wildem Freudentaumel aufregende Wesen seines Cultes. — *τελέεσθαι θεῷ*, in den Geheimdienst (*τελετή*, *ὄργια*) eines Gottes eingeweiht werden. — *ἐς χεῖρας ἄγεσθαι*, *suscipere* (I 126 25).

5. Mit *οἰκίης — περιβολή* soll wohl ein ringsum freiliegender und umschlossener Complex von Gebäuden bezeichnet werden.

7. *σφίγγες*: vgl. zu II 175 5. Die Greife gehören in die Hyperboreer- und Arimaspen-sage (zu c. 13 3), die auch in Olbia heimisch gewesen zu sein scheint. Ob aber die Wahl und Verbindung der beiden symbolischen Thiere zur Verzierung des Palastes in sonstigen localen Culten und Sagen einen Anlafs hatte, bleibt dunkel. Auf dem Helme des Athene-bildes im Parthenon sah man eine Sphinx mit Greifen auf beiden Seiten (Pausan. I 24 5).

8. *ὁ θεός*, sc. *Ζεύς*. — *ἐνέσκηψε*: vgl. zu I 105 14. — *βέλος* poet. = *κεραυνός* (VII 10 ε 4).

11f. *ἐξευρίσκειν* deutet den Un-

ρίσκειν τοῦτον ὅστις μαίνεσθαι ἐνάγει ἀνθρώπους. ἐπεί-
τε δὲ ἐτελέσθη τῷ Βακχείῳ ὁ Σκύλης, διερπήστευσε
τῶν τις Βορυσθενεϊτέων πρὸς τοὺς Σκύθας λέγων „ἡμῖν
γὰρ καταγελᾶτε, ὦ Σκύθαι, ὅτι βακχεύομεν καὶ ἡμέας
ὁ θεὸς λαμβάνει· νῦν οὗτος ὁ δαίμων καὶ τὸν ὑμέ-
τερον βασιλέα λελάβηκε, καὶ βακχεύει τε καὶ ὑπὸ τοῦ
θεοῦ μαίνεται. εἰ δέ μοι ἀπιστέετε, ἕπεσθε, καὶ ὑμῖν
ἐγὼ δέξω.“ εἵποντο τῶν Σκυθέων οἱ προεστεῶτες, καὶ
αὐτοὺς ἀναγαγὼν ὁ Βορυσθενεΐτης λάθρῃ ἐπὶ πύργον
κατῖσε. ἐπείτε δὲ παρήιε σὺν τῷ θιάσῳ ὁ Σκύλης καὶ
εἶδόν μιν βακχεύοντα οἱ Σκύθαι, κάρτα συμφορὴν με-
γάλην ἐποιήσαντο, ἐξελθόντες δὲ ἐσήμαινον πάσῃ τῇ
στρατιῇ τὰ ἴδοιεν. ὡς δὲ μετὰ ταῦτα ἐξήλαυνε ὁ Σκύ- 80
λης ἐς ἤθεα τὰ ἑωυτοῦ, οἱ Σκύθαι προστησάμενοι τὸν
ἀδελφεὸν αὐτοῦ Ὀκταμασάδην γεγονότα ἐκ τῆς Τήρεω
θυγατρός, ἐπανιστέατο τῷ Σκύλῃ. ὁ δὲ μαθὼν τὸ γινόμε-
νον ἐπ' ἑωυτῷ καὶ τὴν αἰτίην δι' ἣν ἐποιέετο, καταφεύ-
γει ἐς τὴν Θρηίκην. πυθόμενος δὲ ὁ Ὀκταμασάδης ταῦτα
ἐστρατεύετο ἐπὶ τὴν Θρηίκην. ἐπείτε δὲ ἐπὶ τῷ Ἴστρῳ
ἐγένετο, ἠντίασάν μιν οἱ Θρήικες, μελλόντων δὲ αὐ-
τῶν συνάψειν ἔπεμψε Σιτάλκης παρὰ τὸν Ὀκταμασά-

glauben an die reale Existenz eines solchen Gottes an. Vgl. auch zu II 49 9. — *τοῦτον* 'einen solchen'; s. zu II 135 13.

13. *διερπήστευσε* 'schlich sich durch', *perreptavit*, nämlich durch die Wachen (c. 78 24). Das sonst nicht belegte Wort ist von *ἑρπηστής* abgeleitet. Die Hss. geben das unverständliche *διεπρήστευσε*.

14f. *ἡμῖν – καταγελᾶτε*: zu III 37 5. — *γάρ*: zu I 8 10. 'Ihr verlacht uns ja'.

16. *λαμβάνει*: vgl. c. 13 2.

21. *θίασος* hiefs das Gefolge des Gottes Dionysos, und der 'Festschwarm' bei den feierlichen Aufzügen.

22. *κάρτα – μεγάλην*: zu II 27 2. — *συμφορὴν ἐποιήσαντο*, *graviter tulerunt* (V 5 9).

80. 3. *Τήρεω*, des Königs der Odrysen (VII 137 16), von dem Thukydides II 29 sagt: *ὁ δὲ Τήρης οὗτος ὁ τοῦ Σιτάλκου πατὴρ πρῶτος Ὀδρύσαις τὴν μεγάλην βασιλείαν ἐπὶ πλεῖον τῆς ἄλλης Θρᾴκης ἐποίησε.*

9f. *ἔπεμψε – λέγων* 'liefs sagen'. — *Σιτάλκης*, des Teres Sohn und mütterlicher Oheim Beider, des Skyles und des Oktamasades. Er hatte sein väterliches Reich bis zum Istros erweitert und war dadurch Nachbar der Skythen geworden. Im peloponnesischen Kriege stand er eine Zeit lang auf Seiten der Athener. Er starb 424 v. Chr. (Thuk. II 97. IV

δην λέγων τοιάδε. „τί δεῖ ἡμέας ἀλλήλων πειρηθῆναι; εἷς μέν μευ τῆς ἀδελφεῆς παῖς, ἔχεις δέ μευ ἀδελφεόν. σὺ δ' ἐμοὶ ἀπόδος τοῦτον, καὶ ἐγὼ σοὶ τὸν σὸν Σκύλην παραδίδωμι· στρατιῇ δὲ μήτε σὺ κινδυνεύσῃς μήτ' ἐγώ." ταῦτά οἱ πέμψας ὁ Σιτάλκης ἐπεκηρυκεύετο· ἦν γὰρ παρὰ τῷ Ὀκταμασάδῃ ἀδελφεὸς Σιτάλκεω πεφευγὼς τοῦτον. ὁ δὲ Ὀκταμασάδης καταινέει ταῦτα, ἐκδοὺς δὲ τὸν ἑωυτοῦ μήτρωα Σιτάλκῃ ἔλαβε τὸν ἀδελφεὸν Σκύλην. καὶ Σιτάλκης μὲν παραλαβὼν τὸν ἀδελφεὸν ἀπήγετο, Σκύλεω δὲ Ὀκταμασάδης αὐτοῦ ταύτῃ ἀπέταμε τὴν κεφαλήν. οὕτω μὲν περιστέλλουσι τὰ σφέτερα νόμαια Σκύθαι, τοῖσι δὲ παρακτωμένοισι ξεινικοὺς νόμους τοιαῦτα ἐπιτίμια διδοῦσι.

81 Πλῆθος δὲ τὸ Σκυθέων οὐκ οἷός τε ἐγενόμην ἀτρεκέως πυθέσθαι, ἀλλὰ διαφόρους λόγους περὶ τοῦ ἀριθμοῦ ἤκουον· καὶ γὰρ κάρτα πολλοὺς εἶναί σφεας καὶ ὀλίγους ὡς Σκύθας εἶναι. τοσόνδε μέντοι ἀπέφαινόν μοι ἐς ὄψιν. ἔστι μεταξὺ Βορυσθένεός τε ποταμοῦ καὶ Ὑπάνιος χῶρος, οὔνομα δέ οἱ ἐστὶ Ἐξαμπαῖος· τοῦ καὶ ὀλίγῳ τι πρότερον τούτων μνήμην εἶχον, φάμενος ἐν αὐτῷ κρήνην ὕδατος πικροῦ εἶναι, ἀπ' ἧς τὸ ὕδωρ ἀπορρέον τὸν Ὕπανιν ἄποτον ποιέειν. ἐν τούτῳ τῷ

101). — *πειρηθῆναι*: zu I 68 30.

11. *εἷς μὲν – ἔχεις δέ*: aus doppeltem Grunde sei ein Kampf unnöthig; einmal sei Oktamasades sein Neffe, und zweitens sei dieser im Stande, ihm ein Aequivalent für die Auslieferung des Skyles zu gewähren. — *ἀδελφεόν*: ob dies der von Thukydides II 101. IV 101 erwähnte *Σπαράδοκος*, Vater des nachherigen Königs *Σεύθης* gewesen, steht dahin.

14. *πέμψας – ἐπεκηρυκεύετο*, Abundanz; ähnlich I 69 10.

21. *παρα–*, nämlich *παρὰ τὰ σφέτερα νόμαια*.

81. 3f. *καὶ πολλοὺς – καὶ ὀλίγους*: vgl. zu I 202 1. — *ὡς Σκύθας εἶναι* 'soweit es Skythen seien'; vgl. II 8 16. Der Name wurde mifsbräuchlicher Weise vielen Völkern beigelegt, die in keinerlei Stammesverhältnifs zu den eigentlichen Skythen standen (zu c. 6 6); wie sie denn Thukydides I 97 in diesem Sinne das mächtigste aller Völker nennt, *οὐχ ὅτι τὰ ἐν τῇ Εὐρώπῃ ἀλλ' οὐδ' ἐν τῇ Ἀσίᾳ ἔθνος ἓν πρὸς ἓν οὐκ ἔστιν ὅ τι δυνατὸν Σκύθαις ὁμογνωμονοῦσι πᾶσιν ἀντιστῆναι*. Xen. Kyr. I 1 4 *παμπολλῶν ὄντων Σκυθῶν*. — *ἀπέφαινον*, sc. *οἱ ἐπιχώριοι* (15).

7. *ὀλίγῳ τι πρότερον*, nämlich c. 52.

χώρῳ κέεται χαλκήιον, μεγάθεϊ καὶ ἑξαπλήσιον τοῦ ἐπὶ στόματι τοῦ Πόντου κρητῆρος, τὸν Πανσανίης ὁ Κλεομβρότου ἀνέθηκε. ὃς δὲ μὴ εἶδέ κω τοῦτον, ὧδε δηλώσω· ἑξακοσίους ἀμφορέας εὐπετέως χωρέει τὸ ἐν Σκύθῃσι χαλκήιον, πάχος δὲ τὸ Σκυθικὸν τοῦτο χαλκήιόν ἐστι δακτύλων ἕξ. τοῦτο ὦν ἔλεγον οἱ ἐπιχώριοι ἀπὸ ἀρδίων γενέσθαι. βουλόμενον γὰρ τὸν σφέτερον βασιλέα, τῷ οὔνομα εἶναι Ἀριάνταν, τοῦτον εἰδέναι τὸ πλῆθος τὸ Σκυθέων κελεύειν μιν πάντας Σκύθας ἄρδιν ἕκαστον μίαν ἀπὸ τοῦ ὀιστοῦ κομίσαι· ὃς δ' ἂν μὴ κομίσῃ, θάνατον ἀπείλεε. κομισθῆναί τε δὴ χρῆμα πολλὸν ἀρδίων καί οἱ δόξαι ἐξ αὐτέων μνημόσυνον ποιήσαντι λιπέσθαι· ἐκ τουτέων δή μιν τὸ χαλκήιον ποιῆσαι τοῦτο καὶ ἀναθεῖναι ἐς τὸν Ἐξαμπαῖον τοῦτον. ταῦτα δὲ περὶ τοῦ πλήθεος τοῦ Σκυθέων ἤκουον. θωυ- 82
μάσια δὲ ἡ χώρη αὕτη οὐκ ἔχει, χωρὶς ἢ ὅτι ποταμούς τε πολλῷ μεγίστους καὶ ἀριθμὸν πλείστους. τὸ δὲ ἀποθωυμάσαι ἄξιον καὶ πάρεξ τῶν ποταμῶν καὶ τοῦ μεγάθεος τοῦ πεδίου παρέχεται, εἰρήσεται· ἴχνος Ἡρα-

10f. *καί*: zu II 44 17. — *ἐπὶ στόματι τοῦ Πόντου*, am thrakischen Bosporos. Pausanias, der Sieger bei Plataeae, hatte im J. 477 Byzantion erobert. Von dem dort geweihten kolossalen erzenen Mischkessel behauptet der Geschichtschreiber Nymphis bei Athen. p. 536ª, er sei schon früher *τοῖς θεοῖς τοῖς ἐπὶ τοῦ στόματος ἱδρυμένοις* (vgl. zu c. 85 7) geweiht gewesen und habe sich dort noch zu seiner Zeit (im 3. Jahrh. v. Chr.) befunden, Pausanias aber sei frech genug gewesen, in einem darauf gesetzten Epigramm sich selber als Urheber anzugeben.

13. Von derselben Capacität war der silberne Weihkessel des Kroesos in Delphi (I 51 10). Vgl. auch 1 Kön. 7 23-26.

15. *δακτύλων*: zu I 50 10.

17f. *τοῦτον*: zu III 14 4. Ungewöhnlich ist nur, dafs nicht auch *βουλόμενον* wiederholt ist und dafs gleich darauf in *μιν* der Pleonasmus noch einmal wiederkehrt (vgl. zu VII 147 8. 172 2). Aehnlich jedoch V 33 *ἐκέλευσε τοὺς δορυφόρους ἐξευρόντας τὸν ἄρχοντα τῆς νεὸς — τοῦτον δῆσαι.*

19. *ἀπὸ τοῦ ὀιστοῦ* 'von seinem Pfeile'.

20. *χρῆμα*: zu I 36 2.

23. *ἀναθεῖναι*: zu c. 52 12.

82. 4f. *καὶ πάρεξ* 'noch aufser'; vgl. zu I 95 7. — 'Staunenswerth' sind dem Hellenen die vielen und grofsen Ströme; denn im ganzen Bereiche des hellenischen Meeres mündet kein einziger bedeutender Strom, und in seiner Heimath dehnt sich keine einzige weite Ebene. Eine weite Ausdehnung der skyth. Ebene ist bis hier nirgends besprochen, sondern nur einmal angedeutet c. 23.

κλέος φαίνουσι ἐν πέτρῃ ἐνεόν, τὸ οἶκε μὲν βήματι ἀν-
δρός, ἔστι δὲ τὸ μέγαθος δίπηχυ, παρὰ τὸν Τύρην πο-
ταμόν. τοῦτο μέν νυν τοιοῦτό ἐστι, ἀναβήσομαι δὲ ἐς
τὸν κατ' ἀρχὰς ἤια λέξων λόγον.
83 Παρασκευαζομένου Δαρείου ἐπὶ τοὺς Σκύθας, καὶ
ἐπιπέμποντος ἀγγέλους ἐπιτάξοντας τοῖσι μὲν πεζὸν
στρατόν, τοῖσι δὲ νέας παρέχειν, τοῖσι δὲ ζευγνύναι τὸν
Θρηΐκιον Βόσπορον, Ἀρτάβανος ὁ Ὑστάσπεος, ἀδελ-
φεὸς ἐὼν Δαρείου, ἐχρήιζε μηδαμῶς αὐτὸν στρατηίην
ἐπὶ Σκύθας ποιέεσθαι, καταλέγων τῶν Σκυθέων τὴν
ἀπορίην. ἀλλ' οὐ γὰρ ἔπειθε συμβουλεύων οἱ χρηστά,
ὁ μὲν ἐπέπαυτο, ὁ δέ, ἐπειδή οἱ τὰ ἅπαντα παρεσκεύ-
84 αστο, ἐξήλαυνε τὸν στρατὸν ἐκ Σούσων. ἐνθαῦτα τῶν

6. φαίνουσι, entweder οἱ ἐπιχώριοι (c. 81 15) oder die den Strom bis dahin befahrenden Τυρῖται (c. 51 5). — ἐν πέτρῃ, also wohl da, wo der Dnjestr (Τύρης 7) das Granitlager der südrussischen Landhöhe durchbricht.

7. δίπηχυ: so lang war auch der Perseus-schuh, den die ägyptischen Chemmiten gefunden haben wollten (II 91 13).

9. κατ' ἀρχάς, nämlich c. 1. 4. — ἤια λέξων: zu I 5 11.

Zug des Dareios gegen die Skythen (c. 83–98. 118–144).

83. 2. ἐπιπέμποντος ἀγγέλους, wie I 160 ἐπιπέμποντος ἀγγελίας; der zugehörige Dativ ist aus τοῖσι μὲν – τοῖσι δέ zu ergänzen.

3. τοῖσι δέ, den kleinasiatischen und einigen Insel-hellenen (c. 89. 138). Die Flotte der gleichfalls schon bannpflichtigen Phoeniken und Syrer ward erst nach dem ionischen Aufstande in den nördlichen Gewässern verwendet (VI 6).

4. Ἀρτάβανος, der auch später seinen Brudersohn Xerxes vom Zuge nach Hellas abzuhalten suchte (VII 10 ff.) Er erscheint überall bei H. als der gute Geist des Achaemenidenhauses, voll Vorsicht und Mäsigung, gleichsam ein Verzögerer des über seine Familie verhängten Geschickes (VII 17. 46 ff.).

7. ἀπορίην, Schwierigkeit ihnen beizukommen (vgl. c. 46 ἄμαχοί τε καὶ ἄποροι προσμίσγειν), Unangreifbarkeit; ebenso c. 134 16. — ἀλλ' οὐ γάρ 'jedoch da er nicht'; zu I 147 4.

9. Das Jahr der skythischen Expedition ist nicht sicher festzustellen. Jedenfalls fiel sie nicht in die ersten Jahre des Dareios, in die Zeit der Aufstände (vgl. zu III 88 2). Aber zu der Annahme, dafs sie sich vor 514 v. Chr. ereignete, ist Grund vorhanden; denn in diesem Jahre wurde Hipparchos zu Athen erschlagen, und Hippias, sein ihn überlebender Bruder, der sich nach Bürgschaften und Verbindungen im Auslande umsah, gab seine Tochter dem Aeantidas, dem Sohne des Hippoklos, Despoten von Lampsakos, zur Ehe, "weil er merkte, dafs Hippoklos und sein Sohn grofsen Einflufs auf Dareios hatten". (Thuk. VI 59). Nun konnte aber Hippoklos diesen Einflufs nicht wohl vor der skythischen Invasion erlangt haben; denn damals kam Dareios zum ersten Male an das westliche Meer

Περσέων Οἰόβαζος ἐδεήθη Δαρείου τριῶν ἐόντων οἱ παίδων καὶ πάντων στρατευομένων ἕνα αὐτῷ καταλειφθῆναι. ὁ δέ οἱ ἔφη ὡς φίλῳ ἐόντι καὶ μετρίων δεομένῳ πάντας τοὺς παῖδας καταλείψειν. ὁ μὲν δὴ Οἰόβαζος περιχαρὴς ἦν, ἐλπίζων τοὺς υἱέας στρατηίης ἀπολελύσθαι· ὁ δὲ ἐκέλευσε τοὺς ἐπὶ τούτων ἐπεστεῶτας ἀποκτεῖναι πάντας τοὺς Οἰοβάζου παῖδας. καὶ οὗτοι 85
μὲν ἀποσφαγέντες αὐτοῦ ταύτῃ ἐλείποντο· Δαρεῖος δὲ ἐπείτε πορευόμενος ἐκ Σούσων ἀπίκετο τῆς Καλχηδονίης ἐπὶ τὸν Βόσπορον, ἵνα ἔζευκτο ἡ γέφυρα, ἐνθεῦτεν ἐσβὰς ἐς νέα ἔπλεε ἐπὶ τὰς Κυανέας καλευμένας, τὰς πρότερον πλαγκτὰς Ἕλληνές φασι εἶναι, ἑζόμενος δὲ ἐπὶ ἱρῷ ἐθηεῖτο τὸν Πόντον ἐόντα ἀξιοθέητον. πε-

herab, Hippoklos diente in diesem Zuge (Her. IV 138), und damals erwarb er sich wahrscheinlich die Gunst'. *Grote* Gesch. Griech. II 528 d. Ausg.

84. 2. *Οἰόβαζος*: der Name kehrt VII 68 5. IX 115 5 wieder.

4. *μετρίων*: vom Plural zu I 4 8.

7. *τοὺς — ἐπεστεῶτας*: vgl. zu III 29 8. Ein ähnliches Beispiel höhnender Grausamkeit verübte Xerxes am Lyder Pythios (VII 38 f.).

85. 3 f. *τῆς Καλχηδονίης*: zu III 17 3. Die Brücke lag nicht bei Kalchedon selbst, sondern 60 Stadien nördlicher (c. 87 15), jedoch noch im Gebiete der Stadt. — Die Form *Καλχηδονίη* (*Καλχηδών*) ist die ältere, *Χαλκηδονίη* (*Χαλκηδών*) die spätere. — *γέφυρα*: es war eine Schiffbrücke; c. 88 1 *σχεδίη*.

5 f. *τὰς Κυανέας* 'die Dunkeln', nämlich *πέτρας* oder *ἀκτάς*. So hiefsen nach der dunkeln Farbe des Gesteins oder nach dem Eindrucke, den sie auf den in das noch unbekannte nebelgraue Meer hinausschauenden Schiffer machten, zwei Felsen, die an der nördlichen Mündung des Bosporus auf beiden Seiten der Ausfahrt aus dem Meere emporragen. Nur ½ Meile von einander entfernt, bilden sie gleichsam das Thor des den Schiffern so gefährlichen Pontus; und so entstand schon sehr früh die besonders in der Argonauten-sage ausgebildete Vorstellung, die Felsen seien beweglich und verhinderten durch heftiges Zusammenprallen die Durchfahrt. Daher der Name *Πλαγκταί*, zuerst bei Homer (Od. μ 61 *Πλαγκτὰς δ' ἤτοι τάσγε θεοὶ μάκαρες καλέουσιν*); auch *Συμπληγάδες* oder *Συνδρομάδες*. Die nachhomerische Sagendichtung liefs sie zum Feststehen kommen, nachdem die Argo glücklich hindurchgesegelt. Doch galten sie nicht, wie heute, als das eigentliche *στόμα τοῦ Πόντου*, das vielmehr eine Meile südlicher am Tempel des *Ζεὺς Οὔριος* angenommen wurde. — *εἶναι*, Infin. Imperf. (I 4 2). — *ἑζόμενος δέ*, nachdem er nämlich von den Kyaneen zurückgekehrt war.

7. *ἐπὶ ἱρῷ*. näml des s. g. *Ζεὺς Οὔριος*, drei Meilen von Kalchedon (14), zu dessen Gebiet es noch gehörte, am Eingange (*στόμα*, vgl. c. 87 16) des Bosporos, der hier am schmalsten war (12), 'wo jetzt Anadoli-Kavak oder das alte asiatische Castell steht, dem alten europäi-

λαγέων γὰρ ἁπάντων πέφυκε θωυμασιώτατος· τοῦ τὸ μὲν μῆκος εἰσὶ στάδιοι ἑκατὸν καὶ χίλιοι καὶ μύριοι, τὸ δὲ εὖρος, τῇ εὐρύτατος αὐτὸς ἑωυτοῦ, στάδιοι τριηκόσιοι καὶ τρισχίλιοι. τούτου τοῦ πελάγεος τὸ στόμα ἐστὶ εὖρος τέσσερες στάδιοι· μῆκος δὲ τοῦ στόματος, ὁ

schen Castell oder Rumili-Kavak gegenüber. Von dem Berge, auf dem der Tempel lag, kann man den Pontos sehr gut übersehen'. *Kruse* über Herodots Ausmessung des Pontus etc. S. 8. 36. Der Ort galt als ein sicherer Ankerplatz für die aus- und einsegelnden Pontos-schiffe. Von dem Tempel heifst er häufig schlechthin *τὸ Ἱερόν*. Auf der europäischen Seite stand hier ebenfalls ein Tempel, den Byzantiern gehörig, später *Σαραπιεῖον* genannt (Polyb. IV 39. Strab. 319).

9. Die angegebene Länge von 11100 Stadien = 277½ deutschen Meilen bezieht sich auf die Entfernung von der Mündung des Pontos bis zum Phasis und ist aus der neuntägigen ununterbrochenen Dauer einer Seefahrt berechnet (c. 86). Die geradlinige Entfernung beträgt aber nur 142 M, nach Eratosthenes (bei Strab. 92) 5600 Stadien. Man mufs sich daher das Schiff längs der asiatischen Küste, welche die Alten einer geraden Linie gleich erachteten (Strab 125), hinlaufend denken. Strabon 548 berechnet eine solche Fahrt mit Berührung der bedeutenderen Küstenpunkte auf nur ungefähr 8000 Stadien, und Arrian in seinem *Περίπλους Εὐξείνου Πόντου*, der jedoch alle Häfen und Buchten anlief, auf ungefähr 8200 Stadien. *Kruse* a. O. S. 20 vermuthet Herodot habe es darin versehen, dafs er, aufser den neun Tagefahrten von 6300 St., noch acht Nachtfahrten von 4800 St. in Rechnung brachte, da es doch aus verschiedenen Gründen unglaublich erscheine, dafs die alten Schiffer auf dem gefährlichen Pontos auch bei Nacht gefahren seien. Gegen diese letztere Annahme zeugt Skylax 68 *παράπλους εὐθὺς ἀπὸ Ἴστρου ἐπὶ Κριοῦ μέτωπον* (Krimm) *τριῶν ἡμερῶν καὶ τριῶν νυκτῶν, ὁ δὲ παρὰ γῆν διπλάσιος*, u. s. Wahrscheinlich liegt der Fehler in der Berechnung der Tag- und Nachtfahrten (s. zu c. 86 2).

10 f. *εὐρύτατος αὐτὸς ἑωυτοῦ*: zu I 193 17. — Die gröfste Breite von 3300 St. = 82½ M. gilt für die Entfernung von Sindike bis Themiskyra am Thermodon und für eine dreitägige Fahrt (c. 86). Die gerade Entfernung beträgt 52 M. = 2080 St. Diese Summe ergibt sich ziemlich genau, wenn man auch hier die zwei Nachtfahrten mit 1200 St. in Abzug bringt.

11 ff. *τὸ στόμα* 'die Mündung, Einfahrt' (7). — *τέσσερες στάδιοι*: ebenso Strab. 125 u. A. Es war dies die schmalste Stelle der ganzen Strafse. Jetzt beträgt die Breite 6 Stadien. Die Differenz ist durch Abspülungen entstanden, welche die heftige Strömung an der europäischen Küste bewirkt hat. — *τοῦ στόματος*: so heifst hier nicht die Mündung, sondern der ganze Bosporos selbst als Ausflufs des Pontos; daher der Zusatz *ὁ αὐχὴν — κέκληται*. Vgl. Polyb. IV 39 (*ὁ Πόντος ἔχει*) *στόματα διττὰ κατὰ διάμετρον ἀλλήλοις κείμενα, τὸ μὲν ἐκ τῆς Προποντίδος τὸ δ' ἐκ τῆς Μαιώτιδος λίμνης . . . τὸ δὲ . . ὀνομάζεται μὲν Βόσπορος Θρᾴκιος, ἔστι δὲ τὸ μὲν μῆκος ἐφ' ἑκατὸν καὶ εἴκοσι στάδια, τὸ δὲ πλάτος οὐ πάντῃ ταὐτόν· ἄρχει δὲ τοῦ στόματος ἀπὸ μὲν τῆς Προποντίδος τὸ κατὰ Καλχηδόνα*

αὐχήν, τὸ δὴ Βόσπορος κέκληται, κατ' ὃ δὴ ἔζευκτο
ἡ γέφυρα, ἐπὶ σταδίους εἴκοσι καὶ ἑκατόν ἐστι. τείνει
δὲ ἐς τὴν Προποντίδα ὁ Βόσπορος. ἡ δὲ Προποντὶς
ἐοῦσα εὖρος μὲν σταδίων πεντακοσίων, μῆκος δὲ τε-
τρακοσίων καὶ χιλίων, καταδιδοῖ ἐς τὸν Ἑλλήσποντον
ἐόντα στεινότητα μὲν ἑπτὰ σταδίους, μῆκος δὲ τετρα-
κοσίους. ἐκδιδοῖ δὲ ὁ Ἑλλήσποντος ἐς χάσμα πελάγεος
τὸ δὴ Αἰγαῖον καλέεται. μεμέτρηται δὲ ταῦτα ὧδε. 86
νηῦς ἐπίπαν μάλιστά κῃ καταρύει ἐν μακρημερίῃ ὀρ-
γυιὰς ἑπτακισμυρίας, νυκτὸς δὲ ἑξακισμυρίας. ἤδη ὦν

διάστημα καὶ Βυζάντιον, ὃ δεκατεττάρων ἐστὶ σταδίων, ἀπὸ δὲ τοῦ Πόντου τὸ καλούμενον Ἱερόν. — ὁ *αὐχήν* konnte die Meerenge heifsen, wenn man sich den Pontos als Rumpf, die Propontis als Haupt dachte. Vgl. c. 118 5 und zu I 72 12. Aesch. Pers. 73 vom Hellespont (*στρατὸς βασίλειος*) *ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου.* — *τό* bezieht sich auf *στόματος.* — *κατ' ὅ* sagt mit Bezug auf c. 83 4 nur, dafs die Brücke über den Bosporos geschlagen wurde; genauer wird der Ort erst c. 87 15 bestimmt.

16f *εὖρος*, natürlich *τῇ εὐρυτάτη αὐτὴ ἑωυτῆς*, etwa zwischen Selybria und Plakia; doch auch für diese Entfernung ist diese Zahl etwas zu grofs. Besser stimmt die Längenangabe für die Entfernung von Astakos bis Paktye, wo das Grab der Helle lag (VII 58) und der Hellespont begann. — *καταδιδοῖ*, weil die Meeresströmung vom Pontos her den Hellenen als eine ab- und herwärts gehende erschien. Das sonst gewöhnliche *ἐκδιδοῖ* (19) oder *ἐσδιδοῖ* pafst vom Einströmen des Hellespontos in das aegaeische Meer, nicht von dem der Propontis in den schmaleren Hellespont.

18. *στεινότητα*, gewählte Praegnanz st. *εὖρος τῇ στεινότατος.* Es war die schmalste Stelle, wo Xerxes die Schiffbrücke schlagen liefs, bei der Stadt Abydos (VII 34 4). 'Jetzt ist die Stelle drei Stadien breiter und nicht mehr die engste des Hellesponts. Vielleicht hat sie sich seitdem erweitert. Die Länge des Hellesponts ist genau gemessen, indem er von Elaeus bis zum Grabe der Helle 10 M. lang ist'. *Kruse* a. O. S. 120.

86. *μεμέτρηται*, sc. *ἐμοί* (14), 'ich habe durch Berechnung gemessen'. Aehnlich I 93 11. Der Vf. hat zwar den Pontos befahren, aber nicht in den hier angegebenen Dimensionen. Die Dauer der Fahrten erfuhr er leicht aus den Schiffsbüchern (*περίπλοι*) der Pontosfahrer.

2f. *νηῦς*, ein Segelschiff und zwar bei sehr günstigem Winde, *ᾗ λιγὺς οὖρος ἐπιπνείῃσιν ὄπισθεν* (Od. δ 357). Für Ruderschiffe galt ein kleinerer Mafsstab; zu II 11 5. — *ἐπίπαν* 'in der Regel' (c. 68 4). — *μάλιστά κῃ* 'ungefähr'. — *ὀργυιάς*: vgl. 'Faden'; das Mafs deutet auf Beobachtungen mit dem Logg. — *ἑξακισμυρίους*: die Dauer der Nacht würde sich hiernach zum Tage wie 6 : 7 verhalten, und doch soll der Tag ein langer sein! Offenbar meint H. eine l a n g e N a c h t, die aber einen gleichzeitigen k u r z e n Tag voraussetzt. Indem er in seiner Rechnung dies übersah, kam er zu einer Stadienzahl, die um ein

ἐς μὲν Φᾶσιν ἀπὸ τοῦ στόματος (τοῦτο γάρ ἐστι τοῦ Πόντου μακρότατον) ἡμερέων ἐννέα πλόος ἐστὶ καὶ νυκτῶν ὀκτώ· αὗται ἕνδεκα μυριάδες καὶ ἑκατὸν ὀργυιέων γίνονται, ἐκ δὲ τῶν ὀργυιέων τουτέων στάδιοι ἑκατὸν καὶ χίλιοι καὶ μύριοί εἰσι. ἐς δὲ Θεμισκύρην τὴν ἐπὶ Θερμώδοντι ποταμῷ ἐκ τῆς Σινδικῆς (κατὰ τοῦτο γάρ ἐστι τοῦ Πόντου εὐρύτατον) τριῶν τε ἡμερέων καὶ δύο νυκτῶν πλόος· αὗται δὲ τρεῖς μυριάδες καὶ τριήκοντα ὀργυιέων γίνονται, στάδιοι δὲ τριηκόσιοι καὶ τρισχίλιοι. ὁ μέν νυν Πόντος οὗτος καὶ Βόσπορός τε καὶ Ἑλλήσποντος οὕτω τέ μοι μεμετρέαται καὶ κατὰ τὰ εἰρημένα πεφύκασι. παρέχεται δὲ καὶ λίμνην ὁ Πόντος οὗτος ἐκδιδοῦσαν ἐς ἑωυτὸν οὐ πολλῷ τεῳ ἐλάσσω ἑωυτοῦ, ἣ Μαιῆτίς τε καλέεται καὶ μήτηρ τοῦ Πόντου.

87 Ὁ δὲ Δαρεῖος ὡς ἐθεήσατο τὸν Πόντον, ἔπλεε ὀπί-

Drittel zu grofs ist, wenn man eine Küstenfahrt, um die Hälfte, wenn man directe Fahrt annimmt. Ermäfsigt man die Länge der (kurzen) Nachtfahrt auf 300 St., so ergibt sich eine Gesammtlänge von 8700 St. Skylax 69 schlägt die durchschnittliche Länge einer Tag- und Nachtfahrt auf 1000 St. an, und dieselbe Zahl ergibt sich aus II 11.

9. *Σινδικῆς*: zu c. 28 8.

10. *εὐρύτατον* 'die breiteste Stelle'; ebenso VII 199. Vgl. oben 5 *μακρότατον*, I 111 *θηριωδέστατον*, II 8. VII 200 *στεινότατον*, II 158 *ἐλάχιστον*, II 158. IV 183. VII 121 *συντομώτατον*, II 172. VII 25 *ἐπιτηδεώτατον*, V 92δ *ἀφραστότατον*, VII 128 *ἀσφαλέστατον*, IX 21 *ἐπιμαχώτατον*, IX 118 *ἐρημότατον*, überall ohne den Artikel. Vgl. zu c. 62 7.

15ff. ist eine nachträglich zugefügte Notiz. S. zu IX 83 2. — *οὐ πολλῷ τεῳ ἐλάσσων*: richtiger schätzt schon Skylax Peripl. 69 die Gröfse der Maeotis auf die Hälfte des Pontos; Strabon 125 u. A. geben jener einen Umfang von 9000, diesem von 25000 Stadien.

17. Die Form *Μαιῆτις* (*Μαιῶτις*) erkennt Boeckh Corp. Inscr. gr. II p. 101 als das Femininum zu dem Volksnamen *Μαιήτης* (*Μαιώτης*; vgl. zu c. 123 13). Anon. Peripl. Pont. Eux. 45 *Μαιωτῶν ἐφ' οἷς καὶ Μαιῶτις λίμνη — λέγεται*, Plin. IV 88 *Maeotae, a quibus lacus nomen accepit*. 'Die Anwohner heifsen auf den Inschriften des bosporanischen Reiches stets *Μαῖται* (*Μαΐται*), nie *Μαιῶται* oder *Μαιῆται*; wir werden also auch dem wahren Namen des Meeres durch die Schreibart *Μαῖτις* (*Μαΐτις*) näher kommen' (*Neum.* I 534). Sie von *μαῖα* abzuleiten (Eustath. zu Dion. P. 163) verleitete die hellenisirte Form um so leichter, als die Anwohner selbst sich dieser bildlichen Bezeichnung bedienten; Plin. VI 20 *Tanaim ipsum Sythae Sinum* (*Silim?*) *vocant*, *Maeotim Temarundam, quo significant matrem maris*. Vgl. c. 52 4.

σω ἐπὶ τὴν γέφυραν, τῆς ἀρχιτέκτων ἐγένετο Μανδροκλέης Σάμιος· θεησάμενος δὲ καὶ τὸν Βόσπορον στήλας ἔστησε δύο ἐπ' αὐτοῦ λίθου λευκοῦ, ἐνταμὼν γράμματα ἐς μὲν τὴν Ἀσσύρια ἐς δὲ τὴν Ἑλληνικά, ἔθνεα πάντα ὅσα περ ἦγε. ἦγε δὲ πάντα τῶν ἦρχε· τούτων μυριάδες ἐξηριθμήθησαν, χωρὶς τοῦ ναυτικοῦ, ἑβδομήκοντα σὺν ἱππεῦσι, νέες δὲ ἑξακόσιαι συνελέχθησαν. τῇσι μέν νυν στήλῃσι ταύτῃσι Βυζάντιοι κομίσαντες ἐς τὴν πόλιν ὕστερον τούτων ἐχρήσαντο πρὸς τὸν βωμὸν τῆς Ὀρθωσίης Ἀρτέμιδος, χωρὶς ἑνὸς λίθου· οὗτος δὲ κατελείφθη παρὰ τοῦ Διονύσου τὸν νηὸν ἐν Βυζαντίῳ, γραμμάτων Ἀσσυρίων πλέος. τοῦ δὲ Βοσπόρου ὁ χῶρος τὸν ἔζευξε βασιλεὺς Δαρεῖος, ὡς ἐμοὶ δοκέειν συμβαλλομένῳ, μέσον ἐστὶ Βυζαντίου τε καὶ τοῦ ἐπὶ στόματι ἱροῦ.

87. 3. *Σάμιος*: die Insel war bereits von den Persern abhängig (III 139 ff.). Schon früh hatte sie sich durch bedeutende Künstler und grofsartige Bauten ausgezeichnet (I 51. III 60).

4. *ἐπ' αὐτοῦ*, an dem westlichen Ufer, wie das Folgende zeigt.

5. *γράμματα — Ἀσσύρια*, hier wahrscheinlich Keilschrift, welche die eigentliche Monumentalschrift war. — *ἔθνεα*: als ginge nicht *ἐνταμὼν γράμματα*, sondern *ἐγγράψας* vorher. Aehnlich I 93 *καί σφι γράμματα ἐνεκεκόλαπτο τὰ* ('welche Werke') *ἕκαστοι ἐξεργάσαντο*. IV 88 *ζῷα γραψάμενος πᾶσαν τὴν ζεῦξιν* st. *ζωγραφησάμενος*.

10. *ὕστερον τούτων*, wahrscheinlich gleich nach dem unglücklichen Ausgange des Zuges; vgl. zu c. 143 2. Ktesias Exc. Pers. 17 schreibt eine ähnliche That den Kalchedoniern zu: *Δαρεῖος δὲ τὴν γέφυραν διαβὰς Χαλκηδονίων οἰκίας καὶ ἱερὰ ἐνέπρησεν, ἐπεὶ τὰς πρὸς αὐτοῖς γεφύρας ἐμελέτησαν λῦσαι, καὶ ὅτι τὸν βωμόν, ὃν περῶν Δαρεῖος κατέθετο ἐπ' ὀνόματι διαβατηρίου Διός, ἠφάνισαν.*

11. Der Cult der *Ἄρτεμις Ὀρθωσία* (auch *Ὀρθία*) war besonders bei den Doriern verbreitet. Nach Byzantion war er ohne Zweifel von der Mutterstadt Megara verpflanzt. Ursprünglich waren Menschenopfer damit verknüpft, die in Sparta später in blutige Geifselungen der Knaben am Altare der Göttin gemildert wurden.

15 f. *συμβαλλομένῳ*, aus speciellen Angaben und besonders aus der für den Bau geeigneten Localität. — *μέσον* 'die Mitte' (I 170 15). 'Die Mitte zwischen diesen beiden Punkten bildet eine Gegend, wo an der europäischen Seite Anadoli-Hissar, auf der asiatischen Seite Rumili-Hissar, ein Paar alte Schlösser, liegen'. *Kruse* a. O. S. 109. Die Küste bot hier auf beiden Seiten besondere Vortheile sowohl für den Bau der Brücke als für die Anfstellung und den Uebermarsch eines zahlreichen Heeres. — *τοῦ ἐπὶ στόματι ἱροῦ*: zu c. 85 7.

88 *Δαρεῖος δὲ μετὰ ταῦτα, ἡσθεὶς τῇ σχεδίῃ, τὸν ἀρχιτέκτονα αὐτῆς Μανδροκλέα τὸν Σάμιον ἐδωρήσατο πᾶσι δέκα· ἀπ' ὧν δὴ Μανδροκλέης ἀπαρχήν, ζῷα γραψάμενος πᾶσαν τὴν ζεῦξιν τοῦ Βοσπόρου καὶ βασιλέα τε Δαρεῖον ἐν προεδρίῃ κατήμενον καὶ τὸν στρατὸν αὐτοῦ διαβαίνοντα, ταῦτα γραψάμενος ἀνέθηκε ἐς τὸ Ἡραῖον, ἐπιγράψας τάδε.*

Βόσπορον ἰχθυόεντα γεφυρώσας ἀνέθηκε
Μανδροκλέης Ἥρῃ μνημόσυνον σχεδίης,
αὐτῷ μὲν στέφανον περιθείς, Σαμίοισι δὲ κῦδος,
Δαρείου βασιλέος ἐκτελέσας κατὰ νοῦν.

89 *ταῦτα μέν νυν τοῦ ζεύξαντος τὴν γέφυραν μνημόσυνα ἐγένετο· Δαρεῖος δὲ δωρησάμενος Μανδροκλέα διέβαινε ἐς τὴν Εὐρώπην, τοῖσι Ἴωσι παραγγείλας πλέειν ἐς τὸν Πόντον μέχρι Ἴστρου ποταμοῦ, ἐπεὰν δὲ ἀπίκωνται ἐς τὸν Ἴστρον, ἐνθαῦτα αὐτὸν περιμένειν ζευγνύντας τὸν ποταμόν· τὸ γὰρ δὴ ναυτικὸν ἦγον Ἴωνές τε καὶ Αἰο-*

88. 3f. *πάντα δέκα* 'alles zehnfach' (s. zu I 50 2), scheint ein proverbieller Ausdruck zu sein, um eine reiche Fülle zu bezeichnen. Vgl. IX 81 *Παυσανίῃ δὲ πάντα δέκα ἐξαιρέθη τε καὶ ἐδόθη, γυναῖκες ἵπποι τάλαντα κάμηλοι, ὣς δὲ αὔτως καὶ τἆλλα χρήματα,* wo natürlich die Zahl nicht genau zu nehmen ist. Wollte man sich noch stärker ausdrücken, so sagte man *πάντα ἑκατόν* (Theopompos bei Athen. p. 144f. *ἑκατὸν πάντα παρατίθεσθαι δειπνοῦντα ἐπὶ τὴν τράπεζαν*), selbst *τὰ πάντα μυρία* (III 74 11). — Das Gemälde wie die oben c. 87 erwähnten inschriftlichen Heerealisten scheinen dem Vf. wenigstens theilweise das Material zu seiner genauen Aufzählung und anschaulichen Beschreibung der einzelnen Völker im Heere des Xerxes (VII 61 ff.) geliefert zu haben.

5. *προεδρίῃ* hier concret = *προεξέδρῃ* (VII 44 3), ebenso VI 57 10; vgl. zu c. 23 15. Ueber die sonstige Bedeutung zu I 54 7. — 'Zwar giebt H. nicht an, ob der Thron an der asiatischen oder der europaeischen Seite gestanden habe; allein da an der europaeischen Seite der höchste Felsen (das Vorgebirge Hermaeon) und der bequemste Ort dazu war, so ist er wahrscheinlich hierher zu setzen. Etwas nördlich vom Rumili-Hisaar bildet sich (nämlich) ein grofses Thal amphitheatralisch von Bergen eingeschlossen'. *Kruse* S. 113. 115.

7. *τὸ Ἡραῖον*, in seiner Vaterstadt Samos (III 60). Das Beispiel ist nicht vereinzelt; Strabon 637 sagt von dem Tempel *νῦν πινακοθήκη ἐστί*, und zwar von Werken der alten Schule.

9. *Μανδροκλέης*: in der Palatinischen Anthologie VI 341, wo die drei ersten Verse stehen, heifst er *Μανδοκρέων*.

10. *αὐτῷ μέν*: in der Anthologie *τῷ μὲν δή*.

*λέες καὶ Ἑλλησπόντιοι. ὁ μὲν δὴ ναυτικὸς στρατὸς τὰς
Κυανέας διεκπλώσας ἔπλεε ἰθὺ τοῦ Ἴστρου, ἀναπλώσας
δὲ ἀνὰ τὸν ποταμὸν δυῶν ἡμερέων πλόον ἀπὸ θαλάσ-
σης, τοῦ ποταμοῦ τὸν αὐχένα, ἐκ τοῦ σχίζεται τὰ στό-
ματα τοῦ Ἴστρου, ἐζεύγνυε. Δαρεῖος δὲ ὡς διέβη τὸν
Βόσπορον κατὰ τὴν σχεδίην, ἐπορεύετο διὰ τῆς Θρηΐ-
κης, ἀπικόμενος δὲ ἐπὶ Τεάρου ποταμοῦ τὰς πηγὰς
ἐστρατοπεδεύσατο ἡμέρας τρεῖς. ὁ δὲ Τέαρος λέγεται* 90
*ὑπὸ τῶν περιοίκων εἶναι ποταμῶν ἄριστος τά τε ἄλλα
ἐς ἄκεσιν φέροντα, καὶ δὴ καὶ ἀνδράσι καὶ ἵπποισι ψώ-
ρην ἀκέσασθαι. εἰσὶ δὲ αὐτοῦ αἱ πηγαὶ δυῶν δέουσαι
τεσσεράκοντα, ἐκ πέτρης τῆς αὐτῆς ῥέουσαι· καὶ αἱ
μὲν αὐτέων εἰσὶ ψυχραὶ αἱ δὲ θερμαί. ὁδὸς δ' ἐπ' αὐ-
τάς ἐστι ἴση ἐξ Ἡραίου τε πόλιος τῆς παρὰ Περίνθῳ
καὶ ἐξ Ἀπολλωνίης τῆς ἐν τῷ Εὐξείνῳ πόντῳ, δυῶν
ἡμερέων ἑκατέρη. ἐκδιδοῖ δὲ ὁ Τέαρος οὗτος ἐς τὸν
Κοντάδεσδον ποταμόν, ὁ δὲ Κοντάδεσδος ἐς τὸν Ἀγριά-
νην, ὁ δὲ Ἀγριάνης ἐς τὸν Ἕβρον, ὁ δὲ ἐς θάλασσαν
τὴν παρ' Αἴνῳ πόλι. ἐπὶ τοῦτον ὧν τὸν ποταμὸν ἀπι-* 91
*κόμενος ὁ Δαρεῖος ὡς ἐστρατοπεδεύσατο, ἡσθεὶς τῷ
ποταμῷ στήλην ἔστησε καὶ ἐνθαῦτα, γράμματα ἐγγρά-
ψας λέγοντα τάδε. „Τεάρου ποταμοῦ κεφαλαὶ ὕδωρ*

89. 7. *Ἑλλησπόντιοι*: s. c. 138 und zu c. 38 6.

8. *Κυανέας*: zu c. 85 5.

10. *αὐχένα*, die Stelle, von wo ab der Flufskörper durch Theilung in mehrere Arme ein gröfseres Gebiet umschliefst, scheinbar einen gröfseren Umfang annimmt. Vgl. zu I 72 12. IV 85 13.

13. Der *Τέαρος* ist vermuthlich der kleine Flufs, an dem die Stadt Kyrkkilisse liegt. Der Dichter Simonides scheint ihn zu nennen Anthol. Pal. VII 514 *ἐπὶ προχοῇσι Θεαίρου ἀενάου.*

90. 3. *ἐς ἄκεσιν φέροντα*: vgl. zu I 10 12. VI 42 2.

4. *ἀκέσασθαι*, von *ἄριστος* abhängig (III 80 21).

7. *Ἡραίου πόλις*, später *Ἡραίου τεῖχος*. — Dareios zog von Byzantion die Propontis entlang bis Perinthos und dann nordwärts auf der dem Pontos nächsten Strafse, die heute von Rodosto durch den Bojukpafa und über den Emini-Dagh an die Donau führt. Vgl. c. 93 und zu VII 59 5.

10. Der *Κοντάδεσδος* ist sonst nicht bekannt; wahrscheinlich der heutige *Teke Deresi.*

11. *Ἀγριάνης*, bei Anderen *Ἐργῖνος* und *Ἐρίγων*; jetzt *Ergene.*

91. 3. *καὶ ἐνθαῦτα*, wie am Bosporos (c. 87).

4. *κεφαλαί = πηγαί* (c. 90 4), *capita.* Zur Sache vgl. I 131 9. 138 13.

ἄριστόν τε καὶ κάλλιστον παρέχονται πάντων ποταμῶν· καὶ ἐπ' αὐτὰς ἀπίκετο ἐλαύνων ἐπὶ Σκύθας στρατὸν ἀνὴρ ἄριστός τε καὶ κάλλιστος πάντων ἀνθρώπων, Δαρεῖος ὁ Ὑστάσπεος, Περσέων τε καὶ πάσης τῆς ἠπείρου βασιλεύς." ταῦτα δὲ ἐνθαῦτα ἐγράφη.

92 Δαρεῖος δὲ ἐνθεῦτεν ὁρμηθεὶς ἀπίκετο ἐπ' ἄλλον ποταμὸν τῷ οὔνομα Ἀρτησκός ἐστι, ὃς διὰ Ὀδρυσέων ῥέει. ἐπὶ τοῦτον δὴ τὸν ποταμὸν ἀπικόμενος ἐποίησε τοιόνδε· ἀποδέξας χωρίον τῇ στρατιῇ ἐκέλευε πάντα ἄνδρα λίθον ἕνα παρεξιόντα τιθέναι ἐς τὸ ἀποδεδεγμένον τοῦτο χωρίον. ὡς δὲ ταῦτα ἡ στρατιὴ ἐπετέλεσε, ἐνθαῦτα κολωνοὺς μεγάλους τῶν λίθων καταλιπὼν ἀπή-
93 λαυνε τὴν στρατιήν. πρὶν δὲ ἀπικέσθαι ἐπὶ τὸν Ἴστρον, πρώτους αἱρέει Γέτας τοὺς ἀθανατίζοντας. οἱ μὲν γὰρ δὴ τὸν Σαλμυδησσὸν ἔχοντες Θρήικες καὶ ὑπὲρ Ἀπολλωνίης τε καὶ Μεσαμβρίης πόλιος οἰκημένοι, καλεύμενοι δὲ Σκυρμιάδαι καὶ Νιψαῖοι, ἀμαχητὶ σφέας αὐτοὺς παρέδοσαν Δαρείῳ· οἱ δὲ Γέται πρὸς ἀγνωμοσύνην τραπόμενοι αὐτίκα ἐδουλώθησαν, Θρηίκων ἐόντες ἀν-
94 δρηιώτατοι καὶ δικαιότατοι. ἀθανατίζουσι δὲ τόνδε τὸν

92. 2. Die nrsprünglichen Sitze der Odrysen müssen nach Thuk. II 96 im nördlichen und mittleren Thrakien, an beiden Ufern der Tundja, gesucht werden. Hiernach bestimmt sich der *Ἀρτησκός* (vielleicht schon von Hesiod. Th. 345 als *Ἄρδησκος* genannt) als einen der auf dem Haemos entspringenden Küstenflüsse (Kamtschyk?.)

93. 2. *αἱρέειν* von einem Volke noch VIII 32 3. — *ἀθανατίζοντας* 'an die Unsterblichkeit (der Seelen) glaubend' (c. 94 2f. V 4 2).

3f. *τὸν Σαλμυδησσόν*: Strab. 319 *ἔστι δ' οὗτος ἔρημος αἰγιαλὸς καὶ λιθώδης, ἀλίμενος, ἀναπεπταμένος πολὺς πρὸς τοὺς βορέας, σταδίων ὅσον ἑπτακοσίων μέχρι Κυανέων τὸ μῆκος, πρὸς ὃν οἱ ἐκπίπτοντες ὑπὸ τῶν Ἀστῶν διαρπάζονται τῶν ὑπερκειμένων, Θρᾳκίου ἔθνους.* Auch eine Stadt führte den Namen, jetzt Midja. — *ὑπέρ*, auf den Höhen der Strandjea- und Emini-Dagh. — *Ἀπολλωνίη*, jetzt *Sazopoli*, eine Colonie der Milesier; *Μεσαμβρίη*, jetzt *Misivri*, Colonie der Byzantier und Kalchedonier (VI 33).

5. *Σκυρμιάδαι*: die meisten Hss. haben *Κυρμιάναι*; Ephoros nannte sie *Σκυμνιάδαι* (Steph. Byz. s. v.). — *Νιψαῖοι* las hier Stephanos Byz.; die Hss. *Μυψαῖοι* und *Νυψαῖοι*.

8. *δικαιότατοι* 'friedfertigsten', eine Eigenschaft, die man überhaupt gern den in einfachem Naturzustande lebenden, besonders nomadisirenden Völkern beilegte; schon Il. *ν* 5 *ἀγαυῶν Ἱππημολγῶν γλα-*

τρόπον· οὔτε ἀποθνήσκειν ἑωυτοὺς νομίζουσι ἰέναι τε τὸν ἀπολλύμενον παρὰ Σάλμοξιν δαίμονα· οἱ δὲ αὐτῶν τὸν αὐτὸν τοῦτον ὀνομάζουσι Γεβελέϊζιν. διὰ πεντετηρίδος δὲ τὸν πάλῳ λαχόντα αἰεὶ σφέων αὐτῶν ἀποπέμπουσι ἄγγελον παρὰ τὸν Σάλμοξιν, ἐντελλόμενοι τῶν ἂν ἑκάστοτε δέωνται. πέμπουσι δὲ ὧδε· οἱ μὲν αὐτῶν ταχθέντες ἀκόντια τρία ἔχουσι, ἄλλοι δὲ διαλαβόντες τοῦ ἀποπεμπομένου παρὰ τὸν Σάλμοξιν τὰς χεῖρας καὶ τοὺς πόδας, ἀνακινήσαντες αὐτὸν μετέωρον ῥιπτεῦσι ἐς τὰς λόγχας. ἢν μὲν δὴ ἀποθάνῃ ἀναπαρείς, τοῖσι δὲ ἵλεως ὁ θεὸς δοκέει εἶναι· ἢν δὲ μὴ ἀποθάνῃ, αἰτιῶνται αὐτὸν τὸν ἄγγελον, φάμενοί μιν ἄνδρα κακὸν εἶναι, αἰτιησάμενοι δὲ τοῦτον ἄλλον ἀποπέμπουσι. ἐντέλλονται δὲ ἔτι ζώοντι. οὗτοι οἱ αὐτοὶ Θρήικες καὶ πρὸς βροντήν τε καὶ ἀστραπὴν τοξεύοντες ἄνω πρὸς τὸν οὐρανὸν ἀπειλεῦσι τῷ θεῷ, οὐδένα ἄλλον θεὸν νομίζοντες εἶναι εἰ μὴ τὸν σφέτερον.

95 ὡς δὲ ἐγὼ πυνθάνομαι τῶν τὸν Ἑλλήσποντον οἰκεόντων Ἑλλήνων καὶ Πόντον, τὸν Σάλμοξιν τοῦτον ἐόντα ἄνθρωπον δουλεῦσαι ἐν Σάμῳ,

κτοφάγων Ἀβίων τε, δικαιοτάτων ἀνθρώπων.

94. 2. *οὔτε – τε = οὐκ – ἀλλά*; zu I 63 8. — *ἰέναι παρὰ Z. δαίμονα*: *Grimm* deutsche Myth. S. 101 vergleicht aus dem Nordischen 'zu Odhinn fahren, bei Odhinn zu Gast sein, Odhinn heimsuchen'. — Die Namensform schwankt überall zwischen *Σάλμοξις*, *Ζάλμοξις* und *Ζάμολξις*, *Ζάλμολξις*, doch scheinen die ersten die glaubwürdigsten. Porphyr. vit. Pythag. 14 *Ζάλμοξις ἦν ὄνομα, ἐπεὶ γεννηθέντι αὐτῷ δορὰ ἄρκτου ἐπεβλήθη. τὴν γὰρ δορὰν οἱ Θρᾷκες ζαλμὸν καλοῦσιν.* Auch der Zusammenhang mit *Σαλμυδησσός* leuchtet ein.

4. *διὰ πεντετηρίδος*: zu III 97 19. Es handelt sich offenbar um ein periodisches, mit Menschenopfern verbundenes Nationalfest.

8. *διαλαβόντες*, wie c. 68 9.

11. *τοῖσι δέ*: zu II 39 9.

15 ff. Eine ähnliche Sitte der libyschen Ataranten s. c. 184. — *τῷ θεῷ*, dem Salmoxis, in dem sie also den Himmelsgott verehrten. — *νομίζοντες*, 'ob sie gleich glauben'. Ihr Benehmen steht mit ihrem Glauben in sonderbarem Widerspruche.

95. 2. *τῶν τὸν Ἑλλήσποντον οἰκεόντων = τῶν Ἑλλησποντίων* (III 90 8. IV 89 7. VII 95 7). *Ἑλλήσποντος*, übertragen auf die anliegende Küste, wie *Πόντος* (zu c. 46 2); ebenso c. 138 6. VI 33 5. VII 106 7. Thuk. II 9 u. s. Von dem Umfange zu c. 38 6. H. meint hier die Hellenen in Perinthos, Byzantion, Apollonia, Mesembria, Istria u. a. Städten, die mit dem Volke in Verkehr standen.

3. Vom Infinitiv *δουλεῦσαι* zu I 65 20.

δουλεῦσαι δὲ Πυθαγόρῃ τῷ Μνησάρχου· ἐνθεῦτεν δὲ αὐτὸν γενόμενον ἐλεύθερον χρήματα κτήσασθαι συχνά, κτησάμενον δὲ ἀπελθεῖν ἐς τὴν ἑωυτοῦ· ἅτε δὲ κακοβίων τε ἐόντων τῶν Θρηίκων καὶ ὑπαφρονεστέρων, τὸν Σάλμοξιν τοῦτον ἐπιστάμενον δίαιτάν τε Ἰάδα καὶ ἤθεα βαθύτερα ἢ κατὰ Θρήικας, οἷα Ἕλλησί τε ὁμιλήσαντα καὶ Ἑλλήνων οὐ τῷ ἀσθενεστάτῳ σοφιστῇ Πυθαγόρῃ, κατασκευάσασθαι ἀνδρεῶνα, ἐς τὸν πανδοκεύοντα τῶν ἀστῶν τοὺς πρώτους καὶ εὐωχέοντα ἀναδιδάσκειν ὡς οὔτε αὐτὸς οὔτε οἱ συμπόται αὐτοῦ οὔτε οἱ ἐκ τούτων αἰεὶ γινόμενοι ἀποθανέονται, ἀλλ' ἥξουσι ἐς χῶρον τοῦτον ἵνα αἰεὶ περιεόντες ἕξουσι τὰ πάντα ἀγαθά. ἐν ᾧ δὲ ἐποίεε τὰ καταλεχθέντα καὶ ἔλεγε ταῦτα, ἐν τούτῳ κατάγαιον οἴκημα ἐποιέετο. ὡς δέ οἱ παντελέως εἶχε τὸ οἴκημα, ἐκ μὲν τῶν Θρηίκων ἠφανίσθη, καταβὰς δὲ κάτω ἐς τὸ κατάγαιον οἴκημα διαιτᾶτο ἐπ' ἔτεα τρία· οἱ δέ μιν ἐπόθεόν τε καὶ ἐπένθεον ὡς τεθνεῶτα· τετάρτῳ δὲ ἔτεϊ ἐφάνη τοῖσι Θρήιξι, καὶ οὕτω πιθανά

4. *δουλεῦσαι δέ* 'und zwar'; zu I 64 10. — Schon damals müssen Geten nicht selten auf hellenische Sklavenmärkte gebracht worden sein. Später geschah es so häufig, daſs *Γέτης* ein stehender Sklavenname wurde.

5f. *κτήσασθαι – κτησάμενον δέ*: zu I 8 2.

7. *ὑπαφρονέστερος* 'ziemlich einfältig'. Vgl zu III 29 2.

8ff. *δίαιταν Ἰάδα*, deren Ueppigkeit und Weichlichkeit, insbesondere bei Trinkgelagen, sprüchwörtlich war. Der Ausdruck hat ebenso ironische Färbung, wie *ἤθεα βαθύτερα* (*mores reconditiores*) und *οὐ τῷ ἀσθενεστάτῳ*. Ueber *σοφιστής* zu I 29 3. — Wie wenig der Vf. der pythagoreischen Lehre und Lebensregel, die er noch aus eigener Anschauung in Unteritalien hatte kennen lernen, geneigt war, ergibt sich sowohl aus dieser Stelle wie aus II 123 12ff. — *κατὰ Θρήικας* 'nach Art der Thraken' (I 121 6).

11. *πανδοκεύοντα*, ein für hellenische Ohren sehr geringschätziger Ausdruck. Theophr. Char. 6 rechnet das *πανδοκεύειν* zu den *αἰσχρὰ ἔργα*.

13ff. Diese Unsterblichkeitslehre hat mit der pythagoreischen von der Seelenwanderung (II 123) wenig Aehnlichkeit, erinnert vielmehr an die nordische Vorstellung vom Vallhöll als dem seligen Aufenthalte der tapferen Männer nach ihrem Tode. Vgl. zu c. 94 2. — *τοῦτον*: zu II 135 13.

15. *τὰ πάντα ἀγαθά*: vgl. III 74 11. V 111 11.

20. *ἐπόθεον*, *desiderabant absentem*. *ὡς τεθνεῶτα* gehört nur zu *ἐπένθεον*.

21. Auf diese Stelle scheint hinzudeuten Soph. El. 62 *ἤδη γὰρ εἶ-*

σφι ἐγένετο τὰ ἔλεγε ὁ Σάλμοξις. ταῦτα φασί μιν ποιῆ- 96
σαι. ἐγὼ δὲ περὶ μὲν τούτου καὶ τοῦ καταγαίου οἰκή-
ματος οὔτε ἀπιστέω οὔτε ὦν πιστεύω τι λίην, δοκέω
δὲ πολλοῖσι ἔτεσι πρότερον τὸν Σάλμοξιν τοῦτον γενέ-
σθαι Πυθαγόρεω. εἴτε δὲ ἐγένετό τις Σάλμοξις ἄνθρω-
πος, εἴτ' ἐστὶ δαίμων τις Γέτῃσι οὗτος ἐπιχώριος,
χαιρέτω.

Οὗτοι μὲν δὴ τρόπῳ τοιούτῳ χρεόμενοι ὡς ἐχει- 97
ρώθησαν ὑπὸ Περσέων, εἵποντο τῷ ἄλλῳ στρατῷ·
Δαρεῖος δὲ ὡς ἀπίκετο καὶ ὁ πεζὸς ἅμ' αὐτῷ στρατὸς
ἐπὶ τὸν Ἴστρον, ἐνθαῦτα διαβάντων πάντων Δαρεῖος ἐκέ-
λευσε τούς τε Ἴωνας τὴν σχεδίην λύσαντας ἕπεσθαι κατ'
ἤπειρον ἑωυτῷ καὶ τὸν ἐκ τῶν νεῶν στρατόν. μελλόν-
των δὲ τῶν Ἰώνων λύειν καὶ ποιέειν τὰ κελευόμενα,
Κώης ὁ Ἐρξάνδρου στρατηγὸς ἐὼν Μυτιληναίων ἔλεξε
Δαρείῳ τάδε, πυθόμενος πρότερον εἴ οἱ φίλον εἴη γνώ-
μην ἀποδέκεσθαι παρὰ τοῦ βουλομένου ἀποδείκνυσθαι.
„ὦ βασιλεῦ, ἐπὶ γῆν γὰρ μέλλεις στρατεύεσθαι τῆς
οὔτε ἀρηρομένον φανήσεται οὐδὲν οὔτε πόλις οἰκεομένη·

δον πολλάκις καὶ τοὺς σοφοὺς Λόγῳ μάτην θνήσκοντας· εἶθ' ὅταν δόμους Ἔλθωσιν αὖθις, ἐκτετίμηνται πλέον.

96. Dafs diese hellenische Tradition über Salmoxis, deren spöttelnde Tendenz unverkennbar ist und deren Glaubhaftigkeit H. selber bedenklich findet, im Ganzen auf leichtsinnige Deutelei und Erdichtung beruht, im Einzelnen aber eigenthümlich getisch-thrakischer Sitte sich anschliefst, lehrt die bedeutend abweichende und aus besserer Quelle geschöpfte Darstellung Strabon's 297 f. In dieser erscheint Salmoxis zwar auch als Schüler des Pythagoras, selbst der Aegyptier, erwirbt sich aber das Zutrauen seines Volkes durch astronomische Kenntnisse, wird Beirath des Königs, Priester des höchsten Gottes, lebt in einer abgelegenen Grotte und leitet von dort aus König und Volk durch seine gottbegeisterten Aussprüche, selber als Gott verehrt. S. auch zu VII 111 8.

7. *χαιρέτω*, wie II 118 1.

97. 5. *Ἴωνας*, natürlich auch die Aeoler und die übrigen mitziehenden Hellenen (c. 89. 138); jene aber sind allein genannt als die zahlreichsten und namhaftesten. Ebenso c. 98 2. 133 4. 136 14 u. s.

8. *Μυτιληναίων*: die Insel mufs also damals schon ihre Unabhängigkeit verloren haben; ebenso Chios (c. 138 7).

9. Vgl. VII 101 15 ff. — *φίλον εἴη*, *liberet* (I 87 21).

12. *ἀρηρομένον*: die Form nach H. Il. σ 548. Die Behauptung war nur für die eigentlichen Skythen giltig; vgl. c. 17 ff. Ebenso *οὔτε πόλις οἰκεομένη*; c. 127 7. Die hellenischen Küstenstädte boten

σύ νυν γέφυραν ταύτην ἔα κατὰ χώρην ἑστάναι, φυλάκους αὐτῆς λιπὼν τούτους οἵπερ μιν ἔζευξαν. καὶ ἤν τε κατὰ νόον πρήξωμεν εὑρόντες Σκύθας, ἔστι ἄποδος ἡμῖν, ἤν τε καὶ μὴ σφεας εὑρεῖν δυνώμεθα, ἥ γε ἄποδος ἡμῖν ἀσφαλής· οὐ γὰρ ἔδεισά κω μὴ ἑσσωθέωμεν ὑπὸ Σκυθέων μάχῃ, ἀλλὰ μᾶλλον μὴ οὐ δυνάμενοί σφεας εὑρεῖν πάθωμέν τι ἀλώμενοι. καὶ τάδε λέγειν φαίη τις ἄν με ἐμεωυτοῦ εἵνεκεν, ὡς καταμένω· ἐγὼ δὲ γνώμην μὲν τὴν εὕρισκον ἀρίστην σοί, βασιλεῦ, ἐς μέσον φέρω, αὐτὸς μέντοι ἕψομαί τοι καὶ οὐκ ἂν λειφθείην.“ κάρτα δὲ ἥσθη τῇ γνώμῃ Δαρεῖος καί μιν ἀμείψατο τοισίδε. „ξεῖνε Λέσβιε, σωθέντος ἐμεῦ ὀπίσω ἐς οἶκον τὸν ἐμὸν ἐπιφάνηθί μοι πάντως, ἵνα σε ἀντὶ χρηστῆς συμβουλίης χρηστοῖσι ἔργοισι ἀμείψωμαι.“

98 ταῦτα δὲ εἴπας καὶ ἀπάψας ἅμματα ἑξήκοντα ἐν ἱμάντι, καλέσας ἐς λόγους τοὺς Ἰώνων τυράννους ἔλεγε τάδε. „ἄνδρες Ἴωνες, ἡ μὲν πρότερον γνώμη ἀποδεχθεῖσα ἐς τὴν γέφυραν μετείσθω μοι, ἔχοντες δὲ τὸν ἱμάντα τόνδε ποιέετε τάδε· ἐπεάν με ἴδητε τάχιστα πορευόμενον ἐπὶ Σκύθας, ἀπὸ τούτου ἀρξάμενοι τοῦ χρόνου λύετε ἅμμα ἓν ἑκάστης ἡμέρης· ἢν δὲ ἐν τούτῳ τῷ χρόνῳ μὴ παρέω ἀλλὰ διεξέλθωσι ὑμῖν αἱ ἡμέραι τῶν ἁμμάτων, ἀποπλέετε ἐς τὴν ὑμετέρην αὐτῶν. μέχρι δὲ τούτου, ἐπείτε οὕτω μετέδοξε, φυλάσσετε τὴν

treffliche Stützpunkte für den Feldzug.

13. *κατὰ χώρην*: zu III 135 18.

15. *ἤν κατὰ νόον πρήξωμεν* 'wenn es uns nach Wunsch geht'.

17. *οὐ — κω* hier 'keineswegs', = *οὔ κως*, *οὐδαμῶς*, wie bei Dichtern nicht selten. Od. π 161 *οὐ γάρ πω πάντεσσι θεοὶ φαίνονται ἐναργεῖς*. Tyrtaeos Fr. 11 *θαρσεῖτ', οὔ πω Ζεὺς αὐχένα λοξὸν ἔχει*. In derselben Verbindung noch I 153 2. IV 127 3.

19. Vgl. c. 46 11.

26. Erxandros erhielt später zur Belohnung die Tyrannis von Mytilene und verlor sein Leben im ionischen Aufstande (V 37).

98. *ἀπάψας* 'abbindend', in einer Reihe hintereinander.

9. *τῶν ἁμμάτων*, welche durch die Knoten angezeigt werden. Die Vorschrift erscheint von Seiten des Dareios durchaus unbesonnen und überflüssig, wenn er auf demselben Wege zurückzukehren gedachte. Wahrscheinlich hatte er (nach diesem Bericht) aber die Absicht, jenseit der Maeotis am Kaukasus vorbei durch Derbend nach Asien heimzuziehen.

σχεδίην, πᾶσαν προθυμίην σωτηρίης τε καὶ φυλακῆς παρεχόμενοι. ταῦτα δὲ ποιεῦντες ἐμοὶ μεγάλως χαριεῖσθε." Δαρεῖος μὲν ταῦτα εἴπας ἐς τὸ πρόσω ἠπείγετο.

Τῆς δὲ Σκυθικῆς γῆς ἡ Θρηίκη τὸ ἐς θάλασσαν 99
προκέεται· κόλπου δὲ ἀγομένου τῆς γῆς ταύτης, ἡ Σκυθική τε ἐκδέκεται καὶ ὁ Ἴστρος ἐκδιδοῖ ἐς αὐτήν, πρὸς εὖρον ἄνεμον τὸ στόμα τετραμμένος. τὸ δὲ ἀπὸ Ἴστρου

11. πᾶσαν προθυμίην. 'den gröfsten Eifer' (II 124 7. VII 6 7).
Der Inhalt der folgenden theils geographischen theils ethnographischen Episode
über Gestalt und Umfang Skythiens (c. 99–101) und über die es umwohnenden Völkerschaften (c. 102–117)
hätte seine Stelle schon oben c. 17 ff. finden können; der Vf. scheint aber diesen Zusammenhang für passender gehalten zu haben, um den Leser mit den Weglängen, welche die Perser zurücklegen, und mit den Völkerschaften, deren Gebiete sie berühren mufsten, bekannt zu machen.

99. 'Weiter als das skythische Land liegt Thrakien ins Meer hinaus; indem sich aber eine Bucht dieses Landes zieht, fängt Skythien an und fliefst der Istros in selbiges hinein mit seiner Mündung gegen Südost gewendet'. Der Sinn dieser Worte, zu deren Verständnifs wohl eine ursprünglich zugefügte Kartenskizze vorausgesetzt wird (vgl. zu c. 36 10), ist: die Gränze Skythiens gegen das benachbarte Thrakien ist da, wo die Westküste dieses (gegen Süden) weiter ins Meer (Pontos und Mittelmeer) vortretenden Landes in der Nähe der Istros-mündung sich busenförmig einbiegt und so den Uebergang bildet zu der Südküste Skythiens. — Zu τῆς Σκ. γῆς — προκέεται vgl. II 12 τὴν Αἴγυπτον προκειμένην τῆς ἐχομένης γῆς. — τὸ ἐς θάλασσαν, adverbial, 'meerwärts, ins Meer hinaus', wie 4 τὸ ἀπὸ Ἴστρου, 8 τὸ ἀπὸ ταύτης, 10 τὸ ἐς Πόντον; c. 19 τὸ πρὸς τὴν ἠῶ, 38 τὸ πρὸς ἑσπέρης, τὰ ἐς θάλασσαν, c. 45 τὰ πρὸς ἥλιον ἀνατέλλοντα, c. 100 τὸ ἀπὸ Ταυρικῆς, 101 τὸ ἀπὸ θαλάσσης, und ähnliches häufig. Mit ὁ Ἴστρος ἐκδιδοῖ ist nicht blofs der Küstenpunkt bezeichnet, wo die thrakische und skythische Seeküste aneinander gränzen, sondern überhaupt die beide Länder scheidende Linie, welche eben der Südostlauf des Stromes bildet; vgl. c. 49 ἐς τὰ πλάγια τῆς Σκυθικῆς ἐσβάλλει. Denn, bedeutend abweichend von der Wirklichkeit, denkt sich H., dafs der Istros, entsprechend dem Nile (II 33 f. IV 49), seinen im äufsersten Westen begonnenen östlichen Lauf hoch im Norden nach Südosten umbiege und von da an, als der westlichste unter den skythischen Strömen (c. 48 3) und als Westgränze gegen Thrakien, zum Meere hinabfliefse. Bei dieser Wendung des Stromes rückt die Gränze Thrakiens, das nun auch westlich von Skythien zu liegen kommt, weit nach Norden hinauf; die Thraken werden, analog ihrem weiten Gebiete, das gröfste Volk der Erde nächst den Indern (V 3), und nördlich vom Istros, wo in Wahrheit das Land der Skythen (Wallachei) und Agathyrsen (Siebenbürgen) lag, denkt sich H. eine unbegränzte bis zum Nordpol ziehende Einöde (V 9 f.). — πρὸς εὖρον ἄνεμον: für H.'s auf Symmetrie ange-

ἔρχομαι σημανέων τὸ πρὸς θάλασσαν αὐτῆς τῆς Σκυθικῆς χώρης ἐς μέτρησιν. ἀπὸ Ἴστρου αὕτη ἤδη ἡ ἀρχαίη Σκυθίη ἐστί, πρὸς μεσαμβρίην τε καὶ νότον ἄνεμον κειμένη, μέχρι πόλιος καλεομένης Καρκινίτιδος. τὸ δὲ ἀπὸ ταύτης τὴν μὲν ἐπὶ θάλασσαν τὴν αὐτὴν φέρουσαν, ἐοῦσαν ὀρεινήν τε χώρην καὶ προκειμένην τὸ ἐς Πόντον, νέμεται τὸ Ταυρικὸν ἔθνος μέχρι χερσονήσου τῆς τρηχέης καλεομένης· αὕτη δὲ ἐς θάλασσαν τὴν πρὸς ἀπηλιώτην ἄνεμον κατήκει. ἔστι γὰρ τῆς Σκυθικῆς τὰ δύο μέρεα τῶν οὔρων ἐς θάλασσαν φέροντα, τήν

legtes geographisches System wäre *πρὸς νότον ἄνεμον* zutreffender gewesen (vgl. II 33 f.); es war aber die südöstliche Richtung des untersten Donaulaufes damals schon zu sicher bekannt.

5. *τὸ πρὸς θάλασσαν* 'die Seeseite, Meeresküste', *τὰ παραθαλάσσια*. — *αὐτῆς τῆς Σκ.* 'des eigentlichen Skythiens', mit Ausscheidung des nicht von Skythen bewohnten taurischen Landes.

6. *ἐς μέτρησιν*, zur Bestimmung, Berechnung der Gröfse; vgl. c. 86 1. Sie folgt c. 101. — *ἀπὸ Ἴστρου*, vom Istros ab ostwärts. — *αὕτη*, die in Rede stehende. — *ἀρχαίη* hier 'ursprüngliche, eigentliche', wie vorher *αὐτῆς τῆς Σκ.* Vgl. I 75 20. II 24 4. VII 184 6. IX 48 1. Eine Unterscheidung einer *ἀρχαίη* ('alten') und *νέη Σκυθίη* kennt das Alterthum nicht.

7. *πρὸς μεσαμβρίην τε καὶ νότον ἄνεμον*: zu I 201 4.

8 ff. Das herodoteische Bild der Krimm ist von dem wirklichen bedeutend verschieden. Er kennt sie nur als ein die west-östliche Linie der skythischen Küste unterbrechendes, ins Meer vorspringendes **Gebirgsland** (10), als eine der südöstlichen Ecke des flachen skythischen Vierecks (c. 101 2) anliegende hohe *ἀκτή* (vgl. zu c. 37 1), und weifs nicht, dafs sie im Norden durch das von zwei Seiten eindringende Meer vom Festlande fast inselartig abgeschnitten wird. Für ihn liegt die Stadt Karkinitis (vgl. zu c. 55 3) ungefähr wo heute Eupatoria, und man erkennt Lage und Umfang seiner *Ταυρική*, wenn man sich von jener Stadt aus ostwärts eine Linie bis Kaffa gezogen und dieselbe soweit nach Norden hinaufgerückt denkt, dafs sie als eine östliche Fortsetzung der skythischen Südküste erscheint. Die taurische Steppe fällt für diese Vorstellung fast ganz weg.

9. *τὴν αὐτήν*, wie die *ἀρχαίη Σκυθίη*, nämlich zum Pontus.

11 ff. *χερσονήσου τῆς τρηχέης*, nicht etwa der herakleotischen Stadt *Χερσόνησος* auf der südwestlichen Spitze der Halbinsel, wie freilich schon Stephanos Byz. s. v. die Stelle aufgefafst zu haben scheint, sondern die östliche Halbinsel (Kertsch). Die Taurer wohnten von der Stadt Karkinitis ostwärts bis da, 'wo die 'rauhe Chersonesos' begann, d. i. bis Theodosia (Strab. 309). — *θάλασσαν τὴν πρὸς ἀπηλιώτην ἄνεμον* = *τὴν πρὸς ἠῶ* (15) oder *τὴν ἠοίην* (c. 100 3), den kimmerischen Bosporos und die Maeotis, die H. auch der Gröfse nach für ein dem Pontos ziemlich ebenbürtiges Meer hält (c. 86 16). — *τῆς Σκυθικῆς*, zu der auch die *χερσόνησος τρηχέη* gehört (c. 100).

14. *τὰ δύο μέρεα* 'zwei Viertel';

τε πρὸς μεσαμβρίην καὶ τὴν πρὸς τὴν ἠῶ, κατά περ τῆς Ἀττικῆς χώρης [καὶ παραπλήσια ταύτῃ]· καὶ οἱ Ταῦροι νέμονται τῆς Σκυθικῆς, ὡς εἰ τῆς Ἀττικῆς ἄλλο ἔθνος καὶ μὴ Ἀθηναῖοι νεμοίατο τὸν γουνὸν τὸν Σουνιακόν, μᾶλλον ἐς τὸν πόντον [τὴν ἄκρην] ἀνέχοντα, τὸν ἀπὸ Θορικοῦ μέχρι Ἀναφλύστου δήμου. λέγω δὲ ὡς εἶναι ταῦτα σμικρὰ μεγάλοισι συμβαλεῖν. τοιοῦτο ἡ Ταυρική ἐστι. ὃς δὲ τῆς Ἀττικῆς ταῦτα μὴ παραπέπλωκε, ἐγὼ δὲ ἄλλως δηλώσω· ὡς εἰ τῆς Ἰηπυγίης ἄλλο ἔθνος καὶ μὴ Ἰήπυγες ἀρξάμενοι ἐκ Βρεντεσίου λιμένος ἀποταμοίατο μέχρι Τάραντος καὶ νεμοίατο τὴν ἄκρην. δύο δὲ λέγων ταῦτα πολλὰ λέγω παρόμοια, τοῖσι

denn Skythien ist vierseitig (c. 101 2). — *οὔρων*: zu III 4 7.

16. *τῆς Ἀττικῆς χώρης* abhängig von *τὰ δύο μέρεα τῶν οὔρων*; nur ist Attika nicht wie Skythien vierseitig, sondern ähnelt eher einem Dreieck, also 'zwei Drittel'. — *καὶ παραπλήσια ταύτῃ* schrieb Jemand als Hindeutung auf 26 an den Rand.

17. *τῆς Σκυθικῆς*, *genit. partit.*, nämlich einen Vorsprung (*γουνόν*, *ἀκτήν*), was sich aus dem Folgenden ergänzt.

18. *Ἀθηναῖοι* = *Ἀττικοί*; vgl. zu V 57 9. 62 7. VIII 65 4. — Etym. M. p. 233 5 *λέγεται δὲ γουνὸς ὁ ὑψηλὸς τόπος ἀπὸ μεταφορᾶς τῶν ἐν τῷ σώματι γονάτων ἃ ἔξεχει.*

19. *μᾶλλον — ἀνέχοντα* enthält eine zweite Voraussetzung 'wenn er sich mehr ins Meer hinaus erhöbe', als er wirklich sich erhebt, und so der taurischen Akte an Größe und Höhe vergleichbar würde. — *τὴν ἄκρην*, wohl eine nach 25 *νεμοίατο τὴν ἄκρην* gebildete Randglosse zu *τὸν γουνόν*. Denn *ἀνέχειν*, *prominere*, steht sonst intransitiv.

20. In der Nähe von Anaphlystos an der westlichen wie bei Thorikos an der östlichen Seite zieht sich die Küste busenförmig ein, so daß sich die Spitze der Halbinsel gewissermaßen wie eine abgesonderte Landschaft betrachten läßt. Ausser den beiden genannten lagen hier die Demen *Ἀζηνία* und *Σούνιον*.

21. *ὡς εἶναι*, *quatenus licet* (II 10 7). — *τοιοῦτο*: V 92 η 27 *τοιοῦτο μὲν ὑμῖν ἐστὶ ἡ τυραννίς*.

23. *ἐγὼ δέ*, wie III 37 8. — *ὡς εἰ . .*: dazu ist als Hauptsatz *οἱ Ταῦροι νέμονται τῆς Σκυθικῆς* (17) wiederholt zu denken.

24 ff. Strab. 282 *ἔοικεν οὖν χερρονήσῳ τὸ περιπλεόμενον χωρίον ἐκ Τάραντος εἰς Βρεντέσιον· ἡ δὲ ἐκ Βρεντεσίου πεζευομένη ὁδὸς εἰς τὸν Τάραντα, εὐζώνῳ μιᾶς οὖσα ἡμέρας, τὸν ἰσθμὸν ποιεῖ τῆς εἰρημένης χερρονήσου.* — *ἀποταμοίατο*, für sich als Eigenthum; vgl. I 82 6. — *μέχρι Τάραντος*, durch eine Linie quer über die Halbinsel. — Dieser zweite Vergleich entspricht der zu erläuternden Figur Tauriens besser als der erste. Denn wie die langgestreckte Nordküste Iapygiens der angenommenen Ostküste Skythiens entspricht, so bildet anderseits Taras ebenso einen Wendepunkt der jenseitigen Küstenlinie wie dort Karkinitis (8). — *τοῖσι ἄλλοισι* st. *ἄλλα τοῖσι* (I 57 8).

100 ἄλλοισι οἴκε ἡ Ταυρική. τὸ δ' ἀπὸ τῆς Ταυρικῆς ἤδη Σκύθαι τὸ κατύπερθε τῶν Ταύρων καὶ τὰ πρὸς θαλάσσης τῆς ἠοίης νέμονται, τοῦ τε Βοσπόρου τοῦ Κιμμερίου τὰ πρὸς ἑσπέρης καὶ τῆς λίμνης τῆς Μαιήτιδος μέχρι Τανάιδος ποταμοῦ, ὃς ἐκδιδοῖ ἐς μυχὸν τῆς λίμνης ταύτης. ἤδη ὦν ἀπὸ μὲν Ἴστρου τὰ κατύπερθε ἐς τὴν μεσόγαιαν φέροντα ἀποκληίεται ἡ Σκυθικὴ ὑπὸ πρώτων Ἀγαθύρσων, μετὰ δὲ Νευρῶν, ἔπειτα δὲ Ἀν-
101 δροφάγων, τελευταίων δὲ Μελαγχλαίνων. ἔστι ὦν τῆς Σκυθικῆς ὡς ἐούσης τετραγώνου, τῶν δύο μερέων κατηκόντων ἐς θάλασσαν, πάντῃ ἴσον τό τε ἐς τὴν μεσόγαιαν φέρον καὶ τὸ παρὰ τὴν θάλασσαν. ἀπὸ γὰρ Ἴστρου ἐπὶ Βορυσθένεα δέκα ἡμερέων ὁδός, ἀπὸ Βορυσθένεός τε ἐπὶ τὴν λίμνην τὴν Μαιῆτιν ἑτερέων δέκα· καὶ τὸ ἀπὸ θαλάσσης ἐς μεσόγαιαν ἐς τοὺς Μελαγχλαίνους τοὺς κατύπερθε Σκυθέων οἰκημένους εἴκοσι ἡμερέων ὁδός. ἡ δὲ ὁδὸς ἡ ἡμερησίη ἀνὰ διηκόσια στάδια συμβέβληταί μοι. οὕτω ἂν εἴη τῆς Σκυθικῆς τὰ ἐπι-

100. 2. *Σκύθαι*, insbesondere die *βασιλήιοι* (c. 20 5 f.).

3 ff. *τοῦ τε Βοσπόρου — Τανάιδος ποταμοῦ*, nähere Ausführung der Worte *πρὸς θαλάσσης τῆς ἠοίης*. — *τὰ πρὸς ἑσπέρης*, die *χερσόνησος τρηχέη* (c. 99 11). — Vgl. zu c. 20 9. 21 3.

6 ff. 'Vom Istros an wird Skythien in Bezug auf seinen ins Binnenland hinauf reichenden Theil begränzt'. Nachdem c. 99 die West- und Süd-, c. 100 1–5 die Ostgränze bestimmt ist, wird jetzt die Nordgränze hinzugefügt. — *πρώτων*, im NW.; *τελευταίων*, im NO.

101. 2. *ὡς ἐούσης τετραγώνου* 'unter der Voraussetzung, daſs es ein Quadrat sei, als Quadrat angenommen'. Daſs es genau ein Quadrat bilde, konnte H. nicht behaupten. Auch gibt er nur die Ausdehnung der Süd- und Ostseite an.

3 f. *πάντῃ*: zu I 126 4. — *τὸ ἐς μεσόγαιαν φέρον*, die Linie von der Süd- zur Nordgränze; *τὸ παρὰ θάλασσαν*, die Linie von der West- zur Ostgränze. In chiastischer Folge erhält erst diese, dann jene ihre nähere Bestimmung.

5. *ἀπὸ Ἴστρου*, nämlich von seiner Mündung; dasselbe gilt vom Borysthenes (vgl. c. 17 2). Auf diese beiden Punkte paſst denn auch die Angabe ziemlich genau.

6. *ἑτερέων δέκα*: zu c. 19 6. Von der Borysthenes-mündung bis zur Maeotis beträgt die gerade Entfernung kaum 30 Meilen.

7. *τὸ ἀπὸ θαλάσσης*, vom Südwestende des kimmerischen Bosporos. — *Μελαγχλαίνους*: zu c. 20 9.

9. *διηκόσια στάδια*: V 53 werden nur 150 auf die Tagereise gerechnet. Aber dort gilt der Ansatz für eine fast durchgängig gebirgige Straſse und für den Marsch eines Heeres; hier läuft der Weg durch Flachland und wird, wie es scheint, für einen *εὔζωνος ἀνήρ* (I 72 13) berechnet.

10 f. *οὕτω ἂν εἴη*, die Quadratur

κάρσια τετρακισχιλίων σταδίων καὶ τὰ ὄρθια τὰ ἐς τὴν μεσόγαιαν φέροντα ἑτέρων τοσούτων σταδίων. ἡ μέν νυν γῆ αὕτη ἐστὶ μέγαθος τοσαύτη.

Οἱ δὲ Σκύθαι δόντες σφίσι λόγον ὡς οὐκ οἷοί τε 102
εἰσὶ τὸν Δαρείου στρατὸν ἰθυμαχίῃ διώσασθαι μοῦνοι, ἔπεμπον ἐς τοὺς πλησιοχώρους ἀγγέλους· τῶν δὲ καὶ δὴ οἱ βασιλέες συνελθόντες ἐβουλεύοντο ὡς στρατοῦ ἐπελαύνοντος μεγάλου. ἦσαν δὲ οἱ συνελθόντες βασιλέες Ταύρων καὶ Ἀγαθύρσων καὶ Νευρῶν καὶ Ἀνδροφάγων καὶ Μελαγχλαίνων καὶ Γελωνῶν καὶ Βουδίνων καὶ Σαυρομάτέων. τούτων Ταῦροι μὲν νόμοισι τοιοισίδε χρέ- 103
ονται. θύουσι μὲν τῇ παρθένῳ τούς τε ναυηγοὺς καὶ τοὺς ἂν λάβωσι Ἑλλήνων ἐπαναχθέντες τρόπῳ τοιῷδε· καταρξάμενοι ῥοπάλῳ παίουσι τὴν κεφαλήν. οἱ μὲν

des Landes vorausgesetzt. — *τὰ ἐπικάρσια*, der Querdurchschnitt, die Ausdehnung von W. nach O. Was H. nur von der Ausdehnung einer Linie berichten kann, will er auf die ganze Fläche übertragen.

102. *δόντες σφίσι λόγον*: zu I 34 11.

2. *ἰθυμαχίῃ* 'in offener Schlacht'; noch c. 120 2, wo erklärend *ἐκ τοῦ ἐμφανέος* hinzutritt. Das Adjectiv bei Simonides Fr. 140 *ἰθυμάχων πολιητᾶν*, Pind. Ol. VII 15 *εὐθυμάχαν – ἄνδρα*.

3f. *καὶ δή = ἤδη*, 'auch schon' (VII 196 5. VIII 94 14. IX 6 5. 11 14. 48 8. 66 14. 89 2. 102 6).

6f. Der widerspruchsvolle Charakter der ganzen Erzählung (zu c. 122 3) tritt schon hier hervor. Die aufgezählten Völker umwohnen die Skythen im Norden, Osten und Süden; nichtsdestoweniger kommen sie zu einer Berathung zusammen, von der das Centralvolk ausgeschlossen bleibt.

103. Die Nachrichten über die Taurer wird H. direct oder indirect von Einwohnern der in ihrer Nachbarschaft, in Chersonesos (zu c. 99 11), angesiedelten Herakleoten eingezogen haben. Dafs er die Halbinsel selber besucht oder auch nur umschifft habe, ist unwahrscheinlich. — *τῇ παρθένῳ*, der jungfräulichen Göttin, welche die Hellenen ihrer Artemis verglichen. Auch bei den Chersonesiten genofs sie eines ausgezeichneten Dienstes, und scheint auch hier schlechthin 'die Jungfrau' genannt worden zu sein. Strab. 308 (*ἐν Χερρονήσῳ*) *τὸ τῆς παρθένου ἱερόν, δαίμονός τινος, ἧς ἐπώνυμος καὶ ἡ ἄκρα ἡ πρὸ τῆς πόλεώς ἐστιν ἐν σταδίοις ἑκατὸν καλουμένη Παρθένιον, ἔχον νεὼν τῆς δαίμονος καὶ ξόανον.*

3f. *ἐπαναχθέντες*, *in altum provecti*. VII 194 *ἐπαναχθέντες εὐπετέως σφέας εἷλον*, IX 98 9. Sie waren sowohl Strand- als Seeräuber. Strab. 308 vom Hafen von Balaklava: *λιμὴν στενόστομος, καθ' ὃν μάλιστα οἱ Ταῦροι, Σκυθικὸν ἔθνος, τὰ ληστήρια συνίσταντο τοῖς καταφεύγουσιν ἐπ' αὐτὸν ἐπιχειροῦντες.* Tac. Ann. XII 17 *navium quasdam . . in litora Taurorum delatas circumvenere barbari.* — *καταρξάμενοι*: zu II 45 6.

δὴ λέγουσι ὡς τὸ σῶμα ἀπὸ τοῦ κρημνοῦ ὠθέουσι κά-
τω (ἐπὶ γὰρ κρημνοῦ ἵδρυται τὸ ἱρόν), τὴν δὲ κεφα-
λὴν ἀνασταυροῦσι· οἱ δὲ κατὰ μὲν τὴν κεφαλὴν ὁμο-
λογέουσι, τὸ μέντοι σῶμα οὐκ ὠθέεσθαι ἀπὸ τοῦ κρη-
μνοῦ λέγουσι ἀλλὰ γῇ κρύπτεσθαι. τὴν δὲ δαίμονα ταύ-
την τῇ θύουσι λέγουσι αὐτοὶ Ταῦροι Ἰφιγένειαν τὴν
Ἀγαμέμνονος εἶναι. πολεμίους δὲ ἄνδρας τοὺς ἂν χει-
ρώσωνται ποιεῦσι τάδε· ἀποταμὼν ἕκαστος κεφαλὴν
ἀποφέρεται ἐς τὰ οἰκία, ἔπειτα ἐπὶ ξύλου μεγάλου ἀνα-
πείρας ἱστᾷ ὑπὲρ τῆς οἰκίης ὑπερέχουσαν πολλόν, μά-
λιστα δὲ ὑπὲρ τῆς καπνοδόκης. φασὶ δὲ τούτους φυλά-
κους τῆς οἰκίης πάσης ὑπεραιωρέεσθαι. ζώουσι δὲ ἀπὸ
104 ληίης τε καὶ πολέμου. Ἀγάθυρσοι δὲ ἁβρότατοι ἄν-
δρες εἰσὶ καὶ χρυσοφόροι τὰ μάλιστα, ἐπίκοινον δὲ τῶν
γυναικῶν τὴν μῖξιν ποιεῦνται, ἵνα κασίγνητοί τε ἀλλή-
λων ἔωσι καὶ οἰκήιοι ἐόντες πάντες μήτε φθόνῳ μήτ'
ἔχθεϊ χρέωνται ἐς ἀλλήλους. τὰ δὲ ἄλλα νόμαια Θρήιξι
105 προσκεχωρήκασι. Νευροὶ δὲ νόμοισι μὲν χρέονται Σκυ-
θικοῖσι, γενεῇ δὲ μιῇ πρότερόν σφεας τῆς Δαρείου
στρατηλασίης κατέλαβε ἐκλιπεῖν τὴν χώρην πᾶσαν ὑπὸ
ὀφίων· ὄφιας γάρ σφι πολλοὺς μὲν ἡ χώρη ἀνέφαινε,

9. *γῇ κρύπτουσι = θάπτουσι* (I 140 7. V 4 9. 8 4).

10. *αὐτοὶ Ταῦροι*, nicht die Hellenen, in deren Sage Iphigeneia nur Priesterin der Göttin war.

104. Die Agathyrsen müssen, nach H.'s Andeutungen (c. 100. 125), zwischen Istros und Tyras, westlich von den Neuren, also in Siebenbürgen gesessen haben, worauf auch der bei ihnen entspringende Fluss Maris (zu c. 49 2) sowie ihr Goldreichthum (*χρυσοφόροι*) hinweisen. Von der Beschaffenheit ihres Landes findet sich bei H. nur eine ihm selbst unbewufste Andeutung (zu c. 125 24). Niebuhr kl. Schr. I 377 hält sie für thrakische Daker. — *ἁβρότατοι* scheint auf eine vorgeschrittene äufsere Cultur zu deuten, nicht geradeauf Verweichlichung; vgl. ihr Benehmen gegen die Skythen c. 125.

3f. Aus demselben Grunde verwirft Platon rep. p. 464f. in seinem Idealstaate die Einzelehe.

5. 'in Bezug auf die übrigen Sitten'; vgl. zu I 172 3. — Von den Sitten der Thraken s. V 3ff. Mela II 10 *Agathyrsi ora artusque pingunt, ut quique maioribus praestant, ita magis aut minus; ceterum iisdem omnes notis et sic ut ablui nequeant* (vgl. Her. V 6 6).

105. Von den Neuren zu c. 51 4.

3. *κατέλαβε*: zu III 65 4. — *ἐκλιπεῖν – ὑπό*: vgl. *φεύγειν ὑπό τινος* (c. 125 13).

4. *ἀνέφαινε = ἀνεδίδου, ἀνίει* (III 18 7).

οἱ δὲ πλεῦνες ἄνωθέν σφι ἐκ τῶν ἐρήμων ἐπέπεσον, ἐς
ὃ πιεζόμενοι οἴκησαν μετὰ Βουδίνων τὴν ἑωυτῶν ἐκλι-
πόντες. κινδυνεύουσι δὲ οἱ ἄνθρωποι οὗτοι γόητες εἶ-
ναι· λέγονται γὰρ ὑπὸ Σκυθέων καὶ Ἑλλήνων τῶν ἐν
τῇ Σκυθικῇ κατοικημένων ὡς ἔτεος ἑκάστου ἅπαξ τῶν
Νευρῶν ἕκαστος λύκος γίνεται ἡμέρας ὀλίγας καὶ αὖτις
ὀπίσω ἐς τὠυτὸ κατίσταται. ἐμὲ μέν νυν ταῦτα λέγον-
τες οὐ πείθουσι, λέγουσι δὲ οὐδὲν ἧσσον, καὶ ὀμνῦσι δὲ
λέγοντες. Ἀνδροφάγοι δὲ ἀγριώτατα πάντων ἀνθρώ- 106
πων ἔχουσι ἤθεα, οὔτε δίκην νομίζοντες οὔτε νόμῳ οὐ-
δενὶ χρεόμενοι. νομάδες δέ εἰσι, ἐσθῆτα δὲ φορέουσι
τῇ Σκυθικῇ ὁμοίην, γλῶσσαν δὲ ἰδίην, ἀνδροφαγέουσι
δὲ μοῦνοι τούτων. Μελάγχλαινοι δὲ εἵματα μὲν μέ- 107
λανα φορέουσι πάντες, ἐπ' ὧν καὶ τὰς ἐπωνυμίας
ἔχουσι, νόμοισι δὲ Σκυθικοῖσι χρέονται. Βουδῖνοι δὲ 108

5. *ἐκ τῶν ἐρήμων*: zu c. 17 11.

6. H. scheint hier zwei Widersprüche übersehen zu haben, erstens dafs die Budinen nach seinen Angaben nicht etwa Nachbaren der Neuren, sondern jenseits des Tanais ansefsig waren (c. 21), und zweitens dafs er letztere zu seiner Zeit, etwa 100 J. nach der Auswanderung, wieder ihre alten Sitze innehaben läfst (c. 17. 51. 125). Es liegt vielleicht ein Irrthum oder eine irrige Nachricht über die Sitze der Budinen zu Grunde. Nämlich Ptolemaeos III 5 24 setzt die *Βωδινοί* (= *Βουδινοί*) nicht jenseits des Don, sondern zwischen Dnjepr und Desna, also in die östliche Nachbarschaft der Neuren, und auch Ammianus Marc. XXXI 2 14 bezeugt nach irgend einer uns unbekannten Quelle: *post* (*Neuros*) *Budini sunt et Geloni.* Vgl. auch zu c. 108 11.

7. *κινδυνεύουσι = δοκέουσι.* In dieser den Attikern geläufigen Bedeutung nur hier.

8ff. Die Sage erklärt sich aus dem sowohl bei Hellenen und Italern als bei den nordischen Völkern verbreiteten Aberglauben an die Verwandlung in Werwölfe (*λυκάνθρωποι, versipelles*). — *ἡμέρας ὀλίγας*: in der deutschen Sage neun Tage. — *αὖθις*: andere La. *λυθείς*. — *ἐς τὠυτό*, sc. *ἐς τὴν ἀνθρωπηίην ἰδέην*.

106. Von den Androphagen zu c. 18 11.

2. *ἤθεα* 'Sitten'. — *νομίζοντες utentes*, 'pflegend' (II 42 18).

4. *τῇ Σκυθικῇ*: zu c. 78 21. — *γλῶσσαν*, zeugmatisch mit *φορέουσι* verbunden; sonst *ἱεῖσι, ἔχουσι, νομίζουσι.* Vgl. I 32 35.

5. *τούτων = τῶν ταύτῃ* (c. 109 4).

107. Von den Melanchlaenen zu c. 20 9. — Dio Chrys. p. 439 *ἄνωθεν δὲ τῶν ὤμων ἱμάτιον μικρὸν μέλαν* (*εἶχε*), *λεπτόν, ὥσπερ εἰώθασιν οἱ Βορυσθενῖται· χρῶνται δὲ καὶ τῇ ἄλλῃ ἐσθῆτι μελαίνῃ ὡς τὸ πολὺ ἀπὸ γένους τινὸς Σκυθῶν τῶν Μελαγχλαίνων, ὥς ἐμοὶ δοκοῦσι, κατὰ τοῦτο ὀνομασθέντων ὑπὸ τῶν Ἑλλήνων.*

108. Von den Budinen zu c. 21 6. Vgl. zu c. 105 6.

ἔθνος ἐὸν μέγα καὶ πολλὸν γλαυκόν τε πᾶν ἰσχυρῶς ἐστι καὶ πυρρόν. πόλις δὲ ἐν αὐτοῖσι πεπόλισται ξυλίνη, οὔνομα δὲ τῇ πόλι ἐστὶ Γελωνός· τοῦ δὲ τείχεος μέγαθος κῶλον ἕκαστον τριήκοντα σταδίων ἐστί, ὑψηλὸν δὲ καὶ πᾶν ξύλινον, καὶ οἰκίαι αὐτῶν ξύλιναι καὶ τὰ ἱρά. ἔστι γὰρ δὴ αὐτόθι Ἑλληνικῶν θεῶν ἱρὰ Ἑλληνικῶς κατεσκευασμένα ἀγάλμασί τε καὶ βωμοῖσι καὶ νηοῖσι ξυλίνοισι, καὶ τῷ Διονύσῳ τριετηρίδας ἀνάγουσι καὶ βακχεύουσι. εἰσὶ γὰρ οἱ Γελωνοὶ τὸ ἀρχαῖον Ἕλληνες, ἐκ τῶν δὲ ἐμπορίων ἐξαναστάντες οἴκησαν ἐν τοῖσι Βουδίνοισι· καὶ γλώσσῃ τὰ μὲν Σκυθικῇ τὰ δὲ Ἑλληνικῇ χρέονται. Βουδῖνοι δὲ οὐ τῇ αὐτῇ γλώσσῃ
109 *χρέονται καὶ Γελωνοί, οὐδὲ δίαιτα ἡ αὐτή. οἱ μὲν γὰρ Βουδῖνοι ἐόντες αὐτόχθονες νομάδες τε εἰσὶ καὶ φθειροτραγέουσι μοῦνοι τῶν ταύτῃ, Γελωνοὶ δὲ γῆς τε ἐρ-*

2f. *μέγα καὶ πολλόν*, verbunden wie c. 109 9. S. zu VII 14 8. — *γλαυκὸν* (sc. *τὰ ὄμματα*, 'helläugig') – *πυρρόν ἐστι*, zur Apposition construirt. — *πυρρόν* 'schmutziggelb' (*Neum.* I 155) geht hier auf die Hautfarbe (vgl. c. 109 6). Hippokr. *περὶ ἀέρ.* 20 *πυρρὸν δὲ τὸ γένος ἐστὶ τὸ Σκυθικὸν διὰ τὸ ψῦχος, οὐκ ἐπιγινομένου ὀξέος τοῦ ἡλίου· ὑπὸ δὲ τοῦ ψύχεος ἡ λευκότης ἐπικαίεται καὶ γίνεται πυρρή.* — *ἐν αὐτοῖσι*, in ihrem Lande. — *πόλις πεπόλισται*, wie V 52 34. VII 59 11. 108 8. 199 5. Il. υ 219 *Ἴλιος ἱρὴ Ἐν πεδίῳ πεπόλιστο.*

5. *κῶλον ἕκαστον*, der vierseitigen Ringmauer; vgl. II 126 12. 134 2. IV 62 7.

6. 'wie auch das heutige Saratow über hundert Jahre hindurch eine hölzerne Festung mit Thürmen und Thoren hatte'. *Neum.* I 61.

8f. Alter, Gottesbild und Gotteshaus waren die drei wesentlichen Theile eines hellenischen Tempels. Vgl. I 131 2. II 4 12. IV 59 12. — *νηοῖσι*: zu I 181 15. — *τριετηρίδας ἀνάγουσι* = *ὁρτὰς ἀνάγουσι διὰ τριετηρίδος* oder *διὰ τρίτου ἔτεος* (vgl. zu III 97 19). Die orgiastischen Dionysos-feste waren durchgängig trieterisch und fielen in die Mitte des Winters. Ovid. Fast. I 393 *festa corymbiferi celebrabas Graecia Bacchi, Tertia quae solito tempore bruma refert.*

11. *ἐξαναστάντες*, ob 'vertrieben' oder 'ausgewandert' (vgl. c. 115 9), bleibt unklar. Uebrigens empfiehlt auch diese Thatsache, das Land der Budinen am Borysthenes zu suchen; zu c. 105 6. Die *ἐμπόρια* sind dann Olbia, Tyras u. a. (c. 24).

12. *τὰ μὲν – τὰ δέ* 'halb – halb'. Vgl. III 80 16.

109. 2. *φθειροτραγέουσι*, Gegensatz zu *σιτοφάγοι*, kann also nicht wohl 'Läuseesser' erklärt werden. Für 'Fichtenzapfenesser' (vgl. I 66 die arkadischen *βαλανηφάγοι*) spricht auch dies, dafs Strab. 492. 499 und Arrian. Peripl. Pont. Eux. 27 am Kaukasos in der Nähe von *Πιτυοῦς* ('Fichtenstadt') einen Volksstamm unter dem Namen

γάται καὶ σιτοφάγοι καὶ κήπους ἐκτημένοι, οὐδὲν τὴν ἰδέην ὁμοῖοι οὐδὲ τὸ χρῶμα. ὑπὸ μέντοι Ἑλλήνων καλέονται καὶ οἱ Βουδῖνοι Γελωνοί, οὐκ ὀρθῶς καλεόμενοι. ἡ δὲ χώρη σφέων πᾶσά ἐστι δασέα ἴδῃσι παντοίῃσι· ἐν δὲ τῇ ἴδῃ τῇ πλείστῃ ἐστὶ λίμνη μεγάλη τε καὶ πολλὴ καὶ ἕλος καὶ κάλαμος περὶ αὐτήν. ἐν δὲ ταύτῃ ἐνύδριες ἁλίσκονται καὶ κάστορες καὶ ἄλλα θηρία τετραγωνοπρόσωπα, τῶν τὰ δέρματα παρὰ τὰς σισύρας παραρράπτεται, καὶ οἱ ὄρχιες αὐτοῖσι εἰσὶ χρήσιμοι ἐς ὑστερέων ἄκεσιν.

φθειροφάγοι kennen, jener freilich mit dem Znsatze *ἀπὸ τοῦ αἰχμοῦ καὶ τοῦ πίνου λαβόντες τοὔνομα*. Phot. lex. *φθείρ, ὁ τῆς πίτυος καρπός*. Theophr. hist. pl. II 2 6 rechnet die *πίτυς φθειροποιός* zu den zahmen Bänmen. Baum and Frucht waren nlsn von besnnderer Art.

5f. *χρῶμα*: zu e. 108 3. — *'Ελλήνων*: vgl. zn e. 10 8. H.'s Bemerkung vermnchte nicht den angeblichen lrrthum zu verdrängen; denn schon Ephoros (4. Jahrh. v. Chr.) bei Skymnna Ch. 823 verhindet *τὸ Σαυροματῶν καὶ τῶν Γελωνῶν καὶ τρίτον Τὸ τῶν Ἀγαθύρσων ἐπικαλούμενον γένος*, and ähnlich die Späteren.

7ff. 'Bedentende Wälder haben sich hier bis in das späte Mittelalter nnd die neuere Zeit erhalten ... und in Folge der Bodenbeschaffenheit war die Gegend ohne Frage auch an Sümpfen so reich, wie H. sie geschildert. Denn die Zuflüsse des oberen Don haben niedrige Ufer und setzen hei den Frühjahrsüherschwemmungen das anliegende Land weit und breit und für längere Zeit nnter Wasser . . . Da war die Bildung ausgedehnter Moräste unvermeidlich, und es wird nicht mehr befremden, dafs in der feuchten Waldwüste Ottern und Biber hansten, in den Sümpfen der Flufsniederungen das Elenn vor den lnsekten sich schirmte. Und es fehlt nicht an positiven Zengnissen, dafs diese Thiere sich hier his in das späteste Mittelalter aufgehalten haben'. *Neum.* I 92ff. — *κάλαμος* 'Röhricht'.

10ff. In den *θηρία τετραγωνοπρόσωπα* liegt wohl eine entstellte Nachricht vom Elennthiere (*τάρανδος*). Psendo-Arist. de mirab. ausc. 29 *ἐν δὲ Σκύθαις τοῖς καλουμένοις Γελωνοῖς φασὶ θηρίον γίνεσθαι . . ὃ ὀνομάζεται τάρανδος* (ähnlich Steph. B. v. *Γελωνός*). Theophrast bei Phot. hibl. 278 *ὁ δὲ τάρανδος τὸ μὲν μέγεθός ἐστι κατὰ βοῦν, τὸ πρόσωπον δὲ ὁμοίως ἐλάφῳ, πλὴν πλατύτερος, ὡσανεὶ ἐκ δύο συγκείμενος ἐλαφείων προσώπων*. — Die Worte *τῶν - ἄκεσιν* sind wohl nnr in Folge der unklar lantenden Nachricht auch zu den *θηρία τετραγωνοπρόσωπα* in Bezng gesetzt, betreffen aber ohne Zweifel in Rücksicht der Pelze nnr die Fischnttern und die Biher, in Rücksicht anf die *ὄρχιες* allein die letzteren, die *κάστορες*. — *τὰς σισύρας*, welche die skythischen Völker zn tragen pflegten; Plato Eryx. p. 400 *οὐδ' ἂν προτιμήσειε Σκύθης ἀνὴρ οἰκίαν αὐτῷ τὴν καλλίστην εἶναι . . μᾶλλον ἤπερ σίσυραν δερματίνην*. Vgl. zu VII 67 1. — *παραρράπτεται*, an den Rändern als Besatz. Die Häute der Elennthiere dagegen wur-

110 Σαυροματέων δὲ πέρι ὧδε λέγεται. ὅτε Ἕλληνες Ἀμαζόσι ἐμαχέσαντο (τὰς δὲ Ἀμαζόνας καλέουσι Σκύθαι Οἰόρπατα, δύναται δὲ τὸ οὔνομα τοῦτο κατὰ Ἑλλάδα γλῶσσαν ἀνδροκτόνοι· οἰὸρ γὰρ καλέουσι ἄνδρα, τὸ δὲ πατὰ κτείνειν), τότε λόγος τοὺς Ἕλληνας νικήσαντας τῇ ἐπὶ Θερμώδοντι μάχῃ ἀποπλέειν ἄγοντας τρισὶ πλοίοισι τῶν Ἀμαζόνων ὅσας ἐδυνέατο ζωγρῆσαι, τὰς δὲ ἐν τῷ πελάγεϊ ἐπιθεμένας ἐκκόψαι τοὺς ἄνδρας. πλοῖα δὲ οὐ γινώσκειν αὐτὰς οὐδὲ πηδαλίοισι χρᾶσθαι οὐδὲ ἱστίοισι οὐδὲ εἰρεσίῃ· ἀλλ' ἐπεὶ ἐξέκοψαν τοὺς ἄνδρας, ἐφέροντο κατὰ κῦμα καὶ ἄνεμον· καὶ ἀπικνέονται τῆς λίμνης τῆς Μαιήτιδος ἐπὶ Κρημνούς. οἱ δὲ Κρημνοὶ εἰσὶ γῆς τῆς Σκυθέων τῶν ἐλευθέρων. ἐνθαῦτα ἀποβᾶσαι ἀπὸ τῶν πλοίων αἱ Ἀμαζόνες ὡδοιπόρεον ἐς τὴν οἰκεομένην. ἐντυχοῦσαι δὲ πρώτῳ ἱπποφορβίῳ τοῦτο διήρπασαν, καὶ ἐπὶ τούτων ἱππαζόμεναι

den ihrer Dicke wegen zu Harnischen verarbeitet (Theophr. a. O.). — ὄρχιες: nach einem lange herrschenden Irrthume hielt man die Hodensäcke des Bibers für den Sitz des als Heilmittel vielgeschätzten Bibergeiles (καστόριον). Hippokrates, Aretaeos und andere alten Aerzte empfehlen es bei παθαὶ ὑστερικαί. — αὐτοῖσι, den Budinen.

110. Von den Sauromaten vgl. zu c. 21 2 ff.

2. Die epische Sage erzählte von vier Kämpfen hellenischer Helden gegen das männerhassende Volk der Amazonen, des Bellerophontes, Herakles, Theseus (zu IX 27 19) und Achilleus. Hier ist der zweite gemeint. Diodor II 46 Ἡρακλέα φασὶ τὸν ἐξ Ἀλκμήνης καὶ Διὸς ἆθλον λαβεῖν παρ' Εὐρυσθέως τὸν Ἱππολύτης τῆς Ἀμαζόνος ζωστῆρα. διόπερ στρατεῦσαι μὲν αὐτόν, παρατάξει δὲ μεγάλῃ νικήσαντα τό τε στρατόπεδον τῶν Ἀμαζόνων κατακόψαι καὶ τὴν Ἱππολύτην μετὰ τοῦ ζωστῆρος ζωγρήσαντα τὸ ἔθνος τοῦτο τελέως συντρῖψαι. — Ἀμαζόνας, d. h. die kriegerischen Weiber der Sauromaten, die allerdings als 'männertödtend' chacakterisirt werden konnten. Die Amazonen im hellenischen Sinne des Wortes waren den Skythen gewiſs ganz fremd.

3. Οἰόρπατα: andere La. Αἰόρπατα. — δύναται 'bedeutet'; s. zu II 30 4.

6. ἐπὶ Θερμώδοντι: hier im Lande der Syrier (II 104 13), insbesondere in der Stadt Themiskyra dachte man sich seit Homer die Heimath der Amazonen.

7 f. Die gewöhnliche Sage weiſs nur von éinem Schiffe, in dem Herakles und seine Genossen die Fahrt machten (Apollod. II 9 3), und läſst sie ohne Unfall heimkommen. — ἐν τῷ πελάγεϊ: zu I 24 8. — ἐκκόψαι = ἐκβαλεῖν, sc. ἐκ τῶν πλοίων.

11. κῦμα: der Singular wie VII 193 ὡς ἐπαύσατό τε ὁ ἄνεμος καὶ τὸ κῦμα ἔστρωτο.

12. Κρημνούς: zu c. 20 8.

13. ἐλευθέρων: zu c. 20 4.

ἐληίζοντο τὰ τῶν Σκυθέων. οἱ δὲ Σκύθαι οὐκ εἶχον 111
συμβαλέσθαι τὸ πρῆγμα· οὔτε γὰρ φωνὴν οὔτε ἐσθῆτα
οὔτε τὸ ἔθνος ἐγίνωσκον, ἀλλ' ἐν θώυματι ἦσαν ὁκό-
θεν ἔλθοιεν, ἐδόκεον δ' αὐτὰς εἶναι ἄνδρας τὴν αὐτὴν
ἡλικίην ἔχοντας, μάχην τε δὴ πρὸς αὐτὰς ἐποιεῦντο.
ἐκ δὲ τῆς μάχης τῶν νεκρῶν ἐκράτησαν οἱ Σκύθαι, καὶ
οὕτω ἔγνωσαν ἐούσας γυναῖκας. βουλευομένοισι ὦν αὐ-
τοῖσι ἔδοξε κτείνειν μὲν οὐδενὶ τρόπῳ ἔτι αὐτάς, ἑωυ-
τῶν δὲ τοὺς νεωτάτους ἀποπέμψαι ἐς αὐτάς, πλῆθος
εἰκάσαντες ὅσαι περ ἐκεῖναι ἦσαν· τούτους δὲ στρατο-
πεδεύεσθαι πλησίον ἐκεινέων καὶ ποιέειν τά περ ἂν καὶ
ἐκεῖναι ποιέωσι· ἢν δὲ αὐτοὺς διώκωσι, μάχεσθαι μὲν
μή, ὑποφεύγειν δέ· ἐπεὰν δὲ παύσωνται, ἐλθόντας αὐ-
τοὺς πλησίον στρατοπεδεύεσθαι. ταῦτα ἐβουλεύσαντο οἱ
Σκύθαι βουλόμενοι ἐξ αὐτέων παῖδας ἐκγενήσεσθαι.
ἀποπεμφθέντες δὲ οἱ νεηνίσκοι ἐποίευν τὰ ἐντεταλμένα. 112
ἐπεὶ δὲ ἔμαθον αὐτοὺς αἱ Ἀμαζόνες ἐπ' οὐδεμιῇ δηλήσι
ἀπιγμένους, ἔων χαίρειν· προσεχώρεον δὲ πλησιαιτέρω
τὸ στρατόπεδον τῷ στρατοπέδῳ ἐπ' ἡμέρῃ ἑκάστῃ. εἶ-
χον δὲ οὐδὲν οὐδ' οἱ νεηνίσκοι, ὥσπερ οὐδὲ αἱ Ἀμα-
ζόνες, εἰ μὴ τὰ ὅπλα καὶ τοὺς ἵππους· ἀλλὰ ζόην
ἔζωον τὴν αὐτὴν ἐκείνῃσι, θηρεύοντές τε καὶ ληιζόμενοι.
ἐποίευν δὲ αἱ Ἀμαζόνες ἐς τὴν μεσαμβρίην τοιόνδε· 113
ἐγίνοντο σποράδες κατὰ μίαν τε καὶ δύο, πρόσω δὴ

17. *Σκυθέων*, die also in dieser frühen Zeit schon am Pontos gesessen haben müssen. Mit der einheimischen Skythen-sage (c. 5 ff.) steht diese Angabe in keinem chronologischen Widerspruche, wohl aber mit der Tradition der pontischen Hellenen (c. 8 ff.), denen doch wahrscheinlich auch diese über den Ursprung der Sauromaten gehört; denn dort ist Herakles, der Besieger der Amazonen, zugleich Stammvater der Skythen.

111. 5. *ἡλικίην*, Alter und Wuchs (vgl. zu III 16 22), nämlich alle bartlos und klein.

6. *ἐκ* 'in Folge'.

9 f. *πλῆθος*, sc. *τοσούτους*, schliefst sich an *ὅσαι περ* an. — *εἰκάσαντες* 'nach ungefährer Berechnung'.

13. *αὐτούς*: man erwartet *αὖτις*.

15. *ἐκγενήσεσθαι*: der Infinitiv Futuri bei *βούλεσθαι* (und *ἐθέλειν*) ist nur an dieser Stelle bei H. sicher. Nicht selten bei anderen Autoren.

112. 2. *ἐπ' οὐδεμιῇ δηλήσι*: zu I 42 9.

3 f. 'Die beiden Lager rückten sich mit jedem Tage näher'. Ueber den Plural des Verbi zu III 88 14.

ἀπ' ἀλληλέων ἐς εὐμαρείην ἀποσκιδνάμεναι. μαθόντες δὲ καὶ οἱ Σκύθαι ἐποίευν τὠυτὸ τοῦτο· καί τις μουνωθεισέων τινὶ αὐτέων ἐνεχρίμπτετο, καὶ ἡ Ἀμαζὼν οὐκ ἀπωθέετο ἀλλὰ περιεῖδε χρήσασθαι. καὶ φωνῆσαι μὲν οὐκ εἶχε (οὐ γὰρ συνίεσαν ἀλλήλων), τῇ δὲ χειρὶ ἔφραζε ἐς τὴν ὑστεραίην ἐλθεῖν ἐς τὠυτὸ χωρίον καὶ ἕτερον ἄγειν, σημαίνουσα δύο γενέσθαι, καὶ αὐτὴ ἑτέρην ἄξειν. ὁ δὲ νεηνίσκος ἐπεὶ ἀπῆλθε, ἔλεξε ταῦτα πρὸς τοὺς λοιπούς· τῇ δὲ δευτεραίῃ ἦλθε ἐς τὸ χωρίον αὐτός τε οὗτος καὶ ἕτερον ἦγε, καὶ τὴν Ἀμαζόνα εὗρε δευτέρην αὐτὴν ὑπομένουσαν. οἱ δὲ λοιποὶ νεηνίσκοι ὡς ἐπύθοντο ταῦτα, καὶ αὐτοὶ ἐκτιλώσαντο τὰς λοιπὰς

114 τῶν Ἀμαζόνων. μετὰ δὲ συμμίξαντες τὰ στρατόπεδα οἴκεον ὁμοῦ, γυναῖκα ἔχων ἕκαστος ταύτην τῇ τὸ πρῶτον συνεμίχθη. τὴν δὲ φωνὴν τὴν μὲν τῶν γυναικῶν οἱ ἄνδρες οὐκ ἐδυνέατο μαθεῖν, τὴν δὲ τῶν ἀνδρῶν αἱ γυναῖκες συνέλαβον. ἐπεὶ δὲ συνῆκαν ἀλλήλων, ἔλεξαν πρὸς τὰς Ἀμαζόνας τάδε οἱ ἄνδρες. „ἡμῖν εἰσὶ μὲν τοκέες, εἰσὶ δὲ κτήσιες. νῦν ὦν μηκέτι πλεῦνα χρόνον ζόην τοιήνδε ἔχωμεν, ἀλλ' ἀπελθόντες ἐς τὸ πλῆθος διαιτεώμεθα. γυναῖκας δὲ ἕξομεν ὑμέας καὶ οὐδαμὰς ἄλλας." αἱ δὲ πρὸς ταῦτα ἔλεξαν τάδε. „ἡμεῖς οὐκ ἂν δυναίμεθα οἰκέειν μετὰ τῶν ὑμετερέων γυναικῶν· οὐ γὰρ τὰ αὐτὰ νόμαια ἡμῖν τε κἀκείνῃσί ἐστι. ἡμεῖς μὲν τοξεύομέν τε καὶ ἀκοντίζομεν καὶ ἱππαζόμεθα, ἔργα δὲ γυναικήια οὐκ ἐμάθομεν· αἱ δὲ ὑμέτεραι γυναῖκες τούτων μὲν οὐδὲν τῶν ἡμεῖς κατελέξαμεν ποιεῦσι, ἔργα δὲ

113. 3. *εὐμαρείην*: zu II 35 15. 7 f. Vgl. III 22 22. Aesch. Ag. 1019 *εἰ δ' ἀξυνήμων οὖσα μὴ δέχει λόγον, Σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνῳ χερί.*

9. 'durch Zeichen andeutend, es sollten ihrer zwei werden'. Vgl. V 35 8.

13. *δευτέρην αὐτήν* 'selbander'.

14. Nachahmend Xenoph. Oekon. VII 10 *ἐπεὶ ἤδη μοι χειροήθης ἦν* (meine Frau) *ἐτετιθάσευτο ὥστε διαλέγεσθαι.*

114. 8. *ἐς τὸ πλῆθος*, unseres Volkes.

9. Andeutung, daſs bei den Sauromaten nicht, wie bei den Massageten (I 216) und anderen benachbarten Stämmen, Polygamie herrschte.

γυναικήια ἐργάζονται μένουσαι ἐν τῇσι ἁμάξῃσι, οὔτ' ἐπὶ θήρην ἰοῦσαι οὔτε ἄλλῃ οὐδαμῇ. οὐκ ἂν ὦν δυναίμεθα ἐκείνῃσι συμφέρεσθαι. ἀλλ' εἰ βούλεσθε γυναῖκας ἔχειν ἡμέας καὶ δοκέειν εἶναι δίκαιοι, ἐλθόντες παρὰ τοὺς τοκέας ἀπολάχετε τῶν κτημάτων τὸ μέρος, καὶ ἔπειτα ἐλθόντες οἰκέωμεν ἐπὶ ἡμέων αὐτέων.“ ἐπεί- 115
θοντο καὶ ἐποίησαν ταῦτα οἱ νεηνίσκοι. ἐπείτε δὲ ἀπολαχόντες τῶν κτημάτων τὸ ἐπιβάλλον ἦλθον ὀπίσω παρὰ τὰς Ἀμαζόνας, ἔλεξαν αἱ γυναῖκες πρὸς αὐτοὺς τάδε. „ἡμέας ἔχει φόβος τε καὶ δέος, ὅκως χρὴ οἰκέειν ἐν τῷδε τῷ χώρῳ τοῦτο μὲν ὑμέας ἀποστερησάσας πατέρων, τοῦτο δὲ τὴν γῆν τὴν ὑμετέρην δηλησαμένας πολλά. ἀλλ' ἐπείτε ἀξιοῦτε ἡμέας γυναῖκας ἔχειν, τάδε ποιέετε ἅμα ἡμῖν· φέρετε ἐξαναστέωμεν ἐκ τῆς γῆς τῆσδε καὶ περήσαντες Τάναϊν ποταμὸν οἰκέωμεν.“
ἐπείθοντο καὶ ταῦτα οἱ νεηνίσκοι, διαβάντες δὲ τὸν 116
Τάναϊν ὡδοιπόρεον πρὸς ἥλιον ἀνίσχοντα τριῶν μὲν ἡμερέων ἀπὸ τοῦ Τανάιδος ὁδόν, τριῶν δὲ ἀπὸ τῆς λίμνης τῆς Μαιήτιδος πρὸς βορέην ἄνεμον. ἀπικόμενοι δὲ ἐς τοῦτον τὸν χῶρον ἐν τῷ νῦν κατοίκηνται, οἴκησαν τοῦτον. καὶ διαίτῃ ἀπὸ τούτου χρέονται τῇ παλαιῇ τῶν Σαυροματέων αἱ γυναῖκες, καὶ ἐπὶ θήρην ἐπ' ἵππων ἐκφοιτέουσαι ἅμα τοῖσι ἀνδράσι καὶ χωρὶς τῶν

16. *ἐν τῇσι ἁμάξῃσι*: zu c. 46 14. Hippokr. *περὶ ἀέρ.* 18 *ἐν ταύτῃσι μέν νυν τῇσι ἁμάξῃσι αἱ γυναῖκες διαιτεῦνται· αὐτοὶ δ' ἐπ' ἵππων ὀχεῦνται οἱ ἄνδρες.* Vgl. c. 121 3.

20. *τὸ μέρος* 'euren Antheil' (I 120 29).

21. *ἐπὶ ἡμέων αὐτέων* 'für uns allein' (I 142 19).

115. 3. *τὸ ἐπιβάλλον = τὸ μέρος* (c. 114 20), 'der aufsie entfallende Theil'. VII 23 *ἀπολαχόντες μόριον ὅσον αὐτοῖσι ἐπέβαλλε*, und zu I 106 4.

5. *φόβος τε καὶ δέος* 'Furcht und Schreck'. VIII 70 *δέος τε καὶ ἀρρωδίη.* Bei Homer werden *δεῖμός τ' ἠδὲ φόβος* als Söhne und Diener des Ares verbunden (Il. *δ* 440. *ο* 119).

116. 4. *πρὸς βορέην ἄνεμον*: zu c. 21 4.

7 ff. *τῶν Σαυροματέων* gehört zu *αἱ γυναῖκες*, nicht zu *τῇ παλαιῇ*. — Hippokr. *περὶ ἀέρ.* 17 *ἐν δὲ τῇ Εὐρώπῃ ἐστὶ ἔθνος Σκυθικὸν ὃ περὶ τὴν λίμνην οἰκέει τὴν Μαιῶτιν, διαφέρον τῶν ἐθνέων τῶν ἄλλων· Σαυρομάται καλεῦνται. τουτέων αἱ γυναῖκες ἱππάζονταί τε καὶ τοξεύουσι καὶ ἀκοντίζουσι ἀπὸ τῶν ἵππων καὶ μά-*

ἀνδρῶν, καὶ ἐς πόλεμον φοιτέουσαι, καὶ στολὴν τὴν αὐ-
117 τὴν τοῖσι ἀνδράσι φορέουσαι. φωνῇ δὲ οἱ Σαυρομάται νομίζουσι Σκυθικῇ, σολοικίζοντες αὐτῇ ἀπὸ τοῦ ἀρχαίου, ἐπεὶ οὐ χρηστῶς ἐξέμαθον αὐτὴν αἱ Ἀμαζόνες. τὰ περὶ γάμων δὲ ὧδέ σφι διακέεται· οὐ γαμέεται παρθένος οὐδεμία πρὶν ἂν τῶν πολεμίων ἄνδρα ἀποκτείνῃ· αἱ δέ τινες αὐτέων καὶ τελευτέουσι γηραιαὶ πρὶν γήμασθαι, οὐ δυνάμεναι τὸν νόμον ἐκπλῆσαι.

118 Ἐπὶ τούτων ὦν τῶν καταλεχθέντων ἐθνέων τοὺς βασιλέας ἁλισμένους ἀπικόμενοι τῶν Σκυθέων οἱ ἄγγελοι ἔλεγον ἐκδιδάσκοντες ὡς ὁ Πέρσης, ἐπειδή οἱ τὰ ἐν τῇ ἠπείρῳ τῇ ἑτέρῃ πάντα κατέστραπται, γέφυραν ζεύξας ἐπὶ τῷ αὐχένι τοῦ Βοσπόρου διαβέβηκε ἐς τήνδε τὴν ἤπειρον, διαβὰς δὲ καὶ καταστρεψάμενος Θρήικας γεφυροῖ ποταμὸν Ἴστρον, βουλόμενος καὶ τάδε πάντα ὑπ' ἑωυτῷ ποιήσασθαι. „ὑμεῖς ὦν μηδενὶ τρόπῳ ἐκ τοῦ μέσου κατήμενοι περιίδητε ἡμέας διαφθαρέντας, ἀλλὰ τὠυτὸ νοήσαντες ἀντιάζωμεν τὸν ἐπιόντα. οὔκων ποιήσετε ταῦτα· ἡμεῖς μὲν πιεζόμενοι ἢ ἐκλείψομεν τὴν χώρην ἢ μένοντες ὁμολογίῃ χρησόμεθα· τί γὰρ πάθωμεν μὴ βουλομένων ὑμέων τιμωρέειν; ὑμῖν δὲ οὐδὲν ἐπὶ τούτῳ ἔσται ἐλαφρότερον· ἥκει γὰρ ὁ Πέρσης οὐδέν τι μᾶλλον ἐπ' ἡμέας ἢ οὐ καὶ ἐπ' ὑμέας, οὐδέ οἱ

χονται τοῖσι πολεμίοισι, ἕως ἂν παρθένοι ἔωσι.

9 f. Anders bei den Skythen. S. die Stelle des Hippokrates zu I 105 14.

117. *φωνῇ – νομίζουσι*: zu II 50 14.

4. Hippokr. a. O. *οὐκ ἀποπαρθενεύονται δὲ μέχρι ἂν τῶν πολεμίων τρεῖς ἀποκτείνωσι, καὶ οὐ πρότερον συνοικέουσι ἤ περ τὰ ἱρὰ θύσωσι τὰ ἐν νόμῳ· ἣ δ' ἂν ἄνδρα ἑωυτῇ ἄρηται, παύεται ἱππαζομένη, ἕως ἂν μὴ ἀναγκαίη καταλάβῃ παγκοίνου στρατηίης.*

Verhandlung mit den Nachbarvölkern. Kriegsplan der Skythen (c. 118–120).

118. 5. *ἐπὶ τῷ αὐχένι*: zu c. 85 13.

9. *ἐκ τοῦ μέσου κατήμενοι*: zu III 83 13.

10 f. *τὠυτὸ νοήσαντες* = *ὁμονοήσαντες* (I 60 1). — *οὔκων ποιήσετε ταῦτα*, lebhafte Wendung st. *ἢν μὴ ποιήσητε ταῦτα*. S. zu I 11 17.

12. *τί γὰρ πάθωμεν* 'denn was sollen wir anfangen?'

14. *ἐπὶ τούτῳ* zeitlich, 'nach diesem, hernach' (I 170 11).

15. 'ebenso sehr gegen euch als gegen uns'. Ohne die Negation bei

καταχρήσει ἡμέας καταστρεψαμένῳ ὑμέων ἀπέχεσθαι. μέγα δὲ ὑμῖν λόγων τῶνδε μαρτύριον ἐρέομεν· εἰ γὰρ ἐπ' ἡμέας μούνους ἐστρατηλάτεε ὁ Πέρσης τίσασθαι τῆς πρόσθε δουλοσύνης βουλόμενος, χρῆν αὐτὸν πάντων τῶν ἄλλων ἀπεχόμενον ἰέναι οὕτω ἐπὶ τὴν ἡμετέρην, καὶ ἂν ἐδήλου πᾶσι ὡς ἐπὶ Σκύθας ἐλαύνει καὶ οὐκ ἐπὶ τοὺς ἄλλους. νῦν δὲ ἐπείτε τάχιστα διέβη ἐς τήνδε τὴν ἤπειρον, τοὺς αἰεὶ ἐμποδὼν γινομένους ἡμεροῦται πάντας· τούς τε δὴ ἄλλους ἔχει ὑπ' ἑωυτῷ Θρήικας καὶ δὴ καὶ τοὺς ἡμῖν ἐόντας πλησιοχώρους Γέτας.“ ταῦτα Σκυθέων ἐπαγγελλομένων ἐβουλεύοντο 119
οἱ βασιλέες οἱ ἀπὸ τῶν ἐθνέων ἥκοντες, καί σφεων ἐσχίσθησαν αἱ γνῶμαι· ὁ μὲν Γελωνὸς καὶ ὁ Βουδῖνος καὶ ὁ Σαυρομάτης κατὰ τὠυτὸ γενόμενοι ὑπεδέκοντο Σκύθῃσι τιμωρήσειν, ὁ δὲ Ἀγάθυρσος καὶ Νευρὸς καὶ Ἀνδροφάγος καὶ οἱ τῶν Μελαγχλαίνων καὶ Ταύρων τάδε Σκύθῃσι ὑπεκρίναντο. „εἰ μὲν μὴ ὑμεῖς ἔατε οἱ πρότερον ἀδικήσαντες Πέρσας καὶ ἄρξαντες πολέμου, τούτων δεόμενοι τῶν νῦν δέεσθε λέγειν τε ἂν ἐφαίνεσθε ἡμῖν ὀρθά, καὶ ἡμεῖς ὑπακούσαντες τὠυτὸ ἂν ὑμῖν ἐπρήσσομεν. νῦν δὲ ὑμεῖς τε ἐς τὴν ἐκείνων ἐσβαλόντες γῆν ἄνευ ἡμέων ἐπεκρατέετε Περσέων, ὅσον χρόνον ὑμῖν ὁ θεὸς παρεδίδου· καὶ ἐκεῖνοι, ἐπεί σφεας ὡυτὸς θεὸς ἐγείρει, τὴν ὁμοίην ὑμῖν ἀποδιδοῦσι. ἡμεῖς δὲ οὔ-

ᾖ wäre der Sinn 'ebenso wenig gegen uns als gegen euch'. S. über diesen Gebrauch zu V 94 13.

16. Man erwartet eher *ἡμέας μὲν καταστρέψασθαι, ὑμέων δὲ ἀπέχεσθαι* (oder *ὑμέας δὲ μή*). Bei der von H. gewählten Weise geht *οὐδὲ οἱ καταχρήσει* aus der Bedeutung 'und es wird ihm nicht genügen' über in die von *οὐδὲ ἀνέξεται* 'und er wird es nicht ertragen, über sich gewinnen'. Aehnlich *ἐκχρήσει* II 137 9.

18f. Vgl. c. 1. 4.

119. 4. *κατὰ τὠυτὸ γενόμενοι* 'übereingekommen', = *κατὰ τὠυτὸ φρονήσαντες* (V 3 3).

12. *ὅσον χρόνον*: s. c. 1 7.

13. *ὁ θεὸς παρεδίδου* 'Gott beschied, zuliefs'. Aehnlich V 67 13. VI 82 9. 103 9. VII 18 20. IX 78 6.

14f. *ἐγείρει*: vgl. Od. ω 162 *αὐτὰρ ὁ τέως μὲν ἐτόλμα . . βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῷ· ἀλλ' ὅτε δή μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο κτλ.* — *τὴν ὁμοίην*, ergänze *μοῖραν* oder *δίκην*. Noch VI 21 2. 62 6 und 11. IX 78 13. *τὸ ὁμοῖον* I 18 13. — *οὔτε τι* – *οὐδέν*: zu c. 19 3.

τε τι τότε ἠδικήσαμεν τοὺς ἄνδρας τούτους οὐδέν, οὔτε νῦν πρότεροι πειρησόμεθα ἀδικέειν. ἢν μέντοι ἐπίῃ καὶ ἐπὶ τὴν ἡμετέρην ἄρξῃ τε ἀδικέων, καὶ ἡμεῖς οὐ πεισόμεθα. μέχρι δὲ τοῦτο ἴδωμεν, μενέομεν παρ' ἡμῖν αὐτοῖσι· ἥκειν γὰρ δοκέομεν οὐκ ἐπ' ἡμέας Πέρσας, ἀλλ' ἐπὶ τοὺς αἰτίους τῆς ἀδικίης γενομένους." ταῦτα

120 ὡς ἀπενειχθέντα ἐπύθοντο οἱ Σκύθαι, ἐβουλεύοντο ἰθυμαχίην μὲν μηδεμίαν ποιέεσθαι ἐκ τοῦ ἐμφανέος, ὅτε δή σφι οὗτοί γε σύμμαχοι οὐ προσεγίνοντο, ὑπεξιόντες δὲ καὶ ὑπεξελαύνοντες τὰ φρέατα, τὰ παρεξίοιεν αὐτοί, καὶ τὰς κρήνας συγχοῦν, τὴν ποίην τε ἐκ τῆς γῆς ἐκτρίβειν, διχοῦ σφέας διελόντες. καὶ πρὸς μὲν τὴν μίαν τῶν μοιρέων, τῆς ἐβασίλευε Σκώπασις, προσχωρέειν Σαυρομάτας· τούτους μὲν δὴ ὑπάγειν, ἢν ἐπὶ τοῦτο τράπηται ὁ Πέρσης, ἰθὺ Τανάιδος ποταμοῦ παρὰ τὴν Μαιῆτιν λίμνην ὑποφεύγοντας, ἀπελαύνοντός τε τοῦ Πέρσεω ἐπιόντας διώκειν. αὕτη μέν σφι μία ἦν μοῖρα τῆς βασιληίης, τεταγμένη ταύτην τὴν ὁδὸν ἥπερ εἴρηται· τὰς δὲ δύο τῶν βασιληίων, τήν τε μεγάλην τῆς ἦρχε Ἰδάνθυρσος καὶ τὴν τρίτην τῆς ἐβασίλευε Τάξα-

16. ἐπίῃ, sc. ὁ Πέρσης.

17. Für das unbrauchbare οὐ πεισόμεθα der Ueberlieferung vermuthen Bekker und Cobet οὐ περιοψόμεθα, Eltz οἱ ἐποισόμεθα (vgl. I 209 16). Näher liegt οἱ ἐπεισόμεθα, episch st. ἔπιμεν oder ἐπελευσόμεθα. Einzelne epische oder veraltete Formen und Wörter finden sich bei H. auch sonst: III 126 ὑπείσας, IV 191 κομόωσι, VI 11 ἠγορόωντο, V 92η ὑπειρόχους, VI 57 δαιτυμόνεσι, 69 εἰδόμενον, VII 6 ἐνέοι. I 27 αἲ γάρ, 205 ἥν (suam), III 116 ὑπέκ, IV 28 ἦμος, VI 84 μεμονέναι VII 159 ἦ κε, u. a.

18. παρ' ἡμῖν αὐτοῖσι = ἐν τῇ ἡμετέρῃ.

120. 2. ἰθυμαχίην: zu c. 102 2.

3. ὅτε: zu III 73 3.

5. ὑπεξελαύνοντες, die Heerden.

7. διχοῦ, in zwei Heerestheile; über die Form zu III 117 9. — πρὸς μὲν τὴν μίαν, Gegensatz 14 τὰς δὲ δύο. Volk und Land der (königlichen) Skythen zerfiel in drei Theile, von denen jeder unter einem besonderen Könige stand, der gröſsere (τὴν μεγάλην 14) aber eine Art Suprematie besaſs (c. 7), dessen König Idanthyrsos darum als der Oberanführer des ganzen Heeres erscheint.

9. ἐπὶ τοῦτο, nach dem Gebiete dieser Skythen; vgl. zu III 102 6. Das Reich des Skopasis scheint am weitesten nach O., bis zum Tanais, gelegen zu haben.

14. τῶν βασιληίων = τῆς βασιληίης (III 61 8. IV 20 2). Falls nicht βασιληιέων zu bessern.

κις, συνελθούσας ἐς τὠυτὸ καὶ Γελωνῶν τε καὶ Βου-
δίνων προσγενομένων, ἡμέρης καὶ τούτους ὁδῷ προέ-
χοντας τῶν Περσέων ὑπεξάγειν, ὑπιόντας τε καὶ ποι-
εῦντας τὰ βεβουλευμένα. πρῶτα μέν νυν ὑπάγειν σφέας
ἰθὺ τῶν χωρέων τῶν ἀπειπαμένων τὴν σφετέρην συμ-
μαχίην, ἵνα καὶ τούτους ἐκπολεμώσωσι· εἰ γὰρ μὴ ἑκόν-
τες γε ὑπέδυσαν τὸν πόλεμον τὸν πρὸς Πέρσας, ἀλλ'
ἀέκοντας ἐκπολεμῶσαι· μετὰ δὲ τοῦτο ὑποστρέφειν ἐς
τὴν σφετέρην καὶ ἐπιχειρέειν, ἢν δὴ βουλομένοισι
δοκέῃ.
Ταῦτα οἱ Σκύθαι βουλευσάμενοι ὑπηντίαζον τὴν **121**
Δαρείου στρατιήν, προδρόμους ἀποστείλαντες τῶν ἱπ-
πέων τοὺς ἀρίστους. τὰς δὲ ἁμάξας ἐν τῇσί σφι διαι-
τᾶτο τὰ τέκνα τε καὶ αἱ γυναῖκες πάσας καὶ τὰ πρό-
βατα πάντα, πλὴν ὅσα σφι ἐς φορβὴν ἱκανὰ ἦν το-
σαῦτα ὑπολιπόμενοι, τὰ ἄλλα ἅμα τῇσι ἁμάξῃσι προέ-
πεμψαν, ἐντειλάμενοι αἰεὶ τὸ πρὸς βορέω ἐλαύνειν. ταῦ- **122**
τα μὲν δὴ προεκομίζετο, τῶν δὲ Σκυθέων οἱ πρόδρο-
μοι ὡς εὗρον τοὺς Πέρσας ὅσον τε τριῶν ἡμερέων ὁδὸν
ἀπέχοντας ἀπὸ τοῦ Ἴστρου, οὗτοι μὲν τούτους εὑρόν-

17f. *καὶ τούτους* kann, streng genommen, nur auf *ὑπεξάγειν* gehen, nicht auch auf *ἡμέρης ὁδῷ προέχοντας* ('um einen Tagemarsch voraus', vgl. c. 122 5. IX 22 5), da bei der ersten Abtheilung von einem Vorsprunge gar nichts gesagt ist. Doch soll wohl die gewählte Stellung der Worte nachträglich andeuten, dafs die Bestimmung auch für diese galt. — *τούτους – προέχοντας* und die anderen Participia sind, wegen *Γελωνῶν καὶ Βουδίνων*, *ad synesin* construirt.

20. *τῶν ἀπειπαμένων* 'die abgelehnt hatten' (VII 14 5). *σφετέρην*, der Skythen. Ebenso c. 125 6.

21f. *εἰ – ἀλλ'*: vgl. II 172 18ff., wo der Infinitiv auch im Nebensatze steht.

24. *ἐπιχειρέειν*, sc. *τοῖσι Πέρσῃσι*. Vgl. c. 134 3.

Dareios' Zug durch Skythien und sein Rückzug (c. 121–144).

121. 3. *ἁμάξας*: zu c. 46 14. 114 16.

5f. *πάντα – τὰ ἄλλα*: vgl. VIII 131 *οὗτοι πάντες πλὴν τῶν δυῶν τῶν μετὰ Λευτυχίδεα πρώτων καταλεχθέντων, οἱ ἄλλοι βασιλέες ἐγένοντο Σπάρτης.*

7. *τὸ πρὸς βορέω*: zu c. 99 1. Man erwartet *βορέην*, da der Norden das Ziel der Bewegung ist; doch ebenso II 8 3. IV 122 10. 125 22, und Il. χ 198 *ποτὶ πτόλιος πέτετ' αἰεί*. Eine Erklärung des Genitivs wie zu I 110 9ff. ist hier nicht zulässig.

122. 4. *ἀπὸ τοῦ Ἴστρου*, in der Steppe zwischen Istros und Tyras. Auf diese beschränkt Strabon 305 die Ausdehnung des ganzen Zuges: *μεταξὺ δὲ τῆς Ποντικῆς*

τες, ἡμέρης ὁδῷ προέχοντες, ἐστρατοπεδεύοντο τὰ ἐκ τῆς γῆς φυόμενα λεαίνοντες. οἱ δὲ Πέρσαι ὡς εἶδον ἐπιφανεῖσαν τῶν Σκυθέων τὴν ἵππον, ἐπήισαν κατὰ στίβον αἰεὶ ὑπαγόντων· καὶ ἔπειτα (πρὸς γὰρ τὴν μίαν τῶν μοιρέων ἴθυσαν) οἱ Πέρσαι ἐδίωκον πρὸς ἠῶ τε καὶ τοῦ Τανάιδος. διαβάντων δὲ τούτων τὸν Τάναϊν ποταμὸν οἱ Πέρσαι ἐπιδιαβάντες ἐδίωκον, ἐς ὃ τῶν Σαυροματέων τὴν χώρην διεξελθόντες ἀπίκοντο ἐς τὴν τῶν

123 Βουδίνων. ὅσον μὲν δὴ χρόνον οἱ Πέρσαι ἤισαν διὰ τῆς Σκυθικῆς καὶ τῆς Σαυρομάτιδος χώρης, οἱ δὲ εἶχον οὐδὲν σίνεσθαι ἅτε τῆς χώρης ἐούσης χέρσου· ἐπεί-

θαλάττης τῆς ἀπὸ Ἴστρου ἐπὶ Τύραν καὶ ἡ τῶν Γετῶν ἐρημία πρόκειται πεδιὰς πᾶσα καὶ ἄνυδρος, ἐν ῇ Δαρεῖος ἀποληφθεὶς ὁ Ὑστάσπεω, καθ' ὃν καιρὸν διέβη τὸν Ἴστρον ἐπὶ τοὺς Σκύθας, ἐκινδύνευσε πανστρατιᾷ δίψῃ διαλυθῆναι· συνῆκε δ' ὀψὲ καὶ ἀνέστρεψε. Auch des Ktesias Bericht (zu c. 131 3) hält sich in den Gränzen der Wahrscheinlichkeit, während der herodoteische durch mancherlei Widersprüche und unglaubliche Behauptungen (s. zu c. 102 6. 122 11. 124 3. 125 25. 130 3. 133 7. 140 12) wie eine von skythischer Ruhmredigkeit erdichtete Fabel klingt. — *οὗτοι* bezieht sich auf *τῶν Σκυθέων*, nicht bloſs auf die *πρόδρομοι*.

5 f. *τὰ ἐκ τῆς γῆς φυόμενα*, nicht bloſs *τὴν ποίην* (c. 120 6); denn jenseits des Tyras bis über den Borysthenes saſsen ackerbauende Stämme (c. 17 f.). — *λεαίνοντες* = *ἐκτρίβοντες* (c. 120 6); vgl. I 200 5.

8. *τὴν μίαν*, die unter Skopasis, die sich zum Tanais zurückziehen sollte (c. 120 10).

9 f. *πρὸς ἠῶ τε καὶ τοῦ Τανάιδος*: der Wechsel der Casus ist um so befremdender, als die beiden Casus von der nur einmal gesetzten Präposition abhängen. Anders II 121 5. Vermuthlich schrieb H. *καὶ ἰθὺ Τανάιδος* (vgl. c. 136 7).

11. *ἐπι–*, näml. *ἐπὶ τοῖς Σκύθῃσι*, gleich nach den Skythen. — Warum die Perser gerade diesen durch mehrere groſse Ströme und die Natur der Steppe äuſserst behinderten Weg einschlugen; wie sie über die Ströme gelangten und, wenn sie sich Zeit nahmen Brücken zu schlagen, woher sie in dem holzarmen und verwüsteten Lande (c. 19 4 61 2. 122 5) das Material bekamen; warum sie die ihnen so günstig gelegenen hellenischen Pflanzstädte, insbesondere Olbia, ganz unberücksichtigt lieſsen; zu welchem Ende die Skythen durch ihren Uebergang über den Tanais die Feinde in das Land der ihnen befreundeten Sauromaten, Budinen und Gelonen lockten: — dies Alles findet nirgends eine Erklärung. Die ganze tolle Jagd ist nur eben ein von den Skythen selbst oder ihren hellenischen Insassen ausgedichteter Beweis zu der c. 46 10 ff. behaupteten Unerreichbarkeit des Reitervolks. — Zu dem Zuge jenseits des Tanais vgl. c. 21 f.

123. 2. *οἱ δέ*: zu I 112 9. II 39 9.

3. *χέρσος· ἡ ἔρημος γῆ καὶ τραχεῖα καὶ πᾶσα γῆ ἄκαρπος καὶ ἀνέργαστος.* Hesychios. So

τε δὲ ἐς τὴν τῶν Βουδίνων χώρην ἐσέβαλλον, ἐνθαῦτα δὴ ἐντυχόντες τῷ ξυλίνῳ τείχεϊ, ἐκλελοιπότων τῶν Βουδίνων καὶ κεκενωμένου τοῦ τείχεος πάντων, ἐνέπρησαν αὐτό. τοῦτο δὲ ποιήσαντες εἵποντο αἰεὶ τὸ πρόσω κατὰ στίβον, ἐς ὃ διεξελθόντες ταύτην ἐς τὴν ἐρῆμον ἀπίκοντο. ἡ δὲ ἐρῆμος αὕτη ὑπὸ οὐδαμῶν νέμεται ἀνδρῶν, κέεται δὲ ὑπὲρ τῆς Βουδίνων χώρης ἐοῦσα πλῆθος ἑπτὰ ἡμερέων ὁδοῦ. ὑπὲρ δὲ τῆς ἐρήμου Θυσσαγέται οἰκέουσι, ποταμοὶ δὲ ἐξ αὐτῶν τέσσερες μεγάλοι ῥέοντες διὰ Μαιητέων ἐκδιδοῦσι ἐς τὴν λίμνην τὴν καλεομένην Μαιῆτιν, τοῖσι οὐνόματα κέεται τάδε, Λύκος Ὄαρος Τάναϊς Σύργις.

124 ἐπεὶ ὦν ὁ Δαρεῖος ἦλθε ἐς τὴν ἐρῆμον, παυσάμενος τοῦ δρόμου ἵδρυσε τὴν στρατιὴν ἐπὶ ποταμῷ Ὀάρῳ. τοῦτο δὲ ποιήσας ὀκτὼ τείχεα ἐτείχεε μεγάλα, ἴσον ἀπ' ἀλλήλων ἀπέχοντα, σταδίους ὡς ἑξήκοντα μάλιστά κῃ· τῶν ἔτι ἐς ἐμὲ τὰ ἐρείπια σῶα ἦν. ἐν ᾧ δὲ οὗτος πρὸς ταῦτα ἐτράπετο, οἱ διωκόμενοι Σκύθαι περιελθόντες τὰ κατύπερθε ὑπέστρεφον ἐς τὴν Σκυθικήν. ἀφανισθέντων δὲ τούτων τὸ παράπαν, ὡς

nur hier, öfters bei Tragikern; II 99 17 'trocken'.

5. *Βουδίνων*: *Γελωνῶν* wäre genauer (c. 108 f.).

8. *τὴν ἐρῆμον*, die c. 22 erwähnte.

9. Vgl. zu c. 53 17.

10. *πλῆθος* 'an Ausdehnung' (I 203 6).

11. *Θυσσαγέται*: s. c. 22.

13. Unter dem Namen *Μαιῆται* (zu c. 86 17) begriff man die Stämme am Ostufer der Maeotis zwischen den Sarmaten und Sindern (zu c. 28 8).

14 f. *Σύργις* ist wohl nur verschrieben st. *Ὕργις*, einem Nebenflufs des Tanais (c. 57 5), wahrscheinlich der heutige Donetz. Im *Ὄαρος* hat man die Wolga vermuthet, die freilich nicht in die Maeotis mündet. Die Bestimmung des *Λύκος* ist ganz ohne Anhalt.

124. 3. Man begreift nicht den Zweck dieser Bauten, da Dareios sie bei der grofsen Entfernung von seinem Reiche nicht zu behaupten hoffen durfte. 'Jene unvollendeten Burgen am Oaros waren wohl alte Grabhügel, welche sich in den Steppen über dem schwarzen Meere noch heute so häufig finden. Wie einige derselben Wälle der Kimmerier (c. 12 2), sollten jene jenseits des Don Wälle des Dareios sein. Waren es Skythen oder Griechen am Pontos, welche den Namen des Dareios mit jenen Hügeln in Verbindung brachten, Herodot bestimmte danach die Grenzen des Zuges'. *Duncker* alte Gesch. II 583.

5. *ἐς ἐμέ*, d. i. bis auf die Zeit, da H. am Pontos von ihnen hörte. An Autopsie ist nicht zu denken.

7. *τὰ κατύπερθε*, adverbial,

οὐκέτι ἐφαντάζοντό σφι, οὕτω δὴ ὁ Δαρεῖος τείχεα μὲν ἐκεῖνα ἡμίεργα μετῆκε, αὐτὸς δὲ ὑποστρέψας ἤιε πρὸς ἑσπέρην, δοκέων τούτους τε πάντας τοὺς Σκύθας εἶναι καὶ πρὸς ἑσπέρην σφέας φεύγειν.

125 *ἐλαύνων δὲ τὴν ταχίστην τὸν στρατὸν ὡς ἐς τὴν Σκυθικὴν ἀπίκετο, ἐνέκυρσε ἀμφοτέρῃσι τῇσι μοίρῃσι τῶν Σκυθέων, ἐντυχὼν δὲ ἐδίωκε ὑπεκφέροντας ἡμέρης ὁδῷ. καὶ οὐ γὰρ ἀνίει ἐπιὼν ὁ Δαρεῖος, οἱ Σκύθαι κατὰ τὰ βεβουλευμένα ὑπέφευγον ἐς τῶν ἀπειπαμένων τὴν σφετέρην συμμαχίην, πρώτην δὲ ἐς τῶν Μελαγχλαίνων τὴν γῆν. ὡς δὲ ἐσβαλόντες τούτους ἐτάραξαν οἵ τε Σκύθαι καὶ οἱ Πέρσαι, κατηγέοντο οἱ Σκύθαι ἐς τῶν Ἀνδροφάγων τοὺς χώρους. ταραχθέντων δὲ καὶ τούτων ὑπῆγον ἐπὶ τὴν Νευρίδα. ταρασσομένων δὲ καὶ τούτων ἤισαν ὑποφεύγοντες οἱ Σκύθαι ἐς τοὺς Ἀγαθύρσους. Ἀγάθυρσοι δὲ ὁρέοντες καὶ τοὺς ὁμούρους φεύγοντας ὑπὸ Σκυθέων καὶ τεταραγμένους, πρὶν ἤ σφι ἐμβαλεῖν τοὺς Σκύθας πέμψαντες κήρυκα ἀπηγόρευον Σκύθῃσι μὴ ἐπιβαίνειν τῶν σφετέρων οὔρων, προλέγοντες ὡς εἰ πειρήσονται ἐσβαλόντες, σφίσι πρῶτα διαμαχήσονται. Ἀγάθυρσοι μὲν προείπαντες ταῦτα ἐβοήθεον ἐπὶ τοὺς οὔρους, ἐρύκειν ἐν νόῳ ἔχοντες τοὺς ἐπιόντας· Μελάγχλαινοι δὲ καὶ Ἀνδροφάγοι καὶ Νευροὶ ἐσβαλόντων τῶν Περσέων ἅμα Σκύθῃσι οὔτε πρὸς ἀλκὴν ἐτράποντο, ἐπιλαθόμενοί τε τῆς ἀπειλῆς ἔφευγον αἰεὶ τὸ πρὸς βορέω ἐς τὴν ἐρῆμον τεταραγμένοι. οἱ δὲ Σκύθαι ἐς μὲν τοὺς Ἀγαθύρσους οὐκέτι ἀπείπαντας ἀπικνέοντο· οἱ δὲ ἐκ τῆς Νευρίδος χώρης ἐς τὴν σφετέρην κατηγέοντο τοῖσι Πέρσῃσι.*

125. 4. *ὑπεκφέροντας*, intransitiv, = *ὑπεξάγοντας* (c. 120 18). — *καὶ – γάρ* 'und da' (I 24 17).

9. *κατηγέοντο*: zu III 134 27.

21. *οὔτε – τε*: zu I 63 8.

22. *τῆς ἀπειλῆς*: s. c. 119 16 ff. — *τὸ πρὸς βόρεω*: zu c. 121 7. — *ἐς τὴν ἐρῆμον*, die sich nördlich von den genannten Völkern hinzog (c. 17 ff.).

24. *οὐκέτι* gehört zu *ἀπικνέοντο*. — *ἀπείπαντας*: das drohende Verbot unterstützte der hohe Gebirgswall, der die Agathyrsen von O. her deckte. Vgl. zu c. 104 1. — *οἱ δέ*: zu I 17 9.

25. Auffallen mufs es, dafs die Skythen den Feind, statt immer

Ὡς δὲ πολλὸν τοῦτο ἐγίνετο καὶ οὐκ ἐπαύετο, 126
πέμψας Δαρεῖος ἱππέα παρὰ τὸν Σκυθέων βασιλέα
Ἰδάνθυρσον ἔλεγε τάδε. „δαιμόνιε ἀνδρῶν, τί φεύγεις
αἰεί, ἐξεόν τοι τῶνδε τὰ ἕτερα ποιέειν; εἰ μὲν γὰρ ἀξιό-
χρεος δοκέεις εἶναι σεωυτῷ τοῖσι ἐμοῖσι πρήγμασι ἀν-
τιωθῆναι, σὺ δὲ στάς τε καὶ παυσάμενος πλάνης μά-
χεσθαι· εἰ δὲ συγγινώσκεαι εἶναι ἥσσων, σὺ δὲ καὶ
οὕτω παυσάμενος τοῦ δρόμου δεσπότῃ τῷ σῷ δῶρα
φέρων γῆν τε καὶ ὕδωρ ἐλθὲ ἐς λόγους.“ πρὸς ταῦτα 127
ὁ Σκυθέων βασιλεὺς Ἰδάνθυρσος ἔλεγε τάδε. „οὕτω
τὸ ἐμὸν ἔχει, ὦ Πέρσα. ἐγὼ οὐδένα κω ἀνθρώπων
δείσας ἔφυγον οὔτε πρότερον οὔτε νῦν σὲ φεύγω· οὐδέ
τι νεώτερόν εἰμι ποιήσας νῦν ἢ καὶ ἐν εἰρήνῃ ἐώθεα
ποιέειν. ὅ τι δὲ οὐκ αὐτίκα μάχομαί τοι, ἐγὼ καὶ
τοῦτο σημανέω· ἡμῖν οὔτε ἄστεα οὔτε γῆ πεφυτευμένη
ἐστί, τῶν πέρι δείσαντες μὴ ἁλῷ ἢ καρῇ ταχύτερον
συμμίσγοιμεν ἂν ἐς μάχην ὑμῖν. εἰ δὲ δέοι πάντως ἐς
τοῦτο κατὰ τάχος ἀπικνέεσθαι, τυγχάνουσι ἡμῖν ἐόντες
τάφοι πατρώιοι. φέρετε, τούτους ἀνευρόντες συγχέειν
πειρᾶσθε αὐτούς, καὶ γνώσεσθε τότε εἴτε ὑμῖν μαχησό-
μεθα περὶ τῶν τάφων εἴτε καὶ οὐ μαχησόμεθα. πρότε-
ρον δέ, ἢν μὴ ἡμέας λόγος αἱρέῃ, οὐ συμμίξομέν τοι.

weiter ins Innere und von dem Istros ab, in ihr eigenes Land und zu seiner Rückzugslinie, wenn auch auf einem Umwege, zurückführen, blofs — um sich an den selbstsüchtigen Nachbaren zu rächen.

126. *πολλόν* 'lange Zeit dauernd'.

3. *Ἰδάνθυρσον*: zu c. 120 7. — *δαιμόνιε ἀνδρῶν*, noch VII 48 2. Arist. Frö. 835 *ὦ δαιμόνι' ἀνδρῶν μὴ μεγάλα λίαν λέγε*. Od. ξ 443 *δαιμόνιε ξείνων*, 361 *δειλὲ ξείνων*, Theognis 307 *ὄβριμε παίδων*.

4. *ἀξιόχρεος* hier = *ἀξιόμαχος*. VII 101 *οὐκ ἀξιόμαχοί εἰσι ἐμὲ ἐπιόντα ὑπομεῖναι*.

6. *σὺ δέ*: zu I 112 9. II 39 9. Zum Infinitiv vgl. III 184 23.

9. Arist. Rhet. II 28 *τὸ διδόναι γῆν καὶ ὕδωρ δουλεύειν ἐστίν*.

127. 3. *οὕτω τὸ ἐμὸν ἔχει* 'mit mir steht es so'.

7. *πεφυτευμένη*, mit Bäumen; vgl. c. 19 4 *ψιλὴ δενδρέων*.

8. Die Form *ταχύτερον* noch IX 101 15.

10. *ἐς τοῦτο*, zum Kämpfen.

11. *τάφοι πατρώιοι*: s. c. 71. Die Perser können auf ihrem angeblichen Zuge durch die nördlichen Nachbarländer nicht weit davon entfernt geblieben sein.

14. *λόγος αἱρέῃ*: zu I 132 18; dafür c. 120 24 *βουλευομένοισι δοκέῃ*.

ἀμφὶ μὲν μάχῃ τοσαῦτα εἰρήσθω, δεσπότας δὲ ἐμοὺς Δία τε ἐγὼ νομίζω τὸν ἐμὸν πρόγονον καὶ Ἱστίην τὴν Σκυθέων βασίλειαν μούνους εἶναι. σοὶ δὲ ἀντὶ μὲν δώρων γῆς τε καὶ ὕδατος δῶρα πέμψω τοιαῦτα οἷα σοὶ πρέπει ἐλθεῖν, ἀντὶ δὲ τοῦ ὅτι δεσπότης ἔφησας εἶναι ἐμός, κλαίειν λέγω.“ [τοῦτό ἐστι ἡ ἀπὸ Σκυθέων ῥῆσις.]

128 *Ὁ μὲν δὴ κῆρυξ οἰχώκεε ἀγγελέων ταῦτα Δαρείῳ, οἱ δὲ Σκυθέων βασιλέες ἀκούσαντες τῆς δουλοσύνης τὸ οὔνομα ὀργῆς ἐπλήσθησαν. τὴν μὲν δὴ μετὰ Σαυροματέων μοῖραν ταχθεῖσαν, τῆς ἦρχε Σκώπασις, πέμπουσι Ἴωσι κελεύοντες ἐς λόγους ἀπικέσθαι, τούτοισι οἳ τὸν Ἴστρον ἐζευγμένον ἐφρούρεον· αὐτῶν δὲ τοῖσι ὑπολειπομένοισι ἔδοξε πλανᾶν μὲν μηκέτι Πέρσας, σῖτα δὲ ἑκάστοτε ἀναιρεομένοισι ἐπιτίθεσθαι. νωμῶντες ὦν σῖτα ἀναιρεομένους τοὺς Δαρείου ἐποίευν τὰ βεβουλευμένα. ἡ μὲν δὴ ἵππος τὴν ἵππον αἰεὶ τράπεσκε ἡ τῶν Σκυθέων, οἱ δὲ τῶν Περσέων ἱππόται φεύγοντες ἐσέπιπτον ἐς τὸν πεζόν, ὁ δὲ πεζὸς ἂν ἐπεκούρεε· οἱ*

16. *Δία*: vgl. c. 5 6. — *Ἱστίην*: zu c. 59 3.

18. Die Sendung erfolgt erst später (c. 131).

20f. *κλαίειν λέγω* (*σοί* oder *σέ*), auch *κλαίειν κελεύω*, *οἰμώζειν λέγω* oder blofs *οἴμωζε*, derbe Verwünschungs- und Abfertigungsformel, = *ἀπόλοιο*, *iubeo plorare* (Hor. Sat. I 10 91), 'es soll dir übel ergehen, hol dich der Henker', besonders in der attischen Komödie häufig; Gegensatz *χαίρειν λέγω* (*κελεύω*), *salvere iubeo*. — Der Zusatz *τοῦτο – ῥῆσις* bezieht sich auf die letzten Worte, kann aber nicht wohl von H. selber herrühren; denn der bei Späteren nicht seltene sprüchwörtliche Ausdruck *ἡ ἀπὸ Σκυθῶν ῥῆσις* (Demetr. de elocut. 216. 297. Athen. 524) scheint erst aus der herodoteischen Darstellung abgeleitet zu sein. Bekk. Anecd. p. 305 *ἡ ἀπὸ Σκυθῶν ῥῆσις τί ἐστιν; Ἰδάθυρσος Σκυθῶν βασιλεύς, Δαρείου πέμψαντος ὡς αὐτὸν πρέσβεις καὶ κελεύσαντος ἢ ὑπακούειν ἢ ὑπομεῖναι τὸ κινδυνεύειν, ἀπεκρίνατο οἰμώζειν Δαρείῳ.* Suidas s. v. *τέτακται ἡ παροιμία ἐπὶ τῶν ἀποτόμως οἰμώζειν τινὰ λεγόντων, παρ' ὅσον οἱ Σκύθαι κτλ.* Aehnlich Diogen. Laërt. V 11. Aber Diogen. L. I 101 *παρέσχε δὲ* (*Ἀνάχαρσις*) *καὶ ἀφορμὴν παροιμίας διὰ τὸ παρρησιαστὴς εἶναι, τὴν ἀπὸ Σκυθῶν ῥῆσιν*, also von jeder unverhohlenen rücksichtslosen Aeufserung seiner Meinung.

128. 2. *δουλοσύνης*: vgl. zu c. 126 9.

7f. *σῖτα – ἀναιρεομένοισι*, *frumentantibus*. — *νωμῶντες*, poetisch. Plat. Krat. 411 d *τὸ νωμᾶν καὶ τὸ σκοπεῖν ταὐτόν*.

δὲ Σκύθαι ἐσαράξαντες τὴν ἵππον ὑπέστρεφον, τὸν πεζὸν φοβεόμενοι. ἐποιεῦντο δὲ καὶ τὰς νύκτας παραπλησίας προσβολὰς οἱ Σκύθαι. τὸ δὲ τοῖσι Πέρσῃσί τε **129**
ἦν σύμμαχον καὶ τοῖσι Σκύθῃσι ἀντίξοον ἐπιτιθεμένοισι τῷ Δαρείου στρατοπέδῳ, θῶυμα μέγιστον ἐρέω, τῶν τε ὄνων ἡ φωνὴ καὶ τῶν ἡμιόνων τὸ εἶδος. οὔτε γὰρ ὄνον οὔτε ἡμίονον γῆ ἡ Σκυθικὴ φέρει, ὡς καὶ πρότερόν μοι δεδήλωται· οὐδὲ ἔστι ἐν τῇ Σκυθικῇ πάσῃ χώρῃ τὸ παράπαν οὔτε ὄνος οὔτε ἡμίονος διὰ τὰ ψύχεα. ὑβρίζοντες ὦν οἱ ὄνοι ἐτάρασσον τὴν ἵππον τῶν Σκυθέων. πολλάκις δὲ ἐπελαυνόντων ἐπὶ τοὺς Πέρσας μεταξὺ ὅκως ἀκούσειαν οἱ ἵπποι τῶν ὄνων τῆς φωνῆς, ἐταράσσοντό τε ὑποστρεφόμενοι καὶ ἐν θώυματι ἔσχον, ὀρθὰ ἱστάντες τὰ ὦτα, ἅτε οὔτε ἀκούσαντες πρότερον φωνῆς τοιαύτης οὔτε ἰδόντες τὸ εἶδος. ταῦτα μέν νυν ἐπὶ σμικρόν **130**
τι ἐφέροντο τοῦ πολέμου· οἱ δὲ Σκύθαι ὅκως τοὺς Πέρσας ἴδοιεν τεθορυβημένους, ἵνα παραμένοιέν τε ἐπὶ πλέω χρόνον ἐν τῇ Σκυθικῇ καὶ παραμένοντες ἀνιῴατο τῶν πάντων ἐπιδεέες ἐόντες, ἐποίευν τοιάδε. ὅκως τῶν προβάτων τῶν σφετέρων αὐτῶν καταλίποιεν μετὰ τῶν νομέων, αὐτοὶ ἂν ὑπεξήλαυνον ἐς ἄλλον χῶρον· οἱ δὲ ἂν Πέρσαι ἐπελθόντες λάβεσκον τὰ πρόβατα, καὶ λαβόντες ἐπηείροντο ἂν τῷ πεποιημένῳ. πολλάκις δὲ τοι- **131**
ούτου γινομένου, τέλος Δαρεῖός τε ἐν ἀπορίῃσι εἴχετο,

13. *ἐσαράξαντες*, sc. *ἐς τὸν πεζόν*. V 116 *ἐσαράξαντές σφεας ἐς τὰς νέας*.

129. 5. *πρότερον*, näml. c. 28.

7. *ὑβρίζοντες*, sc. *φωνῇ*, = *βρωμώμενοι*, *rudentes*. Die überlieferte Erklärung *σκιρτῶντες* trifft hier nicht zu.

9. *μεταξύ*, 'mitten im Ansprengen'.

130. *ἐφέροντο*, sc. *οἱ Πέρσαι*, 'dies waren die Vortheile, welche sie für eine ganz kurze Dauer des Krieges davontrugen'. — *ἐπὶ σμικρόν τι*: denn die Pferde gewöhnten sich bald an die fremde Erscheinung. Ueber das steigernde *τι* beim Adjectiv zu V 33 9.

3. *Scytharum valde miror institutum. Persas commeatu intercludere volunt, et pecora illis abigenda relinquunt; quae utique consilio non respondent.* Wesseling.

5 ff. *ὅκως*: zu I 17 10. — *μετὰ τῶν νομέων*, um den Persern Gelegenheit zu einem Scheinsiege zu geben.

8. *ἄν*: zu II 174 5.

9. *ἐπηείροντο*, *animos tollebant*.

καὶ οἱ Σκυθέων βασιλέες μαθόντες τοῦτο ἔπεμπον κήρυκα δῶρα Δαρείῳ φέροντα ὄρνιθά τε καὶ μῦν καὶ βάτραχον καὶ ὀιστοὺς πέντε. Πέρσαι δὲ τὸν φέροντα τὰ δῶρα ἐπειρώτεον τὸν νόον τῶν διδομένων· ὁ δὲ οὐδὲν ἔφη οἱ ἐπεστάλθαι ἄλλο ἢ δόντα τὴν ταχίστην ἀπαλλάσσεσθαι· αὐτοὺς δὲ τοὺς Πέρσας ἐκέλευε, εἰ σοφοί εἰσι, γνῶναι τὸ θέλει τὰ δῶρα λέγειν. ταῦτα ἀκούσαντες οἱ Πέρσαι ἐβουλεύοντο.

132 *Δαρείου μέν νυν ἡ γνώμη ἦν Σκύθας ἑωυτῷ διδόναι σφέας τε αὐτοὺς καὶ γῆν τε καὶ ὕδωρ, εἰκάζων τῇδε, ὡς μῦς μὲν ἐν γῇ γίνεται καρπὸν τὸν αὐτὸν ἀνθρώπῳ σιτεόμενος, βάτραχος δὲ ἐν ὕδατι, ὄρνις δὲ μάλιστα οἶκε ἵππῳ, τοὺς δὲ ὀιστοὺς ὡς τὴν ἑωυτῶν ἀλκὴν παραδιδοῦσι. αὕτη μὲν Δαρείῳ*

131. 3ff. Der Logograph Pherekydes Fr. 113 erzählte diese Geschichte ziemlich abweichend von H. *Δαρείῳ διαβάντι τὸν Ἴστρον πόλεμον ἀπειλοῦντα πέμψαι (Ἰδαν θούραν) σύμβολον ἀντὶ τῶν γραμμάτων, μῦν, βάτραχον, ὄρνιθα, ὀιστόν, ἄροτρον. ἀπορίας δὲ οὔσης οἵας εἰκὸς ἐπὶ τούτοις, Ὀροντοπάγας μὲν ὁ χιλίαρχος ἔλεγε παραδώσειν αὐτοὺς τὴν ἀρχήν, τεκμαιρόμενος ἀπὸ μὲν τοῦ μυὸς τὰς οἰκήσεις, ἀπὸ δὲ τοῦ βατράχου τὰ ὕδατα, τὸν ἀέρα τε ἀπὸ τῆς ὄρνιθος, καὶ ἀπὸ τοῦ ὀιστοῦ τὰ ὅπλα, ἀπὸ δὲ τοῦ ἀρότρου τὴν χώραν. Ξιφόδρης δὲ ἔμπαλιν ἡρμήνευσεν· ἔφασκε γάρ, ἐὰν μὴ ὡς ὄρνιθες ἀναπτῶμεν ἢ ὡς μύες κατὰ τῆς γῆς ἢ ὡς οἱ βάτραχοι καθ' ὕδατος δύωμεν, οὐκ ἂν φύγοιμεν τὰ ἐκείνων βέλη· τῆς γὰρ χώρας οὐκ ἐσμὲν κύριοι.* Ganz anders Ktesias Exc. Pers. 17 *στράτευμα ἀγείρας Δαρεῖος ὀγδοήκοντα μυριάδας καὶ ζεύξας τὸν Βόσπορον καὶ τὸν Ἴστρον διέβη ἐπὶ Σκύθας, ὁδὸν ἐλάσας ἡμερῶν ιε'. καὶ ἀντέπεμπον ἀλλήλοις τόξα. ἐπικρατέστερον δ' ἦν τὸ τῶν Σκυθῶν. διὸ καὶ φεύγων Δαρεῖος διέβη τὰς γεφυρώσεις καὶ ἔλυσε σπεύδων πρὶν ἢ τὸ ὅλον διαβῆναι στράτευμα.*

5. *πέντε*: vgl. zu c. 64 16.

9. *θέλει λέγειν*: zu II 13 18.

132. 3. *εἰκάζων*, weil *Δαρείου ἡ γνώμη ἦν = Δαρεῖος ἔγνω*. Vgl. zu III 16 13. — In der Maus sieht Dareios eine doppelte Anspielung, auf das Land und auf die Menschen (*σφέας τε αὐτοὺς καὶ γῆν*), auf jenes, weil sie in der Erde wohne, auf diese, weil sie wie die Menschen von Getreide lebe. Das Thier gehörte übrigens zu den Besonderheiten Skythiens. 'Die südrussischen Steppen wimmeln von Nagethieren, welche die Griechen insgesammt unter dem Gattungsnamen Mäuse begriffen; auch Hippokrates (*περὶ ἀέρ.* 19 *καὶ τὰ θηρία οὐ γίνεται μεγάλα ἀλλ' οἷά τε ἐστὶ ὑπὸ γῆν σκεπάζεσθαι*) und andere Naturforscher haben offenbar von dem Reichthum dieser Landschaften an solchen Wühlern gehört'. *Neum.* I 287. Nach Iustinus II 2 kleideten sich die Skythen in Felle von 'Mäusen'.

5. *ἵππῳ*, sc. *πάντων τῶν θνητῶν τῷ ταχίστῳ* (I 216 17). In dem Symbol des Pferdes schienen

ἡ γνώμη ἀπεδέδεκτο, συνεστήκεε δὲ ταύτῃ τῇ γνώμῃ ἡ
Γωβρύεω, τῶν ἀνδρῶν τῶν ἑπτὰ ἑνὸς τῶν τὸν Μάγον
κατελόντων, εἰκάζοντος τὰ δῶρα λέγειν „ἢν μὴ ὄρνιθες
γενόμενοι ἀναπτῆσθε ἐς τὸν οὐρανόν, ὦ Πέρσαι, ἢ μύες
γενόμενοι κατὰ τῆς γῆς καταδύητε, ἢ βάτραχοι γενόμε-
νοι ἐς τὰς λίμνας ἐσπηδήσητε, οὐκ ἀπονοστήσετε ὀπίσω
ὑπὸ τῶνδε τῶν τοξευμάτων βαλλόμενοι.“
Πέρσαι μὲν δὴ τὰ δῶρα εἴκαζον. ἡ δὲ Σκυθέων 133
μία μοῖρα ἡ ταχθεῖσα πρότερον μὲν παρὰ τὴν Μαιῆ-
τιν λίμνην φρουρέειν, τότε δὲ ἐπὶ τὸν Ἴστρον Ἴωσι
ἐς λόγους ἐλθεῖν, ὡς ἀπίκετο ἐπὶ τὴν γέφυραν, ἔλεγε
τάδε. „ἄνδρες Ἴωνες, ἐλευθερίην ὑμῖν ἥκομεν φέρον-
τες, ἤν πέρ γε ἐθέλητε ἐσακούειν. πυνθανόμεθα γὰρ
Δαρεῖον ἐντείλασθαι ὑμῖν ἑξήκοντα ἡμέρας μούνας
φρουρήσαντας τὴν γέφυραν, αὐτοῦ μὴ παραγενομένου
ἐν τούτῳ τῷ χρόνῳ, ἀπαλλάσσεσθαι ἐς τὴν ὑμετέρην.
νῦν ὦν ὑμεῖς τάδε ποιεῦντες ἐκτὸς μὲν ἔσεσθε πρὸς
ἐκείνου αἰτίης, ἐκτὸς δὲ πρὸς ἡμέων· τὰς προκειμένας
ἡμέρας παραμείναντες τὸ ἀπὸ τούτου ἀπαλλάσσεσθε.“
οὗτοι μέν νυν ὑποδεξαμένων Ἰώνων ποιήσειν ταῦτα 134
ὀπίσω τὴν ταχίστην ἠπείγοντο. Πέρσῃσι δὲ μετὰ τὰ
δῶρα τὰ ἐλθόντα Δαρείῳ ἀντετάχθησαν οἱ ὑπολειφθέν-
τες Σκύθαι πεζῷ καὶ ἵπποισι ὡς συμβαλέοντες. τεταγμέ-

die Skythen ihren besten und nöthigsten Besitz zu übergeben.

7. *συνεστήκεε*, *adversabatur* (I 208 1).]

133. *τὰ δῶρα εἴκαζον* ('rietben'), eigentlich *τῶν δώρων τὸν νόον*; vgl. c. 131 6. Aehnlich c. 134 7 *εἴρετο – τὸν θόρυβον* 'nach der Ursache des Lärms'. S. zu III 122 7.

7. *ἑξήκοντα*: s. c. 98. Die Skythen sahen sie bei dieser ersten Unterredung mit den Ionern als noch nicht abgelaufen an; vgl. c. 136. Und doch war das ungeheure Heer der Perser (c. 87) nebst allem Trofs schon vom Istros bis zur Maeotis (20 Tagemärsche; c. 101), an denselben hinauf über den Tanais durch das Land der Sauromaten (18 Tagemärsche; c. 21. 116), durch die Wälder der Budinen (von unbekannter Ausdehnung), die Wüste (7 Tagemärsche; c. 123), wo acht Castelle gebaut worden (c. 124), dann längs der skythischen Nordgränze bis zu den Agathyrsen (mindestens 20 Tagemärsche; c. 101) und wieder südwärts gezogen! Nach H.'s eigenen Angaben setzt dieser Weg den Verlauf von etwa 100 Tagen voraus.

134. 2f. 'nach der Ankunft der Geschenke'. Aehnlich VI 98 3.

4. *πεζῷ*: Fufsvolk ist bis hier

νοισι δὲ τοῖσι Σκύθῃσι λαγὸς ἐς τὸ μέσον διήιξε· τῶν δὲ ὡς ἕκαστοι ὥρεον τὸν λαγὸν ἐδίωκον. ταραχθέντων δὲ τῶν Σκυθέων καὶ βοῇ χρεομένων, εἴρετο ὁ Δαρεῖος τῶν ἀντιπολέμων τὸν θόρυβον· πυθόμενος δέ σφεας τὸν λαγὸν διώκοντας, εἶπε ἄρα πρὸς τούς περ ἐώθεε καὶ τὰ ἄλλα λέγειν, „οὗτοι ὦνδρες ἡμέων πολλὸν καταφρονέουσι, καί μοι νῦν φαίνεται Γωβρύης εἶπαι περὶ τῶν Σκυθικῶν δώρων ὀρθῶς. ὡς ὦν οὕτω ἤδη δοκεόντων καὶ αὐτῷ μοι ἔχειν, βουλῆς ἀγαθῆς δεῖ, ὅκως ἀσφαλέως ἡ κομιδὴ ἡμῖν ἔσται τὸ ὀπίσω.“ πρὸς ταῦτα Γωβρύης εἶπε „ὦ βασιλεῦ, ἐγώ σχεδὸν μὲν καὶ λόγῳ ἠπιστάμην τούτων τῶν ἀνδρῶν τὴν ἀπορίην, ἐλθὼν δὲ μᾶλλον ἐξέμαθον, ὁρέων αὐτοὺς ἐμπαίζοντας ἡμῖν. νῦν ὦν μοι δοκέει, ἐπεὰν τάχιστα νὺξ ἐπέλθῃ, ἐκκαύσαντας τὰ πυρὰ ὡς καὶ ἄλλοτε ἐώθαμεν ποιέειν, τῶν στρατιωτέων τοὺς ἀσθενεστάτους ἐς τὰς ταλαιπωρίας ἐξαπατήσαντας καὶ τοὺς ὄνους πάντας καταδήσαντας ἀπαλλάσσεσθαι, πρὶν ἢ καὶ ἐπὶ τὸν Ἴστρον ἰθῦσαι Σκύθας λύσαντας τὴν γέφυραν, ἤ καί τι Ἴωσι δόξαι τὸ ἡμέας
135 οἷόν τε ἔσται ἐξεργάσασθαι.“ Γωβρύης μὲν ταῦτα συν-

nirgends als ein Bestandtheil des skythischen Heeres erwähnt; auch besassen die Skythen selber schwerlich diese Waffengattung (vgl. c. 46 13. 136 10), vielleicht aber ihre Bundesgenossen, die Sauromaten, Gelonen und Budinen. Vgl. auch I 215.

5f. *ἐς τὸ μέσον* (sc. *τῶν στρατοπέδων*, = *τὸ μεταίχμιον*) *διήιξε*, brachylogisch st. *ἐσδραμὼν ἐς τὸ μέσον διήιξε διὰ τοῦ μέσου*, 'lief zwischen den beiden Heeren hindurch'. Vgl. II 127 10. — *ἕκαστοι*, welche der Hase auf seinem Laufe längs der ganzen Schlachtlinie passirte. — *ταραχθέντων*, durch Auflösung der Gliederordnung.

8. *ἀντιπολέμων*: zu c. 140 10. — *τὸν θόρυβον*: zu c. 133 1.

9. *ἄρα* steht so noch IX 9 7.

11. *καταφρονέουσι*: treiben sie doch vor unseren Augen ihren Kurzweil. Vgl. 17 *ἐμπαίζοντας ἡμῖν*.

13. Zu *ὡς οὕτω δοκεόντων* (sc. *τούτων* oder *τῶν πρηγμάτων*) vgl. das öftere *ὡς ὧδ' ἐχόντων* (I 126 27). — *αὐτῷ μοι*: s. III 142 20.

14. *ἀσφαλέως – ἔσται* 'wird ungefährdet stattfinden können'. — *ἡ κομιδὴ – τὸ ὀπίσω* 'der Rückzug', wie VIII 108 17; aber VIII 120 2 *ἐν τῇ ὀπίσω κομιδῇ*. Eigentlich *ἡ τὸ ὀπίσω*, s. aber zu III 7 2.

15. *σχεδόν*, opinor (V 19 10). — *λόγῳ*, fama (II 150 9).

16. *ἀπορίην*: zu c. 83 7.

18. *ἐκκαύσαντας* = *ἀνακαύσαντας*; ebenso c. 135 13. Anders VII 18 3.

24. *ἐξεργάσασθαι*: zu III 30 3.

ἐβούλευε, μετὰ δὲ νύξ τε ἐγένετο καὶ Δαρεῖος ἐχρᾶτο τῇ γνώμῃ ταύτῃ· τοὺς μὲν καματηροὺς τῶν ἀνδρῶν, καὶ τῶν ἦν ἐλάχιστος ἀπολλυμένων λόγος, καὶ τοὺς ὄνους πάντας καταδήσας κατέλιπε αὐτοῦ [ταύτῃ] ἐν τῷ στρατοπέδῳ. κατέλιπε δὲ τούς τε ὄνους καὶ τοὺς ἀσθενέας τῆς στρατιῆς τῶνδε εἵνεκεν, ἵνα οἱ μὲν ὄνοι βοὴν παρέχωνται· οἱ δὲ ἄνθρωποι ἀσθενείης μὲν εἵνεκεν κατελείποντο, προφάσιος δὲ τῆσδε δηλαδή· αὐτὸς μὲν σὺν τῷ καθαρῷ τοῦ στρατοῦ ἐπιθήσεσθαι μέλλοι τοῖσι Σκύθῃσι, οὗτοι δὲ τὸ στρατόπεδον τοῦτον τὸν χρόνον ῥυοίατο. ταῦτα τοῖσι ὑπολειπομένοισι ὑποθέμενος ὁ Δαρεῖος καὶ πυρὰ ἐκκαύσας τὴν ταχίστην ἠπείγετο ἐπὶ τὸν Ἴστρον. οἱ δὲ ὄνοι ἐρημωθέντες τοῦ ὁμίλου οὕτω δὴ μᾶλλον πολλῷ ἵεσαν τῆς φωνῆς· ἀκούοντες δὲ οἱ Σκύθαι τῶν ὄνων πάγχυ κατὰ χώρην ἤλπιζον τοὺς Πέρσας εἶναι. **136** *ἡμέρης δὲ γενομένης γνόντες οἱ ὑπολειφθέντες ὡς προδεδομένοι εἶεν ὑπὸ Δαρείου, χεῖράς τε προέτεινον τοῖσι Σκύθῃσι καὶ ἔλεγον τὰ κατήκοντα· οἱ δὲ ὡς ἤκουσαν ταῦτα, τὴν ταχίστην συστραφέντες, αἵ τε δύο μοῖραι τῶν Σκυθέων καὶ ἡ μετὰ Σαυροματέων καὶ Βουδῖνοι καὶ Γελωνοί, ἐδίωκον τοὺς Πέρσας ἰθὺ τοῦ Ἴστρου. ἅτε δὲ τοῦ Περσικοῦ μὲν τοῦ πολλοῦ ἐόντος πεζοῦ στρατοῦ, καὶ τὰς ὁδοὺς οὐκ ἐπισταμένου ὥστε οὐ τετμημενέων τῶν ὁδῶν, τοῦ δὲ*

135. 2. Von der Parataxis zu II 93 26.

4. Vgl. III 155 22.

9. *προφάσιος*, sc. *εἵνεκεν*, 'aus diesem Grunde' (I 29 8). — *δηλαδή*, ironisch, wie VI 39 10.

10. *τῷ καθαρῷ*, *expedita parte* (I 211 5). — Vom Optativ *μέλλοι* zu VI 3 8.

12. *ὑποθέμενος*, *adhortatus*, näml. *ῥύεσθαι τὸ στρατόπεδον*.

15. *τῆς φωνῆς*, *genit. part.*; nicht von *μᾶλλον* abhängig.

16. *κατὰ χώρην*: zu III 135 18.

136. 3. *τὰ κατήκοντα*: zu I 97 9.

5 f. Vgl. c. 120.

8. *τοῦ πολλοῦ* 'gröfstentheils'. So I 102 *ὁ στρατὸς ὁ πολλός*.

9. *ὥστε* = *ἅτε*. — *τετμημενέων*: 'Die Hellenen befolgten, soweit der Boden des Landes nackter Fels oder nur mit dünner Erde bedeckt war, bei ihren Strafsen ein Prinzip, welches mit dem unsrer heutigen Schienenwege darin übereinstimmt, dafs man nicht den ganzen Damm fahrbar machte, sondern sich mit einem Nivellement desselben begnügte, für die Räder aber Geleise anlegte . . Das Einschneiden des Geleises ist demnach die Haupt-

Σκυθικοῦ ἱππότεω καὶ τὰ σύντομα τῆς ὁδοῦ ἐπισταμένου, ἁμαρτόντες ἀλλήλων, ἔφθησαν πολλῷ οἱ Σκύθαι τοὺς Πέρσας ἐπὶ τὴν γέφυραν ἀπικόμενοι. μαθόντες δὲ τοὺς Πέρσας οὔκω ἀπιγμένους ἔλεγον πρὸς τοὺς Ἴωνας ἐόντας ἐν τῇσι νηυσί „ἄνδρες Ἴωνες, αἵ τε ἡμέραι ὑμῖν τοῦ ἀριθμοῦ διοίχηνται, καὶ οὐ ποιέετε δίκαια ἔτι παραμένοντες. ἀλλ᾽ ἐπεὶ πρότερον δειμαίνοντες ἐμένετε, νῦν λύσαντες τὸν πόρον τὴν ταχίστην ἄπιτε χαίροντες ἐλεύθεροι, θεοῖσί τε καὶ Σκύθῃσι εἰδότες χάριν. τὸν δὲ πρότερον ἐόντα ὑμέων δεσπότην ἡμεῖς παραστησόμεθα οὕτω ὥστε ἐπὶ μηδαμοὺς ἔτι ἀνθρώ-

137 *πους αὐτὸν στρατεύσασθαι.“ πρὸς ταῦτα οἱ Ἴωνες ἐβουλεύοντο. Μιλτιάδεω μὲν τοῦ Ἀθηναίου, στρατηγέοντος καὶ τυραννεύοντος Χερσονησιτέων τῶν ἐν Ἑλλησπόντῳ, ἦν γνώμη πείθεσθαι Σκύθῃσι καὶ ἐλευθεροῦν Ἰωνίην, Ἱστιαίου δὲ τοῦ Μιλησίου ἐναντίη ταύτῃ, λέγοντος ὡς νῦν μὲν διὰ Δαρεῖον ἕκαστος αὐτῶν τυραννεύει πόλιος, τῆς Δαρείου δὲ δυνάμιος καταιρεθείσης οὔτε αὐτὸς Μιλησίων οἷός τε ἔσεσθαι ἄρχειν οὔτε ἄλλον οὐδένα οὐδαμῶν· βουλήσεσθαι γὰρ ἑκάστην τῶν πολίων δημοκρατέεσθαι μᾶλλον ἢ τυραννεύεσθαι. Ἱστιαίου δὲ γνώμην ταύτην ἀποδεικνυμένου αὐτίκα πάν-*

aufgabe beim Wegebaue, und daraus erklärt sich auch der den alten Sprachen gemeinsame Ausdruck 'den Weg schneiden', *τέμνειν ὁδόν*, *ῥυμοτομία*, *secare viam*'. *Curtius* zur Gesch. des Wegebaues S. 13. Vgl. I 180 10.

10. *τὰ σύντομα τῆς ὁδοῦ* 'den kürzesten Weg'. (I 185 32).

11. *ἁμαρτόντες ἀλλήλων*, als sollte eine Aussage von beiden Subjecten folgen, *οἱ μὲν Σκύθαι . . οἱ δὲ Πέρσαι . .*

14. *ἐν τῇσι νηυσί*, bei der Schiffbrücke (c. 89).

15. *αἱ ἡμέραι – τοῦ ἀριθμοῦ* 'die Tage der (vorgeschriebenen) Anzahl', ungewöhnlich st. *τῶν ἡμερέων ὁ ἀριθμὸς διοίχηται*. Vgl. c. 98 8 *αἱ ἡμέραι τῶν ἁμμάτων*, auch c. 18 7. Zu *τοῦ ἀριθμοῦ* II 4 *ἐπάγουσι ἀνὰ πᾶν ἔτος πέντε ἡμέρας πάρεξ τοῦ ἀριθμοῦ*.

17 f. *ἄπιτε χαίροντες*: zu I 121 4.

20. *παραστησόμεθα*: zu III 45 14.

137. 2. Näheres über Miltiades, Kimon's Sohn, den Sieger bei Marathon, s. VI 39 ff.

6. *διὰ Δαρεῖον*, *beneficio Darei*. Cornel. Nep. Milt. 3 *quod Darii regno ipsorum niteretur dominatio*.

11. *γνώμην ταύτην*: zu III 81 2.

τες ἦσαν τετραμμένοι πρὸς ταύτην τὴν γνώμην, πρότερον τὴν Μιλτιάδεω αἱρεόμενοι. ἦσαν δὲ οὗτοι οἱ δια- 138
φέροντές τε τὴν ψῆφον καὶ ἐόντες λόγου πρὸς βασιλέος, Ἑλλησποντίων μὲν τύραννοι Δάφνις τε Ἀβυδηνὸς καὶ Ἵπποκλος Λαμψακηνὸς καὶ Ἡρόφαντος Παριηνὸς καὶ Μητρόδωρος Προκοννήσιος καὶ Ἀρισταγόρης Κυζικηνὸς καὶ Ἀρίστων Βυζάντιος· οὗτοι μὲν ἦσαν οἱ ἐξ Ἑλλησπόντου, ἀπ' Ἰωνίης δὲ Στράττις τε Χῖος καὶ Αἰάκης Σάμιος καὶ Λαοδάμας Φωκαιεὺς καὶ Ἱστιαῖος Μιλήσιος, τοῦ ἦν γνώμη προκειμένη ἐναντίη τῇ Μιλτιάδεω. Αἰολέων δὲ παρῆν λόγιμος μοῦνος Ἀρισταγόρης Κυμαῖος. οὗτοι ὦν ἐπείτε τὴν Ἱστιαίου αἱρέοντο γνώμην, ἔδοξέ 139
σφι πρὸς ταύτῃ τάδε ἔργα τε καὶ ἔπεα προσθεῖναι, τῆς μὲν γεφύρης λύειν τὰ κατὰ τοὺς Σκύθας ἐόντα, λύειν δὲ ὅσον τόξευμα ἐξικνέεται, ἵνα καὶ ποιέειν τι δοκέωσι ποιεῦντες μηδὲν καὶ οἱ Σκύθαι μὴ πειρῴατο βιώμενοι καὶ βουλόμενοι διαβῆναι τὸν Ἴστρον κατὰ τὴν γέφυραν,

138. 2. *διαφέροντες τὴν ψῆφον*, nicht wesentlich verschieden von dem häufigeren *φέροντες τ. ψ.*, = *διαψηφιζόμενοι*. Die Präposition bezieht sich auf die zwei vorliegenden Anträge, zwischen denen zu wählen war. Vgl. VIII 123 *διενέμοντο τὰς ψήφους*, und *διαγνώμη* 'Abstimmung, Entscheidung' bei Thukyd. I 87 u. s. — *ἐόντες λόγου πρὸς βασιλέος* 'beim Könige in Ansehen stehend', wie I 120 *λόγου οὐδενὸς γινόμεθα πρὸς Περσέων*, wäre hier wenig passend, auch im Ausdruck ungewöhnlich statt *λόγου μεγάλου* od. ä. H. will nur die angesehenen und nennenswerthen (*λόγιμοι*) unter den Anführern namhaft machen; daher nennt er unter den Aeolern nur den Kymaeer Aristagoras (10), nicht auch den Mitylenaeer Koes, der doch bereits des Königs Gunst in ausgezeichneter Weise besaſs (c. 97 f.). Wahrscheinlich schrieb H. *διαφέροντές τε τὴν ψῆφον πρὸς βασιλέος* ('zu Gunsten des Königs') *καὶ ἐόντες λόγιμοι.*

4. *Ἵπποκλος*: vgl. zu c. 83 9. — *Παριηνός*, aus *Πάριον* (V 117 4).

6. *οἱ ἐξ Ἑλλησπόντου* = *οἱ Ἑλλησπόντιοι*; zu c. 95 2. Auch der Byzantier wird dazu gerechnet; zu c. 38 6.

7. *Στράττις*: er behauptete sich in der Tyrannis, die Zeit des ionischen Aufstandes abgerechnet, bis nach der Schlacht bei Salamis (VIII 132). Vgl. zu c. 97 8. — *Αἰάκης*: zu III 39 3.

10. *Ἀρισταγόρης*: vgl. V 37 4. 38 3.

139. 3. Dem *μέν* entspricht 7 *τε*. Im ersten Gliede werden die *ἔργα*, im zweiten die *ἔπεα* dargelegt.

6. Die Worte *καὶ βουλόμενοι* zeigen auf eine Corruptel. Vielleicht ist *μὴ ἔχοιεν* hinter *κατὰ τὴν γέφυραν* ausgefallen, 'daſs sie nicht versuchten Gewalt zu gebrauchen,

εἰπεῖν τε λύοντας τῆς γεφύρης τὸ ἐς τὴν Σκυθικὴν ἔχον ὡς πάντα ποιήσουσι τὰ Σκύθῃσί ἐστι ἐν ἡδονῇ. ταῦτα μὲν προσέθηκαν τῇ γνώμῃ· μετὰ δὲ ἐκ πάντων ὑπεκρίνατο Ἱστιαῖος τάδε λέγων. „ἄνδρες Σκύθαι, χρηστὰ ἥκετε φέροντες καὶ ἐς καιρὸν ἐπείγεσθε· καὶ τά τε ἀπ' ὑμέων ἡμῖν χρηστῶς ὁδοῦται, καὶ τὰ ἀπ' ἡμέων ἐς ὑμέας ἐπιτηδέως ὑπηρετέεται. ὡς γὰρ ὁρᾶτε, καὶ λύομεν τὸν πόρον, καὶ προθυμίην πᾶσαν ἕξομεν θέλοντες εἶναι ἐλεύθεροι. ἐν ᾧ δὲ ἡμεῖς τάδε λύομεν, ὑμέας καιρός ἐστι δίζησθαι ἐκείνους, εὑρόντας δὲ ὑπέρ τε ἡμέων καὶ ὑμέων αὐτῶν τίσασθαι οὕτω ὡς κείνους πρέπει."

140 Σκύθαι μὲν τὸ δεύτερον Ἴωσι πιστεύοντες λέγειν ἀληθέα ὑπέστρεφον ἐπὶ ζήτησιν τῶν Περσέων, καὶ ἡμάρτανον πάσης τῆς ἐκείνων διεξόδου. αἴτιοι δὲ τούτου αὐτοὶ οἱ Σκύθαι ἐγένοντο, τὰς νομὰς τῶν ἵππων τὰς ταύτῃ διαφθείραντες καὶ τὰ ὕδατα συγχώσαντες. εἰ γὰρ ταῦτα μὴ ἐποίησαν, παρεῖχε ἄν σφι, εἰ ἐβούλοντο, εὐπετέως ἐξευρεῖν τοὺς Πέρσας· νῦν δὲ τά σφι ἐδόκεε ἄριστα βεβουλεῦσθαι, κατὰ ταῦτα ἐσφάλησαν. Σκύθαι μέν νυν τῆς σφετέρης χώρης τῇ χιλός τε τοῖσι ἵπποισι καὶ ὕδατα ἦν, ταύτῃ διεξιόντες ἐδίζηντο τοὺς ἀντιπολέμους, δοκέοντες καὶ ἐκείνους διὰ τοιούτων τὴν ἀπόδρησιν ποιέεσθαι· οἱ δὲ δὴ Πέρσαι τὸν πρότερον ἑωυτῶν γενόμενον στίβον, τοῦτον φυλάσσοντες ἤισαν, καὶ

und, falls sie auf der Brücke über den Istros gehen wollten, dazu nicht im Stande seien'.

8. ἐν ἡδονῇ 'angenehm, erwünscht'; vgl. πρὸς ἡδονήν (III 126 13).

12. ὁδοῦται, *praeitur, monstratur*. Vgl. VI 73 2.

13. ἐπιτηδέως ὑπηρετέεται: vgl. I 108 22.

17. κείνους, sc. τίσασθαι; vgl. VIII 68$^{\alpha}$ 13. 114 14.

140. τὸ δεύτερον: vgl. c. 134 1.

10. ἀντιπολέμους = πολεμίους Hesych., noch c. 134 8. VII 236 17. VIII 68$^{\beta}$ 2.

12f. Das persische Heer kehrte aus dem Norden, nämlich aus dem Lande der Neuren und von den Gränzen der Agathyrsen zurück (c. 125); sein Einmarsch aber war ostwärts auf den Tanais zu erfolgt (c. 122). Dennoch soll es auf dem Rückmarsche der Spur des Einmarsches folgen und so wieder an die Mündung des Istros gelangen. Zur Lösung dieses Widerspruchs reicht es nicht aus, daſs H.

οὕτω μόγις εὗρον τὸν πόρον. οἷα δὲ νυκτός τε ἀπικό-
μενοι καὶ λελυμένης τῆς γεφύρης ἐντυχόντες, ἐς πᾶσαν
ἀρρωδίην ἀπίκατο μή σφεας οἱ Ἴωνες ἔωσι ἀπολελοι-
πότες. ἦν δὲ περὶ Δαρεῖον ἀνὴρ Αἰγύπτιος φωνέων 141
μέγιστον ἀνθρώπων· τοῦτον τὸν ἄνδρα καταστάντα
ἐπὶ τοῦ χείλεος τοῦ Ἴστρου ἐκέλευε Δαρεῖος καλέειν
Ἱστιαῖον Μιλήσιον. ὁ μὲν δὴ ἐποίεε ταῦτα, Ἱστιαῖος
δὲ ἐπακούσας τῷ πρώτῳ κελεύσματι τάς τε νέας ἁπά-
σας παρεῖχε διαπορθμεύειν τὴν στρατιὴν καὶ τὴν γέ-
φυραν ἔζευξε. Πέρσαι μὲν ὦν οὕτω ἐκφεύγουσι, Σκύ- 142
θαι δὲ διζήμενοι καὶ τὸ δεύτερον ἥμαρτον τῶν Περ-
σέων, καὶ τοῦτο μέν, ὡς ἐόντας Ἴωνας ἐλευθέρους,
κακίστους τε καὶ ἀνανδροτάτους κρίνουσι εἶναι ἁπάν-
των ἀνθρώπων, τοῦτο δέ, ὡς δούλων Ἰώνων τὸν λό-
γον ποιεύμενοι, ἀνδράποδα φιλοδέσποτά φασι εἶναι καὶ
ἄδρηστα μάλιστα. ταῦτα μὲν δὴ Σκύθῃσι ἐς Ἴωνας
ἀπέρριπται.

Δαρεῖος δὲ διὰ τῆς Θρηίκης πορευόμενος ἀπίκετο 143
ἐς Σηστὸν τῆς Χερσονήσου· ἐνθεῦτεν δὲ αὐτὸς μὲν
διέβη τῇσι νηυσὶ ἐς τὴν Ἀσίην, λείπει δὲ στρατηγὸν ἐν
τῇ Εὐρώπῃ Μεγάβαζον ἄνδρα Πέρσην, τῷ Δαρεῖός
κοτε ἔδωκε γέρας, τοιόνδε εἴπας ἐν Πέρσῃσι ἔπος. ὡρ-

das Heer zuletzt noch eine Zeitlang im eigentlichen Skythien hin- und herziehen läſst (c. 128 ff.).

15 f. *ἐντυχόντες* mit dem Genitiv, indem der Begriff des Simplex vorwaltet; ähnlich VII 208 *ἀλογίης ἐνεκύρησε*, Soph. Phil. 1333 *ἐντυχὼν Ἀσκληπιδῶν*. — *ἐς πᾶσαν ἀρρωδίην ἀπίκατο* 'waren in lauter, d. h. in groſse Angst gerathen'; VIII 36 *ἐς πᾶσαν ἀρρωδίην ἀπίκατο, ἐν δείματι δὲ μεγάλῳ κατεστεῶτες κτλ.*, IX 7β 1. S. zu II 124 2.

141. 5. *ἐπακούειν*, eigentlich *exaudire* (IX 98 19), mit dem Dativ, weil hier = *ἐσακούειν*, *πείθεσθαι*.

142. 3. 'Die Ioner insofern sie freie Männer seien'.

5. 'insofern man die Ioner als Sklaven in Betracht nehme'.

7. *ἄδρηστα*, activisch; Gegensatz *δρηπέτης* (VI 11 7). — *ἀπέρριπται*: zu I 153 10.

143. 2. Warum Dareios nicht, wie beim Hinzuge, den Weg über den Bosporos wählte, erhellt aus V 26 f. Byzantion und Kalchedon hatten seine Niederlage zum Abfall benutzt und wahrscheinlich die Schiffbrücke zerstört. Vgl. zu c. 87 10. Die Skythen verfolgten den König bis an den Hellespont (VI 40). Vgl. auch VI 84.

5. *γέρας* 'Ehre, Auszeichnung'; vgl. 12 *ἐτίμα*.

μημένου Δαρείου ῥοιὰς τρώγειν, ὡς ἄνοιξε τάχιστα τὴν πρώτην τῶν ῥοιέων, εἴρετο αὐτὸν ὁ ἀδελφεὸς Ἀρτάβανος ὅ τι βούλοιτ' ἄν οἱ τοσοῦτο πλῆθος γενέσθαι ὅσοι ἐν τῇ ῥοιῇ κόκκοι· Δαρεῖος δὲ εἶπε Μεγαβάζους ἄν οἱ τοσούτους ἀριθμὸν γενέσθαι βούλεσθαι μᾶλλον ἢ τὴν Ἑλλάδα ὑπήκοον. ἐν μὲν δὴ Πέρσῃσι ταῦτά μιν εἴπας ἐτίμα, τότε δὲ αὐτὸν ὑπέλιπε στρατηγὸν ἔχοντα τῆς

144 *στρατιῆς τῆς ἑωυτοῦ ὀκτὼ μυριάδας. οὗτος δὲ ὁ Μεγάβαζος εἴπας τόδε ἔπος ἐλίπετο ἀθάνατον μνήμην πρὸς Ἑλλησποντίων· γενόμενος γὰρ ἐν Βυζαντίῳ ἐπύθετο ἑπτακαίδεκα ἔτεσι πρότερον Καλχηδονίους κτίσαντας τὴν χώρην Βυζαντίων, πυθόμενος δὲ ἔφη Καλχηδονίους τοῦτον τὸν χρόνον τυγχάνειν ἐόντας τυφλούς· οὐ γὰρ ἂν τοῦ καλλίονος παρεόντος κτίζειν χῶρον τὸν αἰσχίονα ἑλέσθαι, εἰ μὴ ἦσαν τυφλοί. οὗτος δὴ ὦν*

7. *Ἀρτάβανος*: zu c. 83 4.

8. *τοσοῦτο πλῆθος* 'soviel an Menge'. — *ὅσοι*, sc. *εἰσί* (I 14 4).

144. 3. *πρός*: vgl. zu III 137 23. — *Ἑλλησποντίων*: vgl. zu c. 38 6. — *γενόμενος ἐν Βυζαντίῳ*, vor oder auf dem Skythenzuge. Denn nach demselben fiel die Stadt ab und ward erst von Otanes, des Megabazos Nachfolger, wiedererobert (V 26).

4f. Verb. *πρότερον Βυζαντίων*. Beide Städte waren Colonien der Megarer. Die Stiftung von Kalchedon setzt Eusebios Ol. 26 2 = 675, von Byzantion Ol. 30 3 = 658 v. Chr. — *Καλχηδονίους*: zu c. 85 3.

6ff. Polybios IV 38 *Βυζάντιοι κατὰ μὲν θάλατταν εὐκαιρότατον οἰκοῦσι τόπον καὶ πρὸς ἀσφάλειαν καὶ πρὸς εὐδαιμονίαν πάντων τῶν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ, κατὰ δὲ γῆν πρὸς ἀμφότερα πάντων ἀφυέστατον. κατὰ μὲν γὰρ θάλατταν οὕτως ἐπίκειται τῷ στόματι τοῦ Πόντου κυρίως ὥστε μήτ' εἰσπλεῦσαι μήτ' ἐκπλεῦσαι δυνατὸν εἶναι τῶν ἐμπόρων τινὰ χωρὶς τῆς ἐκείνων βουλήσεως. ἔχοντος δὲ τοῦ Πόντου πολλὰ τῶν πρὸς τὸν βίον εὐχρήστων τοῖς ἄλλοις ἀνθρώποις, πάντων εἰσὶ τούτων κύριοι Βυζάντιοι κτλ.* Byzantion's Vorzug vor Kalchedon beruhte nach demselben Polybios IV 44 vorzüglich auf der Richtung der Meeresströmung, die Schiffe und Fische gerade auf Byz. zuführte, Kalch. aber nicht traf. Daher besafs nur Byz. den einträglichen Fang der *πηλαμύδες*, einer Art Wanderfische aus der Maeotis (Strab. 320). — Das treffende Wort des Persers wurde auch wohl dem pythischen Gotte zugeschrieben; Strab. a. O. und Tac. Ann. XII 63 *artissimo inter Europam Asiamque divortio Byzantium in extrema Europa posuere Graeci; quibus Pythium Apollinem consulentibus, ubi conderent urbem, redditum oraculum est, quaererent sedem caecorum terris adversam. ea ambage Chalcedonii monstrabantur, quod priores illuc advecti, praevisa locorum utilitate, peiora legissent. quippe Byzantium fertili solo, fecundo mari etc.*

τότε ὁ Μεγάβαζος στρατηγὸς λειφθεὶς ἐν τῇ χώρῃ Ἑλλησποντίων τοὺς μὴ μηδίζοντας κατεστρέφετο.
Οὗτος μέν νυν ταῦτα ἔπρησσε. τὸν αὐτὸν δὲ τοῦ- **145**
τον χρόνον ἐγίνετο ἐπὶ Λιβύην ἄλλος στρατιῆς μέγας στόλος, διὰ πρόφασιν τὴν ἐγὼ ἀπηγήσομαι προδιηγησάμενος πρότερον τάδε. τῶν ἐκ τῆς Ἀργοῦς ἐπιβατέων παίδων παῖδες ἐξελασθέντες ὑπὸ Πελασγῶν τῶν ἐκ Βραυρῶνος ληισαμένων τὰς Ἀθηναίων γυναῖκας, ὑπὸ τούτων ἐξελασθέντες ἐκ Λήμνου οἴχοντο πλέοντες ἐς Λακεδαίμονα, ἱζόμενοι δὲ ἐν τῷ Τηϋγέτῳ πῦρ ἀνέκαιον.

Gründung und Geschichte Kyrene's (c. 145–167). I. Colonisirung Thera's (c. 145–149).

145. *τὸν δὲ αὐτὸν τοῦτον χρόνον*: diese angebliche Gleichzeitigkeit benutzt der Vf., nm zu den *Λιβυκοὶ λόγοι* überzuleiten. Vgl. zu c. 167 13. — *ἐπὶ Λιβύην*, Vermuthung des Vf.'s; vgl. c. 167 11 ff. In Wahrheit galt der Zug nur der Stadt Barke. — *μέγας*: vgl. c. 167 *στρατὸν τὸν ἐξ Αἰγύπτου ἅπαντα.*

3 f. *πρόφασιν*: zu II 161 8. Barke sollte für den Tod des dritten Arkesilaos gezüchtigt werden. — *ἀπηγήσομαι*: s. c. 165 ff. — *προδιηγησάμενος πρότερον*, wie IX 62 *προεξαναστάντες πρότεροι*, V 8 *προκλαύσαντες πρῶτον*. Vgl. zu III 16 4. — *τάδε*, die Gründungsgeschichte von Thera und Kyrene. Diese und die Schilderung Nordlibyens und seiner Volksstämme (c. 168–199) bilden das Hauptthema; der Zug gegen Barke dient zur äufseren Anknüpfung. — *ἐκ* steht mit Bezug auf ein vorschwebendes *ἀποβάντων* (*ἐς τὴν νῆσον*). Die Argofahrer waren auf Lemnos gelandet. Die Sage bei Apollodor I 9 17 *οὗτοι ναυαρχοῦντος Ἰάσονος ἀναχθέντες προσίσχουσι Λήμνῳ. ἔτυχε δὲ ἡ Λῆμνος ἀνδρῶν τότε οὖσα ἔρημος, βασιλευομένη δὲ ὑπὸ Ὑψιπύλης τῆς Θόαντος δι' αἰτίαν τήνδε. αἱ Λήμνιαι τὴν Ἀφροδίτην οὐκ ἐτίμων· ἡ δὲ αὐταῖς ἐμβάλλει δυσοσμίαν, καὶ διὰ τοῦτο οἱ γήμαντες αὐτὰς ἐκ τῆς πλησίον Θρᾴκης λαβόντες αἰχμαλωτίδας, συνευνάζοντο αὐταῖς. ἀτιμαζόμεναι δὲ αἱ Λήμνιαι τούς τε πατέρας καὶ τοὺς ἄνδρας φονεύουσι· μόνη δὲ ἔσωσεν Ὑψιπύλη τὸν ἑωυτῆς πατέρα κρύψασα Θόαντα. προσσχόντες οὖν τότε γυναικοκρατουμένῃ τῇ Λήμνῳ μίσγονται ταῖς γυναιξίν. Ὑψιπύλη δὲ Ἰάσονι συνευνάζεται καὶ γεννᾷ παῖδας Εὔνηον καὶ Νεβροφόνον.* Den Enneos kennt anch Homer als lemnischen Iasoniden (Il. *η* 468).

5. *παίδων παῖδες*, nicht eben 'Enkel', sondern überhaupt 'Nachkommen', *ἀπόγονοι*, wie Il. *υ* 308 *παίδων παῖδες τοί κεν μετόπισθε γένωνται.* Zwischen den Argonauten auf Lemnos und der Anknnft ihrer Nachkommen auf Lakedaemon lagen vier Geschlechter (Herakles, Begleiter des Iason — Hyllos — Kleodaeos — Aristomachos — Aristodemos — Prokles und Eurysthenes; s. VI 52). Vgl. c. 147. — *ἐξελασθέντες ὑπὸ Πελασγῶν κτλ.*: das Nähere s. VI 137 ff.

6. *ὑπὸ τούτων*: zu III 14 4.

8. *ἐν τῷ Τηϋγέτῳ*, auf dem südlichen Theile, der Taenaros, einem alten Sitze minyeischer Bevölkerung. Enphemos (zu c. 150 7) war

Λακεδαιμόνιοι δὲ ἰδόντες ἄγγελον ἔπεμπον πευσόμενοι τίνες τε καὶ ὁκόθεν εἰσί· οἱ δὲ τῷ ἀγγέλῳ εἰρωτέοντι ἔλεγον ὡς εἴησαν μὲν Μινύαι, παῖδες δὲ εἶεν τῶν ἐν τῇ Ἀργοῖ πλεόντων ἡρώων, προσσχόντας δὲ τούτους ἐς Λῆμνον φυτεῦσαί σφεας. οἱ δὲ Λακεδαιμόνιοι ἀκηκοότες τὸν λόγον τῆς γενεῆς τῶν Μινυέων, πέμψαντες τὸ δεύτερον εἰρώτεον τί θέλοντες ἥκοιέν τε ἐς τὴν χώρην καὶ πῦρ αἴθοιεν. οἱ δὲ ἔφασαν ὑπὸ Πελασγῶν ἐκβληθέντες ἥκειν ἐς τοὺς πατέρας· δικαιότατον γὰρ εἶναι οὕτω τοῦτο γίνεσθαι· δέεσθαί τε οἰκέειν ἅμα τούτοισι μοῖράν τε τιμέων μετέχοντες καὶ τῆς γῆς ἀπολαχόντες. Λακεδαιμονίοισι δὲ ἕαδε δέκεσθαι τοὺς Μινύας ἐπ' οἷσι θέλουσι αὐτοί· μάλιστα δὲ ἐνῆγέ σφεας ὥστε ποιέειν ταῦτα τῶν Τυνδαριδέων ἡ ναυτιλίη ἐν τῇ Ἀργοῖ. δεξάμενοι δὲ τοὺς Μινύας γῆς τε μετέδοσαν καὶ ἐς φυλὰς διεδάσαντο. οἱ δὲ αὐτίκα μὲν γάμους ἔγημαν,

hier zu Hause. Eben dahin kehren die Flüchtlinge nach ihrer Befreiung zurück (c. 146 17).

10. *τίνες τε καὶ ὁκόθεν*: zu I 35 9.

11. *Μινύαι*, als Nachkommen der Argonauten, die in der ursprünglichen Sage sämmtlich dem Stamme der thessalischen Minyer angehörten, deren Hauptsitz Iolkos am pagasaeischen Meerbusen war. — *παῖδες* 'Abkömmlinge' (III 19 9).

16. *πῦρ αἴθοιεν*, poetisch. Aesch. Ag. 1397 *ἕως ἂν αἴθῃ πῦρ ἐφ' ἑστίας ἐμῆς Αἴγισθος*. Sonst *πῦρ ἀνακαίειν* (8) oder *καίειν*.

17f. *ἐς τοὺς πατέρας*: die Tyndariden Kastor und Polydeukes hatten nach späterer Sagendichtung allerdings an der Argofahrt theilgenommen (22) und insoweit durften einige der Minyer die Lakonen ihre 'Stammväter' (vgl. VII 51 8) nennen. Die Sage, deren Tendenz es ist die minyeischen Colonien Thera und Kyrene mit den dorischen Spartiaten in genealogischen Zusammenhang zu bringen, läfst dabei aufser Acht, dafs die Tyndariden Achaeer, diejenigen Lakonen aber, zu welchen diese Minyer kamen, jüngst eingewanderte Dorier und ihre Fürsten Herakliden (c. 147) waren. Vielmehr war es eben der Andrang des dorischen Stammes, welcher die hier längst heimischen Minyer zum Auswandern nöthigte. — Der Satz *δικαιότατον — γίνεσθαι* würde sich passender dem folgenden *δέεσθαι – ἀπολαχόντες* als Begründung anschliefsen.

19. Die Ankömmlinge verlangen für jeden Einzelnen ein Ackerloos (*κλῆρος*) und Mitgenufs an den Vorrechten der Vollbürger (*ὅμοιοι*), also völlige Gleichstellung mit den Einwohnern dorischer Abkunft. Die Sage hebt diese nach spartiatischer Staatsordnung unerhörten Forderungen und ihre Gewährung, sowie die gestiftete Blutsverwandtschaft (24) bedeutsam hervor, um auch hierin die theraeischen und kyrenaeischen Colonisten als Vollbürger Sparta's zu erweisen.

24f. 'Das *ius connubii* zwischen

τὰς δὲ ἐκ Λήμνου ἤγοντο ἐξέδοσαν ἄλλοισι. χρόνου δὲ **146**
οὐ πολλοῦ διεξελθόντος αὐτίκα οἱ Μινύαι ἐξύβρισαν, τῆς τε βασιληίης μεταιτέοντες καὶ ἄλλα ποιεῦντες οὐκ ὅσια. τοῖσι ὦν Λακεδαιμονίοισι ἔδοξε αὐτοὺς ἀποκτεῖναι, συλλαβόντες δέ σφεας κατέβαλον ἐς ἑρκτήν. κτείνουσι δὲ τοὺς ἂν κτείνωσι Λακεδαιμόνιοι νυκτός, μετ' ἡμέρην δὲ οὐδένα. ἐπεὶ ὦν ἔμελλόν σφεας καταχρήσασθαι, παραιτήσαντο αἱ γυναῖκες τῶν Μινυέων, ἐοῦσαι ἀσταί τε καὶ τῶν πρώτων Σπαρτιητέων θυγατέρες, ἐσελθεῖν τε ἐς τὴν ἑρκτὴν καὶ ἐς λόγους ἐλθεῖν ἑκάστη τῷ ἑωυτῆς ἀνδρί. οἱ δέ σφεας παρῆκαν, οὐδένα δόλον δοκέοντες ἐξ αὐτέων ἔσεσθαι. αἱ δὲ ἐπείτε ἐσῆλθον, ποιεῦσι τοιάδε· πᾶσαν τὴν εἶχον ἐσθῆτα παραδοῦσαι τοῖσι ἀνδράσι αὐταὶ τὴν τῶν ἀνδρῶν ἔλαβον. οἱ δὲ Μινύαι ἐνδύντες τὴν γυναικηίην ἐσθῆτα, ἅτε γυναῖκες ἐξήισαν ἔξω, ἐκφυγόντες δὲ τρόπῳ τοιούτῳ ἵζοντο αὖτις ἐς τὸ Τηΰγετον. τὸν δὲ αὐτὸν τοῦτον χρόνον Θήρας ὁ **147**
Αὐτεσίωνος τοῦ Τισαμενοῦ τοῦ Θερσάνδρου τοῦ Πο-

den Spartiaten und den Fremdlingen würde eine Aufnahme in die drei dorischen Phylen voraussetzen (s. V 68 13). Allein eine solche konnte nach dorischem Staatsrecht nur dann stattfinden, wenn die Ankömmlinge sich als wirkliche Verwandte des dorischen Stammes oder auch vielleicht alter allgemein verehrter Priester- oder Heldengeschlechter (vgl. IX 33 ff.) ausweisen konnten'. Müller Orchom. S. 314. — *γάμους ἔγημαν*: zu III 88 7. Daraus ist *γυναῖκας* (Töchter und Schwestern) bei *τὰς δέ* zu ergänzen.

146. 3. *βασιληίης*: eine der beiden königlichen Würden (vgl. VI 51 ff.) sollte auf eine Familie aus ihrer Mitte übertragen werden.

τα ἡ Πυθίη Ἀρκεσίλεῳ χρᾷ. ὁ δὲ παραλαβὼν τοὺς ἐκ 164
τῆς Σάμου κατῆλθε ἐς τὴν Κυρήνην, καὶ ἐπικρατήσας
τῶν πρηγμάτων τοῦ μαντηίου οὐκ ἐμέμνητο, ἀλλὰ δί-

20. Eustathios, der die Stelle zu Il. ζ 490 citirt, hat nach *στρατιῇ* noch die Worte *θνησκούσῃ ἐκ τῶν τρωμάτων* (vgl. c. 180 9).

163. 6. Nach Arkesilaos III. regierten noch Battos IV. *ὁ καλός* und Arkesilaos IV., den Pindar in dem vierten und fünften pythischen Siegesgesangegefeiert hat. Dessen Sohn entwich, nachdem in Kyrene die Demokratie zur Macht gelangt war, nach Euhesperides, wo er umkam.

7. *Λοξίης*: zu I 91 8.

11. *ἀλλ' ἀπόπεμπε κατ' οὖρον*, Rest eines Verses aus dem von H. in Prosa übersetzten Orakel (wie V 79 4. VII 169 7. 178 9). *κατ' οὖρον* 'in der Richtung eines günstigen Fahrwindes', d. h. 'unversehrt', *ἀπινέας* (VII 146 16), *χαίροντας* (III 69 8). Vgl. Soph. Tr. 467 *ἀλλὰ ταῦτα μὲν ῥείτω κατ' οὖρον*, *prospere fluant*. Sonst öfters bei den Tragikern 'schnell'.

12f. Der Vf. unterläfst es (wie V 56. VI 78) den Sinn des Orakels auszulegen. *τὴν ἀμφίρρυτον*, vielleicht eine Anspielung auf die Lage der Stadt Barke, 'wo sich das Wasser von den die Ebene umgebenden Bergen in verschiedenen Theilen des geräumigen Thales zu Sümpfen und Seen sammelt, und den es besuchenden Arabern während der Sommermonate einen beständigen Vorrath gewährt' (*Beechey Proceedings of the expedition to explore the North coast of Africa* p. 390). Noch dunkler und gesuchter ist *ταῦρος ὁ καλλιστεύων*, womit der barkaeische König Alazeir gemeint ist (c. 164 21). Der König ist dem die Heerde überragenden Stiere vergleichbar; Il. β 480 *ἠύτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων Ταῦρος· ὁ γάρ τε βόεσσι μεταπρέπει ἀγρομένῃσιν· Τοῖον ἄρ' Ἀτρείδην θῆκε Ζεύς.*

κας τοὺς ἀντιστασιώτας αἴτεε τῆς ἑωυτοῦ φυγῆς. τῶν δὲ οἱ μὲν τὸ παράπαν ἐκ τῆς χώρης ἀπαλλάσσοντο, τοὺς δέ τινας χειρωσάμενος ὁ Ἀρκεσίλεως ἐς Κύπρον ἀπέστειλε ἐπὶ διαφθορῇ. τούτους μέν νυν Κνίδιοι ἀπενειχθέντας πρὸς τὴν σφετέρην ἐρρύσαντο καὶ ἐς Θήρην ἀπέστειλαν· ἑτέρους δέ τινας τῶν Κυρηναίων ἐς πύργον μέγαν Ἀγλωμάχου καταφυγόντας ἰδιωτικὸν ὕλην περινήσας ὁ Ἀρκεσίλεως ἐνέπρησε. μαθὼν δὲ ἐπ' ἐξεργασμένοισι τὸ μαντήιον ἐὸν τοῦτο, ὅτι μιν ἡ Πυθίη οὐκ ἔα εὑρόντα ἐν τῇ καμίνῳ τοὺς ἀμφορέας ἐξοπτῆσαι, ἔργετο ἑκὼν τῆς Κυρηναίων πόλιος, δειμαίνων τε τὸν κεχρησμένον θάνατον καὶ δοκέων Κυρήνην τὴν ἀμφίρρυτον εἶναι. εἶχε δὲ γυναῖκα συγγενέα ἑωυτοῦ, θυγατέρα δὲ τῶν Βαρκαίων τοῦ βασιλέος, τῷ οὔνομα ἦν Ἀλάζειρ. παρὰ τοῦτον ἀπικνέεται, καί μιν Βαρκαῖοί τε ἄνδρες καὶ τῶν ἐκ Κυρήνης φυγάδων τινὲς καταμαθόντες ἀγοράζοντα κτείνουσι, πρὸς δὲ καὶ τὸν πενθερὸν αὐτοῦ Ἀλάζειρα. Ἀρκεσίλεως μέν νυν εἴτε ἑκὼν εἴτε ἀέκων ἁμαρτὼν τοῦ χρησμοῦ ἐξέπλησε μοῖραν τὴν ἑωυτοῦ.

165 Ἡ δὲ μήτηρ Φερετίμη, τέως μὲν ὁ Ἀρκεσίλεως ἐν τῇ Βάρκῃ διαιτᾶτο ἐξεργασμένος ἑωυτῷ κακόν, ἡ δὲ εἶχε αὐτὴ τοῦ παιδὸς τὰ γέρεα ἐν Κυρήνῃ, καὶ τἆλλα

164. 7. *Κνίδιοι*, als dorische Stammverwandte; vgl. zu III 138 11. — *ἀπενειχθέντας*, sc. *ὑπ' ἀνέμων* (c. 151 10).

10. *Ἀγλώμαχος*, ein hellenischer Name, contr. aus *Ἀγλαόμαχος*, wie *Ἀγλωχάρης*, *Ἀγλωφῶν*. — *ἰδιωτικόν* = *ἰδιώτεω ἐόντος*.

11. *ἐπ' ἐξεργασμένοισι* 'nach geschehener That', noch VIII 94 19. IX 77 2, öfters bei den Tragikern, 'zu spät'.

12. *ὅτι* . . , Ausführung des *μαντήιον*.

13. *οὐκ ἔα*, *dissuadebat* (II 30 20).

14. *ἔργετο*, *abstinebat*.

16f. *συγγενέα*: der König von Barke war ein Battiade (c. 160). — *Ἀλάζειρ*: eine kyrenaeische Inschrift (Corp. Insc. gr. 5147) gibt die einheimische (libysche) Form *Ἀλάδδειρ* (Gen. — *ειρος*). Wahrscheinlich war es, wie *Βάττος* (c. 155 9), eine libysche Bezeichnung des Königs.

22. *ἁμαρτών*: zu III 65 17. Arkesilaos muſs nach Kambyses' Tode, nach 522 v. Chr., gestorben sein; vgl. c. 165.

165. 2. *ἡ δὲ* erneuert *ἡ δὲ μήτηρ Φ.* Sonst zu II 39 9.

3f. *τὰ γέρεα*: zu c. 162 3. Ob Arkesilaos mit Hilfe der neugeworbenen Ansiedler die alten Rechte

νεμομένη καὶ ἐν βουλῇ παρίζουσα· ἐπείτε δὲ ἔμαθε ἐν
τῇ Βάρκῃ ἀποθανόντα οἱ τὸν παῖδα, φεύγουσα οἰχώκεε
ἐς Αἴγυπτον. ἦσαν γάρ οἱ ἐκ τοῦ Ἀρκεσίλεω εὐεργεσίαι
ἐς Καμβύσεα τὸν Κύρου πεποιημέναι· οὗτος γὰρ ἦν ὁ
Ἀρκεσίλεως ὃς Κυρήνην Καμβύσῃ ἔδωκε καὶ φόρον ἐτά-
ξατο. ἀπικομένη δὲ ἐς Αἴγυπτον ἡ Φερετίμη Ἀρυάνδεω
ἱκέτις ἵζετο τιμωρῆσαι ἑωυτῇ κελεύουσα, προϊσχομένη
πρόφασιν ὡς διὰ τὸν μηδισμὸν ὁ παῖς οἱ τέθνηκε. ὁ δὲ 166
Ἀρυάνδης ἦν οὗτος τῆς Αἰγύπτου ὕπαρχος ὑπὸ Καμβύσεω
κατεστεώς, ὃς ὑστέρῳ χρόνῳ τούτων παρισεύμενος Δαρείῳ
διεφθάρη· πυθόμενος γὰρ καὶ ἰδὼν Δαρεῖον ἐπιθυμέοντα
μνημόσυνον ἑωυτοῦ λιπέσθαι τοῦτο τὸ μὴ ἄλλῳ εἴη βα-
σιλέϊ κατεργασμένον, ἐμιμέετο τοῦτον, ἐς ὃ ἔλαβε τὸν
μισθόν. Δαρεῖος μὲν γὰρ χρυσίον καθαρώτατον ἀπεψή-
σας ἐς τὸ δυνατώτατον νόμισμα ἐκόψατο, Ἀρυάνδης
δὲ ἄρχων Αἰγύπτου ἀργύριον τὠυτὸ τοῦτο ἐποίεε· καὶ
νῦν ἐστι ἀργύριον καθαρώτατον τὸ Ἀρυανδικόν. μαθὼν
δὲ Δαρεῖός μιν ταῦτα ποιεῦντα, αἰτίην οἱ ἄλλην ἐπενεί-
κας ὥς οἱ ἐπανίσταιτο, ἀπέκτεινε. τότε δὲ οὗτος ὁ Ἀρυ- 167

seiner Familie wiedererworben oder sich mit den ihr von Demonax gelassenen begnügt hatte, wissen wir nicht. — *τἆλλα*, die Krongüter (c. 161 14). — *ἐν βουλῇ παρίζουσα*, wie es auch in Sparta zu den königlichen *γέρεα* gehörte, *παρίζειν βουλεύουσι τοῖσι γέρουσι* (VI 57 25).

6. *ἦσαν – οἱ*: die dem Kambyses erwiesenen Dienste waren gleichsam ein nutzbarer Besitz.

8. S. III 13.

9. *Ἀρυάνδεω*: Kambyses hatte also Aegypten schon verlassen.

166. 5. *τοῦτο τό*: zu II 135 13.

7. *χρυσίον καθαρώτατον*, d. i. *ψῆγμα* (III 94 11). Die erhaltenen persischen Goldmünzen (*δαρεικοί*) zeigen nur 3% unedlen Zusatz (s. zu III 95 4). Die Sorge das Gold möglichst rein auszumünzen mochte einen religiösen Grund haben; das feuerfarbene heilige Gold sollte nicht verunreinigt werden. Vgl. Strab. 734 *κοσμοῦνται δὲ οἱ παῖδες (τῶν Περσῶν) χρυσῷ, τὸ πυρωπὸν τιθεμένων ἐν τιμῇ· διὸ οὐδὲ νεκρῷ προσφέρουσι καθάπερ οὐδὲ τὸ πῦρ κατὰ τιμήν.* Auch war die Masse des verprägten Metalls auf das Nöthigste beschränkt (zu III 96 5).

9 ff. Abgesehen von der Anmafsung des Münzrechtes, störte der feinere Gehalt dieses Silbergeldes die von Dareios eingeführte Münzordnung, welche ein verhältnifsmäfsig grobes Silbergeld zur Voranssetzung hatte (zu III 89 10. 95 5). Er kam zunächst den mit Aegyten verkehrenden Kaufleuten zu Gute, und blieb dort unter dem Namen *Ἀροανδικόν* (*Ἀρυανδικόν*) im Umlauf (Hesych. s. v.).

ἀνδης κατοικτείρας Φερετίμην διδοῖ αὐτῇ στρατὸν τὸν ἐξ Αἰγύπτου ἅπαντα καὶ τὸν πεζὸν καὶ τὸν ναυτικόν· στρατηγὸν δὲ τοῦ μὲν πεζοῦ Ἄμασιν ἀπέδεξε ἄνδρα Μαράφιον, τοῦ δὲ ναυτικοῦ Βάδρην ἐόντα Πασαργάδην γένος. πρὶν δὲ ἢ ἀποστεῖλαι τὴν στρατιήν, ὁ Ἀρυάνδης πέμψας ἐς τὴν Βάρκην κήρυκα ἐπυνθάνετο τίς εἴη ὁ Ἀρκεσίλεων ἀποκτείνας. οἱ δὲ Βαρκαῖοι αὐτοὶ ὑπεδέκοντο πάντες· πολλά τε γὰρ καὶ κακὰ πάσχειν ὑπ' αὐτοῦ. πυθόμενος δὲ ταῦτα ὁ Ἀρυάνδης οὕτω δὴ τὴν στρατιὴν ἀπέστειλε ἅμα τῇ Φερετίμῃ. αὕτη μέν νυν αἰτίη πρόσχημα τοῦ λόγου ἐγίνετο, ἀπεπέμπετο δὲ ἡ στρατιή, ὡς ἐμοὶ δοκέειν, ἐπὶ Λιβύων καταστροφῇ· Λιβύων γὰρ δὴ ἔθνεα πολλὰ καὶ παντοῖά ἐστι, καὶ τὰ μὲν αὐτῶν ὀλίγα βασιλέος ἦν ὑπήκοα, τὰ δὲ πλέω ἐφρόντιζε Δαρείου οὐδέν.

168 Οἰκέουσι δὲ κατὰ τάδε Λίβυες. ἀπ' Αἰγύπτου ἀρξάμενοι πρῶτοι Ἀδυρμαχίδαι Λιβύων κατοίκηνται, οἳ νόμοισι μὲν τὰ πλέω Αἰγυπτίοισι χρέονται, ἐσθῆτα δὲ φορέουσι οἵην περ οἱ ἄλλοι Λίβυες. αἱ δὲ γυναῖκες

167. 4 f. *ἄνδρα Μαράφιον*: vgl. I 125 12. Der Zusatz wehrt die Vermuthung ab, Amasis sei ein Aegyptier gewesen. — *Βάδρην*: vgl. VII 77 7. Andere La. *Μάδρην*. Die persische Form war wohl *Barda*: vgl. zu III 30 4. — *Πασαργάδην*: vgl. zu I 125 12.

8. *ὑπεδέκοντο* 'nahmen es auf sich', *in se recepere*.

11. *αὕτη αἰτίη*: vgl. zu III 81 2.

12. *πρόσχημα τοῦ λόγου* 'Vorwand für die Rede' was man den Worten nach als Grund vorgab; VI 133 4 bloſs *πρόσχημα λόγου*. Gedachter Gegensatz ist *ἔργῳ* (*δὲ ἐπέμπετο*).

13. 'Bei der wirklichen Ausführung erscheint von diesem Plane gar nichts. Aryandes läſst nach der Eroberung von Barke das Heer, welches von selber schon zurück gegen Kyrene und darüber hinaus gegangen war, ganz zurückrufen (c. 203); bloſs bei dem weiteren Rückzuge leiden die Truppen etwas von libyschen, Beute suchenden Horden. Da dem also ist, so gewinnt es das Ansehen, daſs dem H., der seine Nachrichten über die libyschen Völkerschaften gern einflechten wollte, sich von der Bedeutung dieses Zuges eine übertriebene Vorstellung, der Wahrheit nicht entsprechend, untergeschoben habe'. *Dahlmann* Forschungen auf dem Gebiete der Geschichte II 165.

Episode von den nordlibyschen Völkern (c. 168–199). Die Nomadenstämme von Aegypten bis zum Tritonis-see (c. 168–180).

168. *κατὰ τάδε*: zu c. 47 10.

3. *τὰ πλέω* 'in den meisten Stücken, meistens'. Vgl. zu I 203 8.

αὐτῶν ψέλιον περὶ ἑκατέρῃ τῶν κνημέων φορέουσι χάλ-
κεον· τὰς κεφαλὰς δὲ κομέουσαι, τοὺς φθεῖρας ἐπεὰν
λάβωσι τοὺς ἑωυτῆς ἑκάστη ἀντιδάκνει καὶ οὕτω ῥίπτει.
οὗτοι δὲ μοῦνοι Λιβύων τοῦτο ἐργάζονται, καὶ τῷ βα-
σιλέϊ μοῦνοι τὰς παρθένους μελλούσας συνοικέειν ἐπι-
δεικνύουσι· ἣ δὲ ἂν τῷ βασιλέϊ ἀρεστὴ γένηται, ὑπὸ
τούτου διαπαρθενεύεται. παρήκουσι δὲ οὗτοι οἱ Ἀδυρ-
μαχίδαι ἀπ' Αἰγύπτου μέχρι λιμένος τῷ οὔνομα Πλυ-
νός ἐστι. τούτων δὲ ἔχονται Γιλιγάμμαι, νεμόμενοι **169**
τὸ πρὸς ἑσπέρην χώρην μέχρι Ἀφροδισιάδος νήσου. ἐν
δὲ τῷ μεταξὺ χώρῳ τούτῳ ἥ τε Πλατέα νῆσος ἐπικέε-
ται, τὴν ἔκτισαν οἱ Κυρηναῖοι, καὶ ἐν τῇ ἠπείρῳ Με-
νέλαος λιμήν ἐστι καὶ Ἄζιρις, τὴν οἱ Κυρηναῖοι οἴ-
κεον. καὶ τὸ σίλφιον ἄρχεται ἀπὸ τούτου· παρήκει δὲ
ἀπὸ Πλατέης νήσου μέχρι τοῦ στόματος τῆς Σύρτιος

9. *συνοικέειν*: zu I 37 12.

12. *Πλυνός*; Strabon 838 nennt ihn *Πλῦνος*, Skylax Peripl. 108 *Πλῦνοι*.

169. *Γιλιγάμμαι*: andere La. *Γιγάμαι*.

3f. *Πλατέα νῆσος*: zu c. 156 12. — *ἐπικέεται*: vgl. a. O. *ἐπὶ Λιβύῃ κειμένην*. — *Μενέλαος λιμήν*: Strab. 40 *ὁ Μενέλαος ἧκεν . . καὶ εἰς Λιβύην, ὅτι προσέσχε τόποις τισίν· ἀφ' οὗ καὶ ὁ κατὰ τὴν Ἀρδανίαν λιμὴν τὴν ὑπὲρ Παραιτονίου Μενέλαος καλεῖται* (vgl. II 119 12). Auch Skylax Peripl. 108 nennt ihn *Μενέλαος*. Hier starb der König Agesilaos. — *Ἄζιρις*: zu c. 157 13.

6. *σίλφιον, laserpitium*, beschreibt Theophrast. hist. pl. VI 3 als eine dem *νάρθηξ* ähnliche, wildwachsende Pflanze von vielen und dicken Wurzeln, jährlich sich erneuerndem starken efsbaren Stiele und eppichartigen Blättern, die für Schafe ein purgirendes, ungemein nährendes und dem Fleische vorzüglichen Wohlgeschmack verleihendes Futter abgeben. Besonders war der aus Wurzeln und Stiel gewonnene Saft (*ὀπός, laser*) berühmt, der, als Heilmittel und Gewürz allgemein hochgeschätzt, den einiräglichsten und namhaftesten Ausfuhrartikel des Landes bildete. Die Kyrenaeer führten darum die Pflanze auf ihren Münzen (S. die Fig.). Unter



den Römern nahm ihre Menge durch übermäfsigen Verbrauch so ab, dafs sie schon unter Nero eine Seltenheit war. Jetzt findet sie sich wieder häufig, aber ausgeartet, von den Arabern *drias* genannt.

7. *μέχρι τοῦ στόματος*, wo auf der kyrenaeischen Seite der die Syrte einschliefsende Küstenrand ostwärts abbiegt und der Meerbusen aufhört, etwas südlich von Euhes-

τὸ σίλφιον. νόμοισι δὲ χρέονται οὗτοι παραπλησίοισι
170 τοῖσι ἑτέροισι. Γιλιγαμμέων δὲ ἔχονται τὸ πρὸς ἑσπέ-
ρης Ἀσβύσται· οὗτοι ὑπὲρ Κυρήνης οἰκέουσι. ἐπὶ θά-
λασσαν δὲ οὐ κατήκουσι Ἀσβύσται· τὸ γὰρ παρὰ θά-
λασσαν Κυρηναῖοι νέμονται. τεθριπποβάται δὲ οὐκ
ἥκιστα ἀλλὰ μάλιστα Λιβύων εἰσί, νόμους δὲ τοὺς
171 πλεῦνας μιμέεσθαι ἐπιτηδεύουσι τοὺς Κυρηναίων. Ἀσβυ-
στέων δὲ ἔχονται τὸ πρὸς ἑσπέρης Αὐσχίσαι· οὗτοι ὑπὲρ
Βάρκης οἰκέουσι, κατήκοντες ἐπὶ θάλασσαν κατ' Εὐε-
σπερίδας. Αὐσχισέων δὲ κατὰ μέσον τῆς χώρης οἰκέου-
σι Βάκαλες, ὀλίγον ἔθνος, κατήκοντες ἐπὶ θάλασσαν
κατὰ Ταύχειρα πόλιν τῆς Βαρκαίης· νόμοισι δὲ τοῖσι
172 αὐτοῖσι χρέονται τοῖσι καὶ οἱ ὑπὲρ Κυρήνης. Αὐσχι-
σέων δὲ τούτων τὸ πρὸς ἑσπέρης ἔχονται Νασαμῶνες,
ἔθνος ἐὸν πολλόν, οἳ τὸ θέρος καταλείποντες ἐπὶ τῇ
θαλάσσῃ τὰ πρόβατα ἀναβαίνουσι ἐς Αὔγιλα χῶρον
ὀπωριεῦντες τοὺς φοίνικας· οἱ δὲ πολλοὶ καὶ ἀμφιλα-
φέες πεφύκασι, πάντες ἐόντες καρποφόροι. τοὺς δὲ ἀτ-
τελέβους ἐπεὰν θηρεύσωσι, αὐήναντες πρὸς τὸν ἥλιον
καταλέουσι καὶ ἔπειτα ἐπὶ γάλα ἐπιπάσσοντες πίνουσι.
γυναῖκας δὲ νομίζοντες πολλὰς ἔχειν ἕκαστος ἐπίκοινον

perides. — *τῆς Σύρτιος*, der grofsen; zu II 32 9.

9. *τοῖσι ἑτέροισι* = ἢ οἱ ἕτεροι, nder τοῖσι τῶν ἑτέρων (*Λιβύων*).

170. 2. *Ἀσβύσται*: andere La. *Ἀσβύται*.

4 f. *τεθριπποβάται*: vgl. Soph. El. 702 *Λίβυες ζυγωτῶν ἁρμάτων ἐπιστάται*. Kyrene stand in hohem Rufe wegen seiner trefflichen Rosse (*Κυράνα εὔιππος*, Pind. Pyth. IV 2), und wegen der von den Libyern erlernten (c. 189 14) Kunst im Wagenlenken, die sich häufig in den hellenischen Spielen bewährte und von Dichtern (Pindar) gefeiert wurde. — *οὐκ — μάλιστα*: vgl. zu III 25 6.

6. Diese hellenisirten Libyer standen wohl meist zu den Kyrenaeern in dem Verhältnisse von Perineken (c. 161 11).

171. 3. *Εὐεσπερίδες*, auch *Ἑσπερίδες*, *Ἑσπερίς*, die Einwohner *Εὐεσπερῖται* (c. 198) oder *Ἑσπερῖται*. Später ward die Stadt nach des dritten Ptolemaeus Tochter *Βερενίκη* genannt; jetzt heifst sie *Ben-Gasi*. Sie war unter dem letzten Battiaden, Arkesilaos IV., angelegt.

5. *Βάκαλες*: andere La. *Κάβαλες*.

6. *Ταύχειρα*, auch *Τεύχειρα*, später nach der Gemahlin Ptolemaeus' II. *Ἀρσινόη* genannt, jetzt *Tókra*.

172. 2. *Νασαμῶνες*: vgl. II 32.

4. *Αὔγιλα*: zu c. 182 4.

αὐτέων τὴν μῖξιν ποιεῦνται, τρόπῳ παραπλησίῳ τῷ καὶ Μασσαγέται· ἐπεὰν σκίπωνα προστήσωνται, μίσγονται. πρῶτον δὲ γαμέοντος Νασαμῶνος ἀνδρὸς νόμος ἐστὶ τὴν νύμφην νυκτὶ τῇ πρώτῃ διὰ πάντων διεξελθεῖν τῶν δαιτυμόνων μισγομένην· τῶν δὲ ὡς ἕκαστός οἱ μιχθῇ, διδοῖ δῶρον τὸ ἂν ἔχῃ φερόμενος ἐξ οἴκου. ὁρκίοισι δὲ καὶ μαντικῇ χρέονται τοιῇδε· ὀμνύουσι μὲν τοὺς παρὰ σφίσι ἄνδρας δικαιοτάτους καὶ ἀρίστους λεγομένους γενέσθαι, τούτους . . ., τῶν τύμβων ἀπτόμενοι. μαντεύονται δὲ ἐπὶ τῶν προγόνων φοιτέοντες τὰ σήματα, καὶ κατευξάμενοι ἐπικατακοιμέονται· τὸ δ' ἂν ἴδῃ ἐν τῇ ὄψι ἐνύπνιον, τούτῳ χρᾶται. πίστισι δὲ τοιῇσιδε χρέονται· ἐκ τῆς χειρὸς διδοῖ πιεῖν καὶ αὐτὸς ἐκ τῆς τοῦ ἑτέρου πίνει· ἢν δὲ μὴ ἔχωσι ὑγρὸν μηδέν, οἱ δὲ τῆς χαμᾶθεν σποδοῦ λαβόντες λείχουσι.

173 Νασαμῶσι δὲ προσόμουροί εἰσι Ψύλλοι· οὗτοι ἐξαπολώλασι τρόπῳ τοιῷδε. ὁ νότος σφι πνέων ἄνεμος τὰ ἔλυτρα τῶν ὑδάτων ἐξαύηνε, ἡ δὲ χώρη σφι πᾶσα ἐντὸς ἐοῦσα τῆς Σύρτιος ἦν ἄνυδρος· οἱ δὲ βουλευσάμε-

10f. *τὴν μῖξιν ποιεῦνται*, nicht alle ohne Unterschied, wozu es nicht stimmen würde, daſs jeder Einzelne viele Weiber hatte; sondern wohl nur die Mitglieder derselben Familie, wie Strabon 783 von einem arabischen Stamme berichtet, *κοινὴ κτῆσις ἅπασι τοῖς συγγενέσι . . ὁ δὲ φθάσας εἰσιὼν μίγνυται προθεὶς τῆς θύρας τὴν ῥάβδον*. Nicht anders verhielt es sich bei den Massageten (I 216) — Zu dem Asyndeton *ἐπεὰν* . . . vgl. zu III 98 13. — *προστήσωνται*, sc. *πρὸ τῆς θύρης*.

14. *ὡς - μιχθῇ*, ohne *ἄν*, wie I 132 *ὡς ἕκαστος θύειν ἐθέλῃ*. So fehlt *ἄν* auch bei *ἐπείτε* VIII 22 19, *ἄχρι οὗ* I 117 18, *μέχρι* IV 119 18, *ἐς ὃ* III 31 11. VIII 108 24, *οὐ πρότερον* (*πρὶν*) *ἤ* (zu VII 54 8), und Relativen (zu c. 46 11).

18. Nach *τούτους* fehlt etwa *ἐπικαλέοντες* (III 8 9) oder *ἐπιμαρτυρόμενοι*. Vgl. zu III 14 4.

21. *ἴδῃ*, sc. *ὁ μαντευόμενος*; zu I 195 4.

24. *οἱ δὲ*: zu I 112 9.

173. *εἰσι*: genauer wäre *ἦσαν*, wegen 8.

2ff. Gellius Noctt. Att. XVI 11 *in quarto Herodoti fabulam de Psyllis hanc invenimus. Psyllos quondam fuisse in terra Africa conterminos Nasamonibus, Austrumque in finibus eorum quodam in tempore perquam validum ac diutinum flavisse; eo flatu aquam omnem in locis, in quibus colebant, exaruisse. Psyllos re aquaria defectos eam iniuriam graviter Austro suscensuisse decretumque fecisse, uti armis sumptis ad Austrum, proinde quasi ad hostem, iure belli res repetitum proficiscerentur. Atque ita profectis ventum Austrum magno*

νοι κοινῷ λόγῳ ἐστρατεύοντο ἐπὶ τὸν νότον (λέγω δὲ ταῦτα τὰ λέγουσι Λίβυες), καὶ ἐπείτε ἐγίνοντο ἐν τῇ ψάμμῳ, πνεύσας ὁ νότος κατέχωσέ σφεας. ἐξαπολομένων δὲ τούτων ἔχουσι τὴν χώρην οἱ Νασαμῶνες.

174 Τούτων δὲ κατύπερθε πρὸς νότον ἄνεμον ἐν τῇ θηριώδεϊ οἰκέουσι Γαράμαντες, οἳ πάντα ἄνθρωπον φεύγουσι καὶ παντὸς ὁμιλίην, καὶ οὔτε ὅπλον ἐκτέαται

175 ἀρήιον οὐδὲν οὔτε ἀμύνεσθαι ἐπιστέαται. οὗτοι μὲν δὴ κατύπερθε οἰκέουσι Νασαμώνων· τὸ δὲ παρὰ τὴν θάλασσαν ἔχονται τὸ πρὸς ἑσπέρης Μάκαι, οἳ λόφους κείρονται, τὸ μὲν μέσον τῶν τριχῶν ἀνιέντες αὔξεσθαι, τὰ δὲ ἔνθεν καὶ ἔνθεν κείροντες ἐν χροΐ, ἐς δὲ τὸν πόλεμον στρουθῶν καταγαίων δορὰς φορέουσι προβλήματα. διὰ δὲ αὐτῶν Κῖνυψ ποταμὸς ῥέων ἐκ λόφου κα-

spiritus agmine venisse obviam eosque universos cum omnibus copiis armisque, cumulis montibusque arenarum supervectis, operuisse.

5. Vgl. von den Geten c. 94 15 ff., den Ataranten c. 184 5 ff.

7. Plin. VII 14 *haec gens ipsa quidem prope internicione sublata est a Nasamonibus, qui nunc eas tenent sedes; genus tamen hominum ex iis, qui profugerant aut cum pugnatum est afuerant, hodieque remanet in paucis.* Sie waren späterhin als Schlangenbändiger berüchtigt.

174. 2. *θηριώδεϊ* s. c. 181. — *Γαράμαντες*, gewifs von dem c. 183 besprochenen Volke des Namens verschieden. Mela I 23. 47 und Plinius V 45 nennen sie *Gamphasantes*.

175. 3. *ἔχονται*, sc. *Νασαμώνων*. Skylax Peripl. 109 *περιοικοῦσι* (*τὴν Σύρτιν*) *Λιβύων ἔθνος Νασαμῶνες μέχρι τοῦ μυχοῦ τοῦ ἐπ' ἀριστερά· τούτων δὲ ἔχονται Λιβύων ἔθνος παρὰ τὴν Σύρτιν μέχρι τοῦ στόματος τῆς Σύρτιδος Μάκαι.* — *λόφους κείρονται*, eine Art von Prolepsis, 'scheeren sich die Haare so dafs Schöpfe übrig bleiben.'

6. *στρουθὸς κατάγαιος* hier u. c. 192 10 = *στρουθὸς χερσαῖος* (Aelian. h. an. XIV 13), *στρουθοκάμηλος*; vom 'Sperling' sonst auch durch *μέγας*, *Λιβυκός*, *Ἀραβικός* unterschieden. — *προβλήματα* = *σκεπαστήρια*, *tegumenta*; vgl. VII 70 11, wo eine ähnliche Nachricht. Strab. 773 von einem aethiopischen Volke *καὶ ἀμπέχονται καὶ ὑποστόρνυνται τὰ δέρματα* (*τῶν στρουθοκαμήλων*).

7 ff. *Κῖνυψ*, ein noch vorhandener Küstenflufs, in gleichnamiger äufserst fruchtbarer Gegend (c. 198 3), in der Nähe von Neapolis oder Leptis magna. Bei anderen auch *Κίνυφος* (vgl. zu c. 198 3). 'Der Flufs entspringt aus einer wohl zwei Stunden von der Küste entfernten Abzweigung des Mesellàta genannten Höhenzuges. Von diesem springen drei kleine Erhebungen von etwa 350 F. Höhe auf, die also wohl sicher dem waldbewachsenen Grazienhügel des H. entsprechen, wenn auch die Distanz von der See mit der von ihm angegebenen von 200 Stadien ganz und gar nicht übereinstimmt . . . Die Ebene aber, die einst ohne Mühe mit dreihundertfältigem Ertrage die Saat wiedergab und deshalb von H. der Babylon. Deltaland-

λευμένου Χαρίτων ἐς θάλασσαν ἐκδιδοῖ. ὁ δὲ λόφος
οὗτος ὁ Χαρίτων δασὺς ἴδῃσί ἐστι, ἐούσης τῆς ἄλλης
τῆς προκαταλεχθείσης Λιβύης ψιλῆς· ἀπὸ θαλάσσης δὲ
ἐς αὐτὸν στάδιοι διηκόσιοί εἰσι. Μακέων δὲ τούτων 176
ἐχόμενοι Γινδᾶνές εἰσι, τῶν αἱ γυναῖκες περισφύρια δερ-
μάτων πολλὰ ἑκάστη φορέει κατὰ τοιόνδε τι, ὡς λέ-
γεται· κατ᾽ ἄνδρα ἕκαστον μιχθέντα περισφύριον περι-
δέεται· ἣ δὲ ἂν πλεῖστα ἔχῃ, αὕτη ἀρίστη δέδοχται
εἶναι ὡς ὑπὸ πλείστων ἀνδρῶν φιληθεῖσα. ἀκτὴν δὲ 177
προέχουσαν ἐς τὸν πόντον τούτων τῶν Γινδάνων νέμον-
ται Λωτοφάγοι, οἳ τὸν καρπὸν μοῦνον τοῦ λωτοῦ τρώ-
γοντες ζώουσι. ὁ δὲ τοῦ λωτοῦ καρπός ἐστὶ μέγαθος
ὅσον τε τῆς σχίνου, γλυκύτητα δὲ τοῦ φοίνικος τῷ
καρπῷ προσείκελος. ποιεῦνται δὲ ἐκ τοῦ καρποῦ τούτου

schaft gleichgestellt ward (c. 198), liegt jetzt wüste'. *Barth.* a. O. 318. Zur Beoennung *λόφος Χαρίτων* mag auch die alte Vorstellung dieser Weseo als Göttinoen des Ackersegeos mitgewirkt haben.

10. *τῆς*: vom wiederholten Artikel zu VI 46 10.

176. 3. *κατὰ τοιόνδε*: zu c. 484.
4. *κατ᾽ — μιχθέντα* = *κατ᾽ ἑκάστην ἀνδρὸς μῖξιν.*
5. *δέδοχται* 'gilt'. S. zu I 142 8.

177. 2. *προέχουσαν* verb. mit *τούτων τῶν Γινδάνων*: vgl. *προκεῖσθαι* II 12 3. IV 99 2.

3. Skylax Peripl. 110 *τὰ δὲ ἔξω τῆς Σύρτιδος παροικοῦσι Λίβυες Λωτοφάγοι ἔθνος μέχρι τοῦ στόματος τῆς ἑτέρας Σύρτιδος.* Nach Plin. V 28 war ihr Specialoame *Alachroae.* — *λωτοῦ*: vgl. zu II 92 9. Der Baum *rhamnus lotus*, fiodet sich noch auf dieser Küste, besonders auf der Iusel Girba (*Μῆνιγξ*), uod liefert eioe efsbare Frucbt, die aber weder von dem im Alterthume seit der homerischeo Beschreibung gerühmten lieblicheo Geschmacke ooch als Nahrungsmittel souderlich bevorzugt ist.

4 ff. Diese Beschreibung corrigirt die seit Homer verbreitete Vorstellung. Od. ι 84 *Λωτοφάγων οἵ ἄνθινον εἶδαρ ἔδουσιν*, 94 *ὅς τις λωτοῖο φάγοι μελιηδέα καρπόν, Οὐκέτ᾽ ἀπαγγεῖλαι πάλιν ἤθελεν ἠδὲ νέεσθαι, Ἀλλ᾽ αὐτοῦ βούλοντο μετ᾽ ἀνδράσι Λωτοφάγοισιν Λωτὸν ἐρεπτόμενοι μενέμεν νόστου τε λαθέσθαι.* — Noch geoauer und aus Autopsie Polyb. XII 2 *ἔστι τὸ δένδρον ὁ λωτὸς οὐ μέγα, τραχὺ δὲ καὶ ἀκανθῶδες, ἔχει δὲ φύλλον χλωρόν, παραπλήσιον τῇ ῥάμνῳ, μικρῷ βαθύτερον καὶ πλατύτερον. ὁ δὲ καρπὸς τὰς μὲν ἀρχὰς ὅμοιός ἐστι καὶ τῇ χρόᾳ καὶ τῷ μεγέθει ταῖς λευκαῖς μυρτίσι ταῖς τετελειωμέναις, αὐξανόμενος δὲ τῷ μὲν χρώματι γίνεται φοινικοῦς, τῷ δὲ μεγέθει ταῖς γογγύλαις ἐλαίαις παραπλήσιος· πυρῆνα δ᾽ ἔχει τελέως μικρόν. ἐπὰν δὲ πεπανθῇ, συνάγουσιν, καὶ τὸν μὲν τοῖς οἰκέταις μετὰ χόνδρου κόψαντες, σάττουσιν εἰς ἀγγεῖα, τὸν δὲ τοῖς ἐλευθέροις ἐξελόντες τὸν πυρῆνα συντιθέασιν ὡσαύτως καὶ σιτεύονται τοῦτον. ἔστι δὲ τὸ βρῶμα παραπλήσιον σύκῳ καὶ φοινικοβαλάνῳ, τῇ δ᾽ εὐωδίᾳ βέλτιον· γίνεται δὲ καὶ οἶνος ἐξ αὐτοῦ κτλ.*

178 οἱ Λωτοφάγοι καὶ οἶνον. Λωτοφάγων δὲ τὸ παρὰ θάλασσαν ἔχονται Μάχλυες, τῷ λωτῷ μὲν καὶ οὗτοι χρεόμενοι, ἀτὰρ ἧσσόν γε τῶν πρότερον λεχθέντων. κατήκουσι δὲ ἐπὶ ποταμὸν μέγαν τῷ οὔνομα Τρίτων ἐστί· ἐκδιδοῖ δὲ οὗτος ἐς λίμνην μεγάλην Τριτωνίδα· ἐν δὲ αὐτῇ νῆσος ἔνι τῇ οὔνομα Φλά. ταύτην δὲ τὴν
179 νῆσον Λακεδαιμονίοισί φασι λόγιον εἶναι κτίσαι. ἔστι δὲ καὶ ὅδε λόγος λεγόμενος. Ἰήσονα, ἐπείτε οἱ ἐξεργάσθη ὑπὸ τῷ Πηλίῳ ἡ Ἀργώ, ἐσθέμενον ἐς αὐτὴν ἄλλην τε ἑκατόμβην καὶ δὴ καὶ τρίποδα χάλκεον περιπλώειν Πελοπόννησον, βουλόμενον ἐς Δελφοὺς ἀπικέσθαι· καί μιν, ὡς πλέοντα γενέσθαι κατὰ Μαλέην, ὑπολαβεῖν ἄνεμον βορέην καὶ ἀποφέρειν πρὸς τὴν Λιβύην· πρὶν δὲ κατιδέσθαι γῆν, ἐν τοῖσι βράχεσι γενέ-

178. 4 ff. Die Nachrichten vom libyschen Triton-flusse und Tritonsee sind zum Theil sagenhafter Art. Der Dienst einer kriegerischen Göttin, den hier die hellenischen Ansiedler vorfanden, die Angabe die Göttin sei die Tochter des von ihr umwohnten Sees (c. 180), endlich der in den See mündende Fluſs erinnerten an den kleinen Fl. Triton im boeotischen (minyeischen) Vaterlande, der in den Kopais-see einflieſst bei Alalkomenae, einem alten Sitze des Athene-cultes, der ehemals fast in allen Städten im Umkreise des Sees blühte (Müller Orchom. S. 355). So meinte man die Heimath der *Τριτογένεια* an der libyschen Küste wiedergefunden zu haben. Aber über das Local ward man nicht einig. Plin. V 28 *ab his* (sc. *Lotophagis*) *non procul a continente palus vasta omnem Tritonem nomenque ab eo accipit, Pallantias appellata Callimacho et citra minorem Syrtim esse dicta, a multis vero inter duas Syrtis.* Strab. 830 *ἡ Βερενίκη* (= *Εὐεσπερίδες*, c. 171 3) *τὴν θέσιν ἔχει παρὰ λίμνην τινὰ Τριτωνίδα.* Skylax Peripl. 110 verlegt Fluſs und See an die Küste der kleinen Syrte; Ptolemaeos IV 3 11 und 19 läſst den Fluſs auf einem Gebirge Vasalactus entspringen, auf seinem Laufe drei Seen bilden (*Τριτωνῖτις, Παλλάς, Λιβύη*) und im Recess der kleinen Syrte münden. In dieser Gegend, auf die auch H.'s Beschreibung führt, münden jetzt nur zwei Küstenflüsse; Seen finden sich nicht, aber westwärts im Innern langgedehnte Sumpfseen.

7. *λόγιον εἶναι κτίσαι*: vgl. VIII 62 9, wo bestimmter *δεῖν κτισθῆναι.*

179. 2. Die Sage bildet ein Seitenstück zu der von Pindar im IV. pythischen Siegesgesange behandelten (zu c. 150 7); aber bei P. schiffen die Argonauten durch den Tritonissee auf der Heimfahrt, hier auf der Ausfahrt.

3. *ὑπὸ τῷ Πηλίῳ*, bei Iolkos, wo das Gebirge zum Meere abstürzt.

4. *ἄλλην*: vgl. zu I 193 15. — *τρίποδα*, als Geschenk für Apollon.

6. *ὡς - γενέσθαι*: zu I 24 30. — *Μαλέην*: I 82 *ἡ μέχρι Μαλέων - χώρη.*

σθαι λίμνης τῆς Τριτωνίδος. καί οἱ ἀπορέοντι τὴν ἐξαγωγὴν λόγος ἐστὶ φανῆναι Τρίτωνα, καὶ κελεύειν τὸν Ἰήσονα ἑωυτῷ δοῦναι τὸν τρίποδα, φάμενόν σφι καὶ τὸν πόρον δέξειν καὶ ἀπήμονας ἀποστελέειν. πειθομένου δὲ τοῦ Ἰήσονος, οὕτω δὴ τόν τε διέκπλοον τῶν βραχέων δεικνύναι τὸν Τρίτωνά σφι, καὶ τὸν τρίποδα θεῖναι ἐν τῷ ἑωυτοῦ ἱρῷ ἐπιθεσπίσαντά τε τῷ τρίποδι καὶ τοῖσι σὺν Ἰήσονι σημήναντα τὸν πάντα λόγον, ὡς ἐπεὰν τὸν τρίποδα κομίσηται τῶν τις ἐκγόνων τῶν ἐν τῇ Ἀργοῖ συμπλεόντων, τότε ἑκατὸν πόλιας οἰκῆσαι περὶ τὴν Τριτωνίδα λίμνην Ἑλληνίδας πᾶσαν εἶναι ἀνάγκην. ταῦτα ἀκούσαντας τοὺς ἐπιχωρίους τῶν Λιβύων κρύψαι τὸν τρίποδα.

Τούτων δὲ ἔχονται τῶν Μαχλύων Αὐσέες· οὗτοι δὲ 180 *καὶ οἱ Μάχλυες πέριξ τὴν Τριτωνίδα λίμνην οἰκέουσι, τὸ μέσον δέ σφι οὐρίζει ὁ Τρίτων. καὶ οἱ μὲν Μάχλυες τὰ ὀπίσω κομέουσι τῆς κεφαλῆς, οἱ δὲ Αὐσέες τὰ ἔμπροσθε. ὁρτῇ δὲ ἐνιαυσίῃ Ἀθηναίης αἱ παρθένοι αὐτῶν δίχα διαστᾶσαι μάχονται πρὸς ἀλλήλας λίθοισί τε καὶ ξύλοισι, τῷ αὐθιγενέι θεῷ λέγουσαι τὰ πάτρια ἀποτελέειν [τὴν Ἀθηναίην καλέομεν]. τὰς δὲ ἀποθνησκούσας τῶν παρθένων ἐκ τῶν τρωμάτων ψευδοπαρθένους καλέουσι. πρὶν δ' ἀνεῖναι αὐτὰς μάχεσθαι, τάδε ποιεῦσι· κοινῇ παρθένον τὴν καλλιστεύουσαν ἑκάστοτε*

9. *ἀπορέοντι τὴν ἐξαγωγήν*: zu III 4 15.

16. *τὸν πάντα λόγον*, *rem totam*. Hier von Zukünftigem; s. zu I 21 7.

18. *οἰκῆσαι*, intransitiv (II 166 5). *πόλιας* ist Subjects-accusativ.

19. *ἀνάγκην*, von Seiten des Schicksals.

20f. *τῶν Λιβύων*: vom Genitiv zu I 53 1. — Die Euhesperiten, deren Stadt ebenfalls einen Tritonissee in ihrer Nähe aufwies (zu c. 178 4), behaupteten später den Dreifufs, mit alterthümlichen Buchstaben beschrieben, zu besitzen (Diodor IV 56).

180. 2f. *πέριξ*, an beiden Seiten bis zur Einmündung des Triton und an diesem aufwärts. — *τὸ μέσον σφι οὐρίζει* 'bildet die Gränze zwischen ihnen'.

5. *ὁρτῇ — Ἀθηναίης*: vgl. Mela I 36 *quem natalem eius* (sc. *Minervae*) *putant*, *ludicris virginum inter se decertantium celebrant*.

7. *αὐθιγενέι*, *indigenae*; vgl. zu II 149 18. — *πάτρια*, nicht etwa, wie Hellenen vermuthen könnten, von Anderen entlehnt.

11. *ποιεῦσι*, das Volk. — *κοινῇ* = *πανδημεί*.

κοσμήσαντες κυνέῃ τε Κορινθίῃ καὶ πανοπλίῃ Ἑλληνικῇ καὶ ἐπ' ἅρμα ἀναβιβάσαντες περιάγουσι τὴν λίμνην κύκλῳ. ὁτέοισι δὲ τὸ πάλαι ἐκόσμεον τὰς παρθένους πρὶν ἤ σφι Ἕλληνας παροικισθῆναι, οὐκ ἔχω εἰπεῖν, δοκέω δ' ὦν Αἰγυπτίοισι ὅπλοισι κοσμέεσθαι αὐτάς· ἀπὸ γὰρ Αἰγύπτου καὶ τὴν ἀσπίδα καὶ τὸ κράνος φημὶ ἀπῖχθαι ἐς τοὺς Ἕλληνας. τὴν δὲ Ἀθηναίην φασὶ Ποσειδέωνος εἶναι θυγατέρα καὶ τῆς Τριτωνίδος λίμνης, καί μιν μεμφθεῖσάν τι τῷ πατρὶ δοῦναι ἑωυτὴν τῷ Διί, τὸν δὲ Δία ἑωυτοῦ μιν ποιήσασθαι θυγατέρα. ταῦτα μὲν λέγουσι, μῖξιν δὲ ἐπίκοινον τῶν γυναικῶν ποιέονται, οὔτε συνοικέοντες κτηνηδόν τε μισγόμενοι. ἐπεὰν δὲ γυναικὶ τὸ παιδίον ἁδρὸν γένηται, συμφοιτέουσι ἐς τὠυτὸ οἱ ἄνδρες τρίτου μηνός, καὶ τῷ ἂν οἴκῃ τῶν ἀνδρῶν τὸ παιδίον, τούτου παῖς νομίζεται.

181 *Οὗτοι μὲν οἱ παραθαλάσσιοι τῶν νομάδων Λιβύων*

12f. *κυνέη*: unten 17 genauer *κράνος*. *κυνέη* hieſs eine Fellhaube, die zuweilen mit Blech überzogen war (*galea*), *κράνος* der groſse Ritterhelm (*cassis*). 'Bei diesem unterscheidet man den im Peloponnes gebräuchlichen Helm (*κράνος Κορινθιουργές*) mit einem Visir mit Augenlöchern, welches nach Belieben über das Gesicht herabgeschoben und zurückgeschoben werden konnte, und den in Attika und anderwärts üblichen Helm mit einem kurzen Stirnschilde und Seitenklappen . . Den korinthischen Helm findet man gewöhnlich an der korinthischen Pallas'. *Müller* Archaeol. § 342. — Die *πανοπλίη Ἑλληνικῄ* enthält als der weitere Begriff auch den Helm. Die alten Cultusbilder der Göttin (*Παλλάδια*, vgl. c. 189 8) stellten sie in der Regel in kriegerischer Rüstung dar. Die so ausgestattete Jungfrau repräsentirte die Göttin. Vgl. I 60 19. — *τὴν λίμνην* muſs auffallen, da der See von einer Seite durch das Meer, von den anderen durch den Triton gesperrt war, auch nur zur Hälfte von den Auseern umwohnt wurde. Zum Accusativ vgl. I 84 13.

16. *δ' ὦν* 'jedoch'. — Die Herleitung des Cultes aus Aegypten entspricht auch den sonstigen theologischen Ansichten H.'s (II 50).

17. Die aegyptischen Denkmäler sprechen gegen diese Behauptung. Rundschilder (*ἀσπίδες*) zeigen sie nur als Bewaffnung asiatischer Hilfstruppen, Visirhelme aber gar nicht.

18. *Ποσειδέωνος*: vgl. c. 188 7.

20. *μεμφθεῖσαν*: vgl. III 4 5.

23. *οὔτε – τε* 'nicht – sondern' (I 59 52). — *συνοικέοντες*: zu I 37 12. — *κτηνηδόν*: vgl. I 203. II 64. III 101.

25. *τρίτου μηνός* 'innerhalb des dritten Monates' nach dem *ἁδρὸν γενέσθαι*.

Die Sandzone und ihre sechs Völker (c. 181–185).

181. *οὗτοι – εἰρέαται* 'hiermit sind aufgezählt'. Vgl. VII 184 28. — *τῶν νομάδων*: die weiter ostwärts sitzenden waren Ackerbauer (c. 191).

εἰρέαται, ὑπὲρ δὲ τούτων ἐς μεσόγαιαν ἡ θηριώδης ἐστὶ Λιβύη, ὑπὲρ δὲ τῆς θηριώδεος ὀφρύη ψάμμης κατήκει, παρατείνουσα ἀπὸ Θηβέων τῶν Αἰγυπτιέων ἐπ' Ἡρακλέας στήλας. ἐν δὲ τῇ ὀφρύῃ ταύτῃ μάλιστα διὰ δέκα ἡμερέων ὁδοῦ ἁλός ἐστι τρύφεα κατὰ χόνδρους μεγάλους ἐν κολωνοῖσι, καὶ ἐν κορυφῇσι ἑκάστου τοῦ κολωνοῦ ἀνακοντίζει ἐκ μέσου τοῦ ἁλὸς ὕδωρ ψυχρὸν καὶ γλυκύ, περὶ δὲ αὐτὸ ἄνθρωποι οἰκέουσι ἔσχατοι πρὸς τῆς ἐρήμου καὶ ὑπὲρ τῆς θηριώδεος, πρῶτοι

2. Vgl. II 32 20 ff. Den thierreichen wie den sandigen Theil Libyens denkt sich H. als zwei parallel von W. nach O. durch den ganzen Erdtheil gedehnte Zonen, denen im N. ein des Anbaus fähiger Küstenrand vorliegt. Dabei erhält der thierreiche eine zu grofse Ausdehnung nach O. 'Der fruchtbare südliche Abhang des Atlas, der sich am Meere bis zum 28. und weiter östlich bis zum 30. Breitengrade erstreckt, wird von H. mit Recht das thierreiche Libyen und von den Arabern mit gleichem Recht *Belad-el-dscherid* 'Dattelland' genannt'. *Ideler* 'über die Oasen der libyschen Wüste' in der Fundgrube des Orientes IV 394. Vgl. c. 191 11 ff.

3 f. ὀφρύη, noch c. 182 1. 185 2 und 10, = ὀφρύς, bildliche Bezeichnung eines plateauartigen Höhenzuges. — ψάμμης, ungewöhnlich für ψάμμου (c. 182 2 u. s.). — *κατήκει* 'zieht sich herab' zu dem vorliegenden tieferen Lande. — *παρατείνουσα*, in paralleler Richtung zu dem Küstenlande und dem Mittelmeere. Vgl. II 32 18. — Theben nennt H. als Ausgangspunkt, weil von hier die Karavanenstrafse durch die Sandwüste, deren Stationen im Folgenden beschrieben werden auslief.

6. *διὰ δέκα ἡμερέων*: in gleicher Entfernung folgen die übrigen Salzoasen, von Ost nach West. Eine Karavane legt durchschnittlich im Tage 4 M. zurück. Von Theben bis zu den Garamanten (Fezzan, zu c. 183 5) zählt H. 30 T. = 120 M. Die Weite beträgt aber gegen 300 M. Man darf also die Abstände nur auf die Weglängen zwischen den einzelnen Stationen beziehen, ohne die Ausdehnung der letzteren einzurechnen. Auch so bleiben jedoch die Angaben hinter der Wahrheit zurück. Vgl. zu 11 und c. 183 1. — Der Fabel von den Salzhügeln unterliegt eine richtige Beobachtung. 'Auf diesem Ritte (von Ammonion nach Augila) kam ich über Stellen, die eine Viertelmeile lang dergestalt mit Salz belegt waren, dafs es schien sie seien beschneit; auf anderen Punkten fand ich mit Salztheilen so stark geschwängerte Lachen, dass meine Kleidungsstücke durch das blofse Anspritzen wie mit einer Salzkruste überzogen wurden. Man fand Scheiben bis zu drei Zoll Dicke und klar wie Krystall . . Das Salz von der Oase des Ammon ist eine Gemenge von Gyps mit 10 bis 20 Proz. Kochsalz; dasselbe hat eine weifse, gelblich- und graulich-weifse Farbe'. *Minutoli* Reise zum Tempel des Jup. Ammon S. 174. 180.

8. *ἀνακοντίζει* 'schiefst empor', nach Il. ε 113 *αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος*.

10. *ἔσχατοι πρὸς τῆς ἐρήμου*, als die fernsten, äufsersten unter den Bewohnern Libyens, wenn man

μὲν ἀπὸ Θηβέων διὰ δέκα ἡμερέων ὁδοῦ Ἀμμώνιοι, ἔχοντες τὸ ἱρὸν ἀπὸ τοῦ Θηβαιέος Διός· καὶ γὰρ τὸ ἐν Θήβῃσι, ὡς καὶ πρότερον εἴρηταί μοι, κριοπρόσωπον τοῦ Διὸς τὤγαλμά ἐστι. τυγχάνει δὲ καὶ ἄλλο σφι ὕδωρ κρηναῖον ἐόν, τὸ τὸν μὲν ὄρθρον γίνεται χλιαρόν,

von der menschenleeren Wüste, die sich südlich der Sandzone ausdehnt (c. 185), nordwärts schaut. Um die Verwechslung mit diesen, auf welche die Worte *ἔσχατοι πρὸς τῆς ἐρήμου* ebenfalls passen würden, zu vermeiden, ist noch hinzugesetzt *καὶ ὑπὲρ τῆς θηριώδεος*. Zum Ausdruck vgl. I 145 6. IV 49 17. Südlich der Wüste wohnen wieder Menschen (II 32. IV 197).

11 f. Von Theben bis Ammonion sind über 100 M., für welche 10 T. viel zu wenig. Es ist eine Station ausgefallen, die der 'grofsen Oase', welche auf dem Wege zum A. und von Theben 7 T. entfernt lag (III 26). Eine nähere Strafse ging, wie noch heute, von Memphis aus und ward bis Ammonion auf 12 T. geschätzt (Plin. V 50). — *Ἀμμώνιοι*, die Bewohner der Oase *Siwah* (in der Breite des Moeris-sees, bedeutend nördlicher als Theben), so genannt nach ihrem berühmten Heiligthum und Orakel des Ammon (II 42 19), das seit dem Aufblühen Kyrene's auch bei den Hellenen zu hohem Ansehen gelangte. 'Die Länge des fruchtbaren Gebietes beträgt über 2 d. M., die Breite dagegen nirgend über eine halbe. Der Boden besteht entweder aus blofsem Sand oder ist mit sandigem Thon bedeckt, der meistens mit Salz geschwängert ist, welches an manchen Stellen in grofsen reinen Geschieben oder auch als feines krystallisirtes Salz zu Tage bricht. Zahlreiche süfse Quellen bewässern den Erdstrich, andere sind salzig und der Boden hie und da feucht, sumpfig und mit kleinen Salzseen bedeckt'. *Minutoli* a. O. 88.

12. Dafs der Gott der Ammonier widderköpfig ist, wird hier als bekannt vorausgesetzt.

13 f. Die Stelle ist wohl verderbt. Denn *τὸ ἐν Θήβῃσι* auf *ἱρόν* bezogen erheischt zum Prädicat *ἔχει*, nicht *ἐστί*. Bezieht man es aber auf *ἄγαλμα*, so ist die Wortfolge auffallend, statt *καὶ γὰρ τὸ ἐν Θήβῃσι — τὸ τοῦ Διὸς ἄγαλμα* (oder *τὤγαλμα τοῦ Διός*) *κριοπρόσωπόν ἐστι*. Vgl. die zu VI 46 10 gesammelten Stellen. — 'Man erblickt noch unter den Bildwerken von Siwah den widderköpfigen Ammon, ebenso dargestellt wie er auf den Denkmälern von Theben vorkommt'. (vgl. zu II 42 15) *Minutoli* a. O. — *πρότερον*: II 42.

14. *ἄλλο*, aufser dem aus dem Salzhügel springenden. 'Südöstlich (von dem Tempel) in der Entfernung einer guten Viertelstunde entspringt in einem Walde von Dattelbäumen der einst dem Ammon geheiligte Sonnenquell, welcher einen kleinen See bildet . . Der Quell hat eine länglichrunde Gestalt; seine Länge beträgt etwa 30, seine Breite 20 Schritt. Der Angabe nach soll er 6 Klafter tief sein, ist aber so klar, dafs man bis auf den Grund sieht, aus welchem stets eine Menge Blasen, wie aus einem Kessel voll siedenden Wassers, heraufsteigen. Die Quelle hat wirklich eine periodisch abwechselnde Temperatur, die, wenn auch nicht so stark, wie Einige sie fabelnd beschreiben, doch mir und meinem Gefährten fühlbar war. Nämlich sie ist des Nachts wärmer als am Tage und pflegt beim Anbruch desselben etwas zu rauchen. Wahrscheinlich ist sie,

ἀγορῆς δὲ πληθυούσης ψυχρότερον· μεσαμβρίη τε ἐστὶ καὶ τὸ κάρτα γίνεται ψυχρόν· τηνικαῦτα δὲ ἄρδουσι τοὺς κήπους· ἀποκλινομένης δὲ τῆς ἡμέρης ὑπίεται τοῦ ψυχροῦ, ἐς ὃ δύεταί τε ὁ ἥλιος καὶ τὸ ὕδωρ γίνεται χλιαρόν· ἐπὶ δὲ μᾶλλον ἰὸν ἐς τὸ θερμὸν ἐς μέσας νύκτας πελάζει, τηνικαῦτα δὲ ζέει ἀμβολάδην· παρέρχονταί τε μέσαι νύκτες καὶ ψύχεται μέχρι ἐς ἠῶ. ἐπίκλησιν δὲ αὕτη ἡ κρήνη καλέεται ἡλίου.

Μετὰ δὲ Ἀμμωνίους, διὰ τῆς ὀφρύης τῆς ψάμ- 182
μου δι' ἄλλέων δέκα ἡμερέων ὁδοῦ, κολωνός τε ἁλός
ἐστι ὁμοῖος τῷ Ἀμμωνίῳ καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ
αὐτὸν οἰκέουσι· τῷ δὲ χώρῳ τούτῳ οὔνομα Αὔγιλά
ἐστι. ἐς τοῦτον τὸν χῶρον οἱ Νασαμῶνες ὀπωριεῦντες
τοὺς φοίνικας φοιτέουσι. ἀπὸ δὲ Αὐγίλων διὰ δέκα 183
ἡμερέων ἄλλέων ὁδοῦ ἕτερος ἁλὸς κολωνὸς καὶ ὕδωρ
καὶ φοίνικες καρποφόροι πολλοί, κατά περ καὶ ἐν τοῖσι
ἑτέροισι· καὶ ἄνθρωποι οἰκέουσι ἐν αὐτῷ τοῖσι οὔνομα
Γαράμαντές ἐστι, ἔθνος μέγα ἰσχυρῶς, οἳ ἐπὶ τὸν ἅλα
γῆν ἐπιφορέοντες οὕτω σπείρουσι. συντομώτατον δ'

wie schon der Boden der Oase vermuthen läſst, eine heiſse Quelle, deren natürliche Wärme man am Tage wegen der glühenden Sonnenhitze nicht wahrnimmt'. *Minutoli* a. O. 96. 163 ff.

16. *ἀγορῆς πληθυούσης*: zu II 173 3.

17. *τε — καί*: zu II 93 25. VI 41 7.

20. *ἐπὶ μᾶλλον*: zu III 104 14.

21. *ἀμβολάδην*, nach Il. φ 362 *λέβης ζεῖ ἔνδον, ἐπειγόμενος πυρὶ πολλῷ . . Πάντοθεν ἀμβολάδην*. Curtius IV 7 von derselben Quelle *fervide exaestuat*.

24. Vgl. den 'Sonnentisch' (III 18).

182. 2. Die Oase *Αὔγιλα* (noch jetzt *Audschila*) liegt in der Länge von Kyrene. Der Reisende Hornemann erreichte sie von Siwah in neun starken Tagereisen.

5. Vgl. c. 172 4. Noch heute ziehen die Beduinenstämme jährlich von Ben Gasi (Euhesperides) zum Datteleinkaufe hierher.

183. *δέκα*, mindestens um die Hälfte zu wenig. Von Audschila bis Zuila, an der Ostgränze Fezzan's, dem gewöhnlichen Rastorte der Karavanen, rechnen die arabischen Geographen 20 T., und Hornemann brauchte bei starken Märschen 16 T. Wahrscheinlich ist auch hier eine Zwischenstation ausgelassen, nach Heeren's Vermuthung das heutige *Zala*, welches die arabischen Geographen in die Mitte zwischen Audschila und Zuila setzen.

3. *φοίνικες*: vgl. zu c. 181 2.

5. *Γαράμαντες*: vgl. zu c. 174 2. Den Nordtheil ihres südwärts bis zum Sudan ausgedehnten Gebietes bildete die Oase *Phazania* (jetzt *Fezzan*), mit der Hauptstadt *Garama* (jetzt *Duherma*).

6 f. *συντομώτατον*: zu IV 86 4.

ἐστὶ ἐς τοὺς Λωτοφάγους, ἐκ τῶν τριήκοντα ἡμερέων ἐς αὐτοὺς ὁδός ἐστι. ἐν τοῖσι καὶ οἱ ὀπισθονόμοι βόες γίνονται· ὀπισθονόμοι δὲ διὰ τόδε εἰσί· τὰ κέρεα ἔχουσι κεκυφότα ἐς τὸ ἔμπροσθε. διὰ τοῦτο ὀπίσω ἀναχωρέοντες νέμονται· ἐς γὰρ τὸ ἔμπροσθε οὐκ οἷοί τε εἰσὶ προεμβαλλόντων ἐς τὴν γῆν τῶν κερέων. ἄλλο δὲ οὐδὲν διαφέρουσι τῶν ἄλλων βοῶν ὅτι μὴ τοῦτο, καὶ τὸ δέρμα ἐς παχύτητά τε καὶ τρῖψιν. οἱ Γαράμαντες δὲ οὗτοι τοὺς τρωγλοδύτας Αἰθίοπας θηρεύουσι τοῖσι τεθρίπποισι· οἱ γὰρ τρωγλοδύται Αἰθίοπες πόδας τάχιστοι ἀνθρώπων πάντων εἰσὶ τῶν ἡμεῖς πέρι λόγους ἀποφερομένους ἀκούομεν. σιτέονται δὲ οἱ τρωγλοδύται ὄφις καὶ σαύρας καὶ τὰ τοιαῦτα τῶν ἑρπετῶν· γλῶσσαν δὲ οὐδεμιῇ ἄλλῃ παρομοίην νενομίκασι, ἀλλὰ τετρίγασι κατά περ αἱ νυκτερίδες.

184 Ἀπὸ δὲ Γαραμάντων δι' ἀλλέων δέκα ἡμερέων ὁδοῦ ἄλλος ἁλός τε κολωνὸς καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν οἰκέουσι τοῖσι οὔνομά ἐστι Ἀτάραντες, οἳ ἀνώνυμοί εἰσι μοῦνοι ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν· ἁλέσι μὲν γάρ σφι ἐστὶ Ἀτάραντες οὔνομα, ἑνὶ δὲ ἑκάστῳ αὐτῶν οὔνομα οὐδὲν κέεται. οὗτοι τῷ ἡλίῳ ὑπερβάλλοντι καταρέονται καὶ πρὸς τούτοισι πάντα τὰ αἰσχρὰ

— *Λωτοφάγους*: s. c. 177. Ihr Land liegt mit Fezzan unter gleicher Länge. Von Tripolis bis Zuila sollen die Karavanen auch jetzt 30 T. gebrauchen.

8. *ἐν τοῖσι*, im Lande der Garamanten.

10. *ὀπίσω ἀναχ.*: zu III 16 4.

12. *προεμβαλλόντων*, hier intransitiv.

13. *τὸ δέρμα*, sc. *διαφέρουσι*.

14. *τρῖψις* hier wohl 'Fühlung'. Das Leder mochte sich trotz der Dicke geschmeidiger und weicher als anderes Rindsleder anfühlen.

15. *τρωγλοδύτας Αἰθίοπας*, wahrscheinlich *Tibos*, die zum Theil noch Höhlenbewohner sind. Die Fezzaner machen jedes Jahr Sklavenjagden und bringen ihre Beute auf die Märkte von Tripolis u. s.

20f. *νενομίκασι*: zu I 142 8. — *τετρίγασι*: zu III 110 7.

184. 3f. *Ἀτάραντες*: die Hss. *Ἄτλαντες*. — *ἀνώνυμοι*: die Individuen haben als solche keine Eigennamen. — *μοῦνοι ἀνθρώπων*: Od. θ 552 *οὐ μὲν γάρ τις πάμπαν ἀνώνυμός ἐστ' ἀνθρώπων*. — *ἁλέσι*, der Gesammtheit.

6f. *ὑπερβάλλοντι* 'wenn sie übermäfsig ist', *nimis urenti*. Aehnliches erzählt Strabon 822 von einem aethiopischen Volke: *τῶν δὲ πρὸς τῇ διακεκαυμένῃ τινὲς καὶ ἄθεοι νομίζονται, οὕς γε καὶ τὸν ἥλιόν φασιν ἐχθαίρειν καὶ κακῶς λέγειν ἐπειδὰν προσίδωσιν ἀνί*

λοιδορέονται, ὅτι σφέας καίων ἐπιτρίβει, αὐτούς τε τοὺς ἀνθρώπους καὶ τὴν χώρην αὐτῶν. μετὰ δὲ δι' ἀλλέων δέκα ἡμερέων ὁδοῦ ἄλλος κολωνὸς ἁλὸς καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν οἰκέουσι. ἔχεται δὲ τοῦ ἁλὸς τούτου οὖρος τῷ οὔνομά ἐστι Ἄτλας· ἔστι δὲ στεινὸν καὶ κυκλοτερὲς πάντη, ὑψηλὸν δὲ οὕτω δή τι λέγεται ὡς τὰς κορυφὰς αὐτοῦ οὐκ οἷά τε εἶναι ἰδέσθαι· οὐδέκοτε γὰρ αὐτὰς ἀπολείπειν νέφεα οὔτε θέρεος οὔτε χειμῶνος. τοῦτο τὸν κίονα τοῦ οὐρανοῦ λέγουσι οἱ ἐπιχώριοι εἶναι. ἐπὶ τούτου τοῦ οὔρεος οἱ ἄνθρωποι οὗτοι ἐπώνυμοι ἐγένοντο· καλέονται γὰρ Ἄτλαντες. λέγονται δὲ οὔτε ἔμψυχον οὐδὲν σιτέεσθαι οὔτε ἐνύπνια ὁρᾶν.

185 Μέχρι μὲν δὴ τῶν Ἀτλάντων τούτων ἔχω τὰ οὐνόματα τῶν ἐν τῇ ὀφρύῃ κατοικημένων καταλέξαι, τὸ δ' ἀπὸ τούτων οὐκέτι. διήκει δ' ὦν ἡ ὀφρύη μέχρι Ἡρακλέων στηλέων καὶ τὸ ἔξω τουτέων. ἔστι δὲ ἁλός τε μέταλλον ἐν αὐτῇ διὰ δέκα ἡμερέων ὁδοῦ καὶ ἄνθρωποι οἰκέοντες. τὰ δὲ οἰκία τούτοισι πᾶσι ἐκ τῶν ἁλίνων χόνδρων οἰκοδομέαται. ταῦτα γὰρ ἤδη τῆς Λιβύης ἄνομβρά ἐστι· οὐ γὰρ ἂν ἐδυνέατο μένειν οἱ τοῖχοι ἐόντες ἅλινοι, εἰ ὗε. ὁ δὲ ἅλς αὐτόθι καὶ λευκὸς καὶ πορφύρεος τὸ εἶδος ὀρύσσεται. ὑπὲρ δὲ τῆς ὀφρύης ταύτης, τὸ πρὸς νότου καὶ ἐς μεσόγαιαν τῆς Λιβύης, ἐρῆμος καὶ ἄνυδρος καὶ ἄθηρος καὶ ἄνομβρος καὶ ἄξυλός ἐστι ἡ χώρη, καὶ ἰκμάδος ἐστὶ ἐν αὐτῇ οὐδέν.

σχοντα, ὡς καίοντα καὶ πολεμοῦντα αὐτοῖς. Vgl. c. 94 15. 173 5.

12. Strab. 825 ἔξω δὲ προελθόντι τοῦ κατὰ τὰς στήλας πορθμοῦ, τὴν Λιβύην ἐν ἀριστερᾷ ἔχοντι ὄρος ἐστίν, ὅπερ οἱ μὲν Ἕλληνες Ἄτλαντα καλοῦσιν οἱ βάρβαροι δὲ Δύριν.

16. Daher die alte Vorstellung in der hellenischen Sage vom Atlas ὅς τε θαλάσσης Πάσης βένθεα οἶδεν, ἔχει δέ τε κίονας αὐτὸς μακρὰς αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν (Od. α 52).

185. 3. δ' ὦν: vgl. III 115 11.

4. τὸ ἔξω τουτέων, adverbial 'und darüber hinaus'; zu c. 99 1. Die Nachricht über diese Gegend hat H. direct oder indirect von Karthaginiensern; vgl. c. 196.

5. διὰ – ὁδοῦ, westlich von den Atlanten.

7. οἰκοδομέαται: zu III 88 14.

186 *Οὕτω μὲν μέχρι τῆς Τριτωνίδος λίμνης ἀπ' Αἰ-*
γύπτου νομάδες εἰσὶ κρεοφάγοι τε καὶ γαλακτοπόται
Λίβυες, καὶ θηλέων τε βοῶν οὔτι γευόμενοι, διότι περ
οὐδὲ Αἰγύπτιοι, καὶ ὗς οὐ τρέφοντες. βοῶν μέν νυν
θηλέων οὐδ' αἱ Κυρηναίων γυναῖκες δικαιεῦσι πατέε-
σθαι διὰ τὴν ἐν Αἰγύπτῳ Ἶσιν, ἀλλὰ καὶ νηστηίας αὐ-
τῇ καὶ ὁρτὰς ἐπιτελέουσι· αἱ δὲ τῶν Βαρκαίων γυναῖκες
187 *οὐδὲ ὑῶν πρὸς τῇσι βουσὶ γεύονται. ταῦτα μὲν δὴ οὕ-*
τω ἔχει, τὸ δὲ πρὸς ἑσπέρης τῆς Τριτωνίδος λίμνης
οὐκέτι νομάδες εἰσὶ Λίβυες, οὐδὲ νόμοισι τοῖσι αὐ-
τοῖσι χρεόμενοι, οὐδὲ κατὰ τὰ παιδία ποιεῦντες οἷόν
τι καὶ οἱ νομάδες ἐώθασι ποιέειν. οἱ γὰρ δὴ τῶν Λι-
βύων νομάδες, εἰ μὲν πάντες, οὐκ ἔχω ἀτρεκέως τοῦτο
εἰπεῖν, ποιεῦσι δὲ αὐτῶν συχνοὶ τοιάδε· τῶν παιδίων
τῶν σφετέρων, ἐπεὰν τετραέτεα γένηται, οἰσύπῃ προ-
βάτων καίουσι τὰς ἐν τῇσι κορυφῇσι φλέβας, μετεξέτε-

Weiteres von den Völkern und Producten Nordlibyens (c. 186 – 199).

186. *οὕτω*, wie c. 168 – 180 ausgeführt werden.

2. Verb. *νομάδες εἰσὶ Λίβυες.* Westlich von der Tritonis beginnen die *ἀρυτῆρες Λίβυες* (c. 191). Aehnlich Hippokrates von den Skythen (zu c. 2 11). Von den Libyern genauer Mela I 41 *potus est lac sucusque bacarum, cibus est caro, plurimum ferina; nam gregibus, quia id solum opimum est, quoad potest, parcitur.* Vgl. c. 172. 177 f. Doch gab es auch Ackerbauer unter ihnen (c. 175. 198).

3. *διότι περ* 'aus eben demselben Grunde, aus dem', näml. *διὰ τὴν Ἶσιν* (6); vgl. II 41.

5 f. Die Frauen der Kyrenaeer wie der Barkaeer (7) waren grofsentheils libyscher Herkunft, wie die der asiatischen Ioner Karerinnen waren (I 146). — *νηστηίης*, wie die Aegyptier (II 40 13).

8. *οὐδὲ ὑῶν*, wie die Libyer (4), aber auch die Aegyptier (II 47) und Skythen (c. 63).

187. 5. *οἷόν τι καί, idem fere quod* (I 73 22. II 20 15).

